12/-

"A useful Edition enriched with scholia some of them printed for the first time"

"Harris"

Euripides

EURIPIDIS

TRAGOEDIÆ

MEDEA

Will: ET Forster e Coll. [illegible]

PHOENISSÆ,

GRÆCO-LATINÆ

Cum SCHOLIIS GRÆCIS Integris; nonnullis nunc primum Editis.

QUARUM

Prior ex Collatione H. STEPHANI, Posterior HUG. GROTII & MS. C.C.C. Cantabrig.

CUM

COMMENTARIO, Variis LECTIONIBUS, atque Indice locupletissimo.

ACCESSIT

Ejusdem VITA jam denuo conscripta.

Studio & operâ

WILHEL. PIERS, Coll. Emman. Soc.

CANTABRIGIÆ,

TYPIS ACADEMICIS,

Impensis *Sam. Smith* & *Benj. Walford*, ad Insignia Principis in Cœmeter. D.Pauli LONDINI. A.D. MDCCIII.

Præloquium ad Lectorem.

SELECTAS & tritas has *Euripidis*, cæteris quidem multò Celebriores, una forsan demta *Hecubâ*, tibi, Lector Benevole, offerimus Fabulas: Si vacet ergo paulisper animus hisce oblectamentis, quorum spectandi audiendíque gratiâ, hocce Theatrum ingressus *Cato*, velut in suo munere versari potuisset; imò quibus & ipso *Catone* major *Socrates* si viveret, interesset iterum atque applauderet, harum Fabularum lenociniis te captum & irretitum, his perlectis, Credo haud invitus mecum fateberis.

Non est igitur quod te morer in Argumento *Medeæ Thebaníque belli:* pueris qui vel prima literarum elementa degustarunt, utraque satis decantata *Historia:* Scias potius, & hæc erit pensi nostri commendatio, non ignavam me dedisse operam ut resplendescerent. Si *Typorum elegantiam* mireris, gratias meritò ingentes habeto *Illustrissimo Principi* CAROLO *Duci* SOMERSETENSIUM, *Munificentissimo nostræ Academiæ Cancellario*, cui Cordi est *nostrum*, imo *suum* denuò revixisse *Typographéum*. Si *castigatissimam* hanc *Editionem* placere intellexero (nec insolenter dictum arbitror) parum quippe laudis ex hac parte in me recipio, non Laureolam in Mustaceo quærens) hanc te *summis viris* utique debere, gratè ac lubentér profiteor, *Doctissimo* * *Henr. Stephano* & verè *Magno Grotio*, quorum uterque alteram Fab. sibi familiarissimam, ideoque minoribus affectam maculis, in nostras ma-

* *Medeam memoriter recitabat, & hinc jecit fundamenta mirabilis istius in Græcis literaturæ.* Præfat. ad Poetæ Gr. Principes.

nus transmiserunt: Horum ubique ferè institi
stigiis, non mediocriter adjutus *Manuscripto*
Phœnissarum qui asservatur in *Collegio Corp. Ch*
cujus mihi copiam fecit, & cui plurimum de
Mr. *Jo. Waller* dignissimus ejusdem *Collegii So*
Illius *Exemplar Grotianum Parisiis* editum A
superioris sæculi XXX°. quod & plurium i
Manuscriptorum fuit, utpote prius *meditat*
dein diligenter *collatum* cum *Manuscriptis C*
quos *Gallia* suppeditavit, Humanissimus *Bi*
theca Publ. Præfectus è propriis, amicè & bene
ut semper solet, mecum communicavit: H
demum *Tragœdiam Cl. H. Grotius* domi in ca
rem conjectus, forisque exul & afflictus, carn
Latino eoque Elegantissimo donavit; dulce l
mentum eorum malorum, quibus ex iniquis
Popularium suorum factione, *Admirandus* at
Illustris ille *Vir*, pene obrutus & oppressus est

Vellem equidem, Unà cum *Epistolâ Cl. H. M*
mio Patrono inscripta, elegantissimam Hujus *m*
cam interpretationem, nec non doctissima *Pro*
mena, hâc nostrâ Editione exhibere, ut *Rom*
Ore Habitúque, *Cothurnatus* noster tum *Vates*
Scenicus Philosophus, in *Latialem Scenam* proc
& triumpharet; præcipue cum tali omnino
borum ornatu & magnificentia sit insignis, qua
ipse *Romanæ Eloquentiæ Parens* è *Græcia* tran
gam agnosceret & miraretur, qui iniquissimo
inter * evolvendum harum Tragœdiarum prior
periisse dicitur: Sed cùm libri moles, nim
dum in manibus res est, excrevisset, & *Græcæ*
guæ Tyronibus potissimum hæc designata intell

r

* *Ptolem. Hephæst. apud Phot. Biblioth. p.* 486. *Edit. Rotho*

rem, plurimorum commodis imprimis inserviendum putavi, ideóque his impræsentiarum ægriùs omissis, eam quam inire gratiam ab eruditis Lectoribus cogitatione præceperam, differre & reservare (olim forte redditurus) ipse jam mecum decrevi.

Quod ad hanc *Vulgarem versionem* attinet, pluribus in locis dispunxi atque immutavi, unde commodior aliquando sensus, in aliquibus saltem, elici possit. *Auctoris Vitam* & *Historiam* istius Sæculi, congestis omnibus quotquot uspiam de *Tragœdo* Nostro seu *scriptis* ejus digniora occurrebant, de Novo aggressi sumus, in quo perficiendo munere quid præstiterimus, tuum esto, sed cum favore judicium.

Scholia perpauca, eaque hactenus inedita, in extrema paginarum orâ, è prædicto *Manuscripto* supplevimus; *Variæ lectiones*, non omnes, sed melioris tantum notæ colliguntur: accedunt brevissimæ Annotationes cum verborum magis insignium seu rariorum Indice.

Operarum festinantium σφάλματα, uti speramus, pauciora & leviora sunt, quàm ut vel rudioribus ullam moram injiciant: Totum hoc cuicuimodi sit, æquo animo accipe, Benigne Lector, & Vale.

Dat. è Coll. Emman. Cantabrig.
3. Novembr. 1702.

Viro

Viro Illustri,

HENRICO MEMMIO,

Inter principes judicum in summo auditorio Parisiensi, & Christianissimo regi à consiliis interioribus,

HUGO GROTIUS S.

QUoties magnitudinem intueor, vir Illustris, sive gentis tuæ, sive dignitatis, sive meritorum, tum publice, tum privatim, videris mihi potiùs silentio honorandus, quam exiguo munere testandum, quantum infra te jaceant spes nostræ. Nam familia tua quid excelsius, cujus gloria non minus late patet, quàm laus literarum, jam ab illo tempore, cùm florentissima per Gallias eruditio cum Lambinis, Auratis, Passeratiis simul in horum decus ac præsidium, Memmios extulit dignos, quibus, & de quibus scriberent, ita ut tibi prope uni ex omni memoria contigerit, majorum nomina ac seriem non ex privatis tabulis, sed ex præstantissimorum hominum laboribus, & tam Græca, quam Latina lingua, duraturis cum humano genere monu-

monumentis ostendere. Quod si in antiquitatis obscura audacem curiositatem inserere liceat, fuit vestri nominis episcopus, qui Christianæ religioni suo sanguine testimonium dixit, quo tempore Memmii cum Romana nobilitate veram pietatem in has terras intulerunt. Magistratûs vero, quem geris, quanta est amplitudo, ac prope dixerim majestas, cùm inter principes sis ejus ordinis, in cujus potestate vita, existimatio, fortuna non civium duntaxat, sed, quod vestri consessus præcipuum est, summorum regni Francici procerum sita est: à quo ipsa regia edicta auctoritatem petunt: cui jus ab antiquo est etiam Ecclesiæ antistites, siquid aut suo, aut sæculi vitio deflexerint, in legum ac veterum canonum orbitam reducere: cujus denique religio, & æquitas, tantam sui reverentiam concivit, ut externæ sæpe gentes eò, tanquam ad oraculum, confugiant. In hoc tu cœtu non magis electione regia, quam tuis virtutibus, judicii perspicacia, æquissimis arbitriis, eloquentia denique tali, quæ non quomodo cæteris instillata tibi, sed in te nata videatur, locum inter eminentissimos occupas. His quotidianis in patriam meritis accedit, quod cùm in omne hominum genus beneficia spargas, tum uberrimam eorum copiam in eos effundis, quos aliqua eruditionis parte florentes, hoc ipso vinculo ad te pertinere tanquam consanguineos existimas. Itáque juris, historiarum, linguæ Græcæ ac Latinæ, Philosophiæ denique omnigenæ peritos siquis quærat, non alibi eos faciliùs, quam in domo tua, invenerit. Ibi Gevartius Statium non explicare tantùm, sed & imitari didicit, cujus nunc consiliis quòd pulcherrima Belgicarum urbium Antverpia fruitur, eo nomine tibi non parum debet. Ibi Holsteinius in Geographia tam veteri, quam recenti, ita Cluverii, viri in eo studio

admi-

admirandi, successor, ut eundem aliis partibus longe superet, ea didicit atque exercuit, propter quæ Roma illum Galliæ invidit, & nunc inter præcipua dominæ Urbis ornamenta ostentat. Ego vero, cui ut istarum artium exactam cognitionem bona malaque fortuna abnuit, ita cultum ac venerationem nulla eripiet, amicitiam tuam inter illa habeo, quibus me non recreo tantum atque erigo, sed & jacto. Neque enim minus gaudio mihi est, ac voluptati, tui vultus ac sermonis serenum, quam aliquando fuit usura Balagniaci tui, qui locus domini mores amœnitate sua referens, excitavit in me conatum ejus operis, quod inter mea faventissimis lectorum animis exceptum est. Tot ergo decora, tantam claritatem, tum multa in me, atque alios benefacta, præferens nomen, male æstimet, qui rebus exiguis inscribat. Sed nimirum sunt quædam, quibus in modico corpore vis ingens, aut rara species, pretium faciant, quo vincant ea, à quibus mole vincuntur: quale quid cùm ipse mihi dare non possem, sumsi aliunde, inopiam potiùs meam professurus, quam relicturus in obscuro, quid tibi debeam. Breviter hæc erit muneris nostri commendatio, quod in omni dicendi opere poëma excellit, in poëmatis haud dubie tragœdia, in tragœdiis etiam philosophorum consensu Euripides, in Euripideis Phœnissæ, quod & veterum Grammaticorum judicium fuit. adeo hic artis plena structura est, casus varii, densæ sententiæ, in quibus ille, qui justitiæ descriptionem ac laudem continet locus, tanta sapientia tractatus est, ut, qui cum cura legerit quintum Nicomachiorum Aristotelis (leget autem sæpe, quisquis, quod tu facis, Memmi doctissime, æqui ac boni artem ab ipsis fontibus volet petere) is præclarissime hujus libri cogitata hinc fluxisse dicturus sit. Sumes ergo

tragœ-

tragœdiam ipſam à ſummo poëtarum Euripide, verſus ejus paulo quam antehac emendatiores à codicibus ſcriptis, à nobis nihil, præter animi non ingrati teſtimonium, & † Latina quæ de Græcis fecimus, veſtigia preſſe legentes, ut à pulcherrimo exemplari quam minimum diſcederemus. Ultra te à fori rebus non diſtineo, ſi hoc unum addidero, optare me eum diem, quo iſto juris dicendi onere expeditus, totum te iis impendas negotiis, quibus regis gloria, regni ſtabilitas, privatorum verò omnium ſalus continetur, ut in tanto majore materia illuſtrius etiam appareat tum animi, tum ingenii tui magnitudo. Lutetiæ Kalend. Juniis cIↄ Iↄ c xxx.

---

† Reſpicit *Cl. vir* ſuam verſionem *Phœniſſarum* quam hâc Editione nollem omiſſam.

Euripidis Tragici Vita.

EURIPIDES patriâ *Atheniens.* è *Populo* (1) *Phlyensium*, qui ad *Tribum Cecropidam* (2) Antiquissimam & Nobilissimam ex *duodecim Tribubus* pertinebat, (3) *Mnesarchida* ex *Clitone filius*; cui cum jam propè abesset partus (sive ut *Agell.* vult, jam peperisset,) *Oraculum Patri* hoc responsum dedit;

(4) Ἔσται σοὶ κοῦρος, Μνησαρχίδη, ὅντινα πάντες
Ἄνθρωποι τίσουσι· καὶ ἐς κλέος ἐσθλὸν ἀρεῖται,
Καὶ στεφέων ἱερῶν γλυκερὴν χάριν ἀμφιβαλεῖται.
Te Mnesarche *manet summo cumulandus honore*
Filius, *ac merita summa ad fastigia laudis*
Conscendens, lætas sacro ex Certamine *palmas*
Auferet. ——

Hujus Natales in *Epochis Græcorum* quas *Cl. Selden.* edidit, sexennio antevertunt annum à *Laertio* assignatum, quippe A°. 4. *Olympiadis* 73. contigisse volunt; sed vulgo ad Annum primum

---

(1) *Φλυά. malè apud Suid.* Φλυεῖς, *& Harpocrat.* Φλυεία) δῆμος τῆς Κεκροπίδος. ὁ δημότης Φλυεύς. *Steph. de Urb.* ex hoc Populo fuit Euripides Trag. Poet. *Suid. Harpocrat.* δῆμος, Curia, Oppidum, Pagus; *ita Eustath. ad Iliad.* β. *p.* 284. *intelligit*, Ἀθηναίων πόλεις, ἢ δήμους, ἢ ὅλως εἰπεῖν τόπους, *qui* δῆμοι *erant numero* CLXXXIV. Φλυεῖς, Phlyeis-eorum, *sive* Phlyenses-ium: *Isa. Orat.* περὶ τοῦ Κίρωνος κλήρου. Κίρων ἰσίου ἐκεκλήθη, ἔσχεν τὰ Φλυῆσι. ΦΛΥΑ. *retinet hoc nomen Vicus qui est inter* fluv. *nunc* Raphty, & Sunium *nunc* Columnæ Promontorium, *vulgò* Capo delle Colonni: *ita dict. à Columnis marmoreis antiquissimi* Minervæ *Templi adhuc stantibus. hinc &* Minerva *dicitur* Suniades, *de quo* Pausan. *in* Atticorum *principio, ejus delubrum in summo* Sunii *vertice existere scribit. meminit hujus* Vitruvius, *l.* 4. *c.* 7. Athenis *in Ecclesia Sanctorum Apostolorum*

ΣΕΛΕΥΚΟΣ,
ΖΗΝΩΝΟΣ,
ΦΛΥΕΥΣ, Jac. Spon. de Pagis Atticis.

(2) *Meursii Regn. Attic. lib.* 1. *cap.* 7.

(3) Ὦ παῖ Μνησαρχίδη ποιητὰς μόνον ᾔδεσα, &c. *Dio. Chrys. Orat.* 64. *de fortunâ Orat.* 2da. *p.* 594.

(4) *Euseb. Præparat. Evangel. l.* 5. *c.* 33.

mum *Olympiadis* 75. rejiciuntur: & hæc certe *Epocha* si qua alia insigniter memorabilis; in hunc enim Annum *Xerxis* in *Græciam expeditio* incidit, ut *Diodorus* (1) scribit, *Archonte Athenis Calliade*; cùm apud *Eleos* celebraretur 75. *Olympias*, quâ *Astylus Syracusanus stadio Victor erat*, *Xerxes Persarum Rex in Græcos Bellum movit*, dein *Atticam* vastavit, *Athenas* incendit, *Prælio* inde ad *Salaminam* superatus: de qua *Expeditione* consul. *Herod*. (2) Interim dum per *Thraciam*, *Macedoniam*, inde usque ab *Hellesponto* ad *Thermopylas* exercitum movet, *Athenienses Delphicum Oraculum* consulunt, monet *Pythia* ut *ligneis mœnibus* se munirent, id responsum cum nemo intelligeret, *Themistocles* interpretatus est. en *Oraculi* verba:

(3) Τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεὺς
Μοῦνον ἀπόρθητον τελέθειν, τό σε τέκνα τ' ὀνήσει, &c.
Jupiter à ligno muris Tritonida donat,
Qui soli invicti, tibi sint natisque saluti.

Dum de hujus mente *Oraculi* & *Athenarum* salute agitur, sic Populum alloquitur *Themistocles*: *Murus iste ligneus*, O *Athenienses*, *Naves sunt*, *iis Conjuges ac Liberos*, *relictis his laribus ac focis pro se quisque imponat*. *Ita Salaminem petemus*, *id enim monemur*, *ibi Græciam aut Vindicabimus manu aut Occumbemus*. Hi igitur metu perterriti, Mulieres & Pueros, suaque omnia, quæ moveri poterant, partim *Salaminam*, partim *Trœzenem* asportant: *Arcem Sacerdotibus*, paucisque *majoribus natu*, ac *sacra procuranda* tradunt: Viri navibus *Salaminium fretum*, *Duce Themistocle* tuentur. Inter hos *Mnesarchides* videtur cum *Uxore* sua jam prægnante, ad *Salaminam* concessisse, ibique *Boedromionis* XX. die, qui in *Septemb*. XXIII. fer. 1. incidit (4) nempe eodem ipso quo *Persas Athenienses*, ad *Ostium Euripi* profligabant, *filium* peperisse, atque ex hoc *prælio*, cùm *optimum omen* ad futuram *Reipubl*. incolumitatem visum est accipere, à Parentibus in *Victoria* celeberrimæ memoriam, *Euripides* appellatur.

Patrem *Bœotum* fuisse, & aliquando ob æs alienum, cui solvendo esset impar, ignominia ex *Bœotico* more affectum, non videtur credibile. Quamvis *Jo. Stobæus* injecit hunc scrupulum, ipse tamen nobis eximit, dum nihil in hâc re pro certo

(1) *Diodor. Sic. lib. XI.*
(2) *Herodot. Hist. l.* 7, *&* 8.
(3) *Herodot. l.* 7.
(4) *Herod. l.* 8. *& Plutarc. in Camillo.*

te statuit, δοκεῖ δὲ τοῦτο πεποιῆσθαι, inquit, *nonnullis videri ita esse*: verùm *Atheniensem* potius ex eorum Legibus constabit; prima quidem quæ jubebat προσαναγράφειν τῷ πατρὸς καὶ τῷ δήμου τοὔνομα. Patris paternique populi nomen ascribunto. (1) altera Lex erat, τοὺς μὴ γεγονότας ἐξ ἀστοῦ καὶ ἐξ ἀστῆς, ἐξαλείφεσθαι. (2) Qui utroque Parente Cive nati non erunt, ex albo expunguntor. Si quis verò causatur *advenam* fuisse, qui & *Civitatis jure donari* poterat (quanquam & apud *Romanos* in *donandâ Civitate* non tanta fuit, quantum apud *Athenienses* Religio) honorem auxisse videbitur, Si quid *Natalium splendor* conferre potest, cùm & præcipue tertiâ lege (3) cautum sit, μὴ ἐξεῖναι ποιήσασθαι Ἀθηναῖον, ὃν ἂν μὴ δι' ἀνδραγαθίαν εἰς τὸν δῆμον τὸν Ἀθηναίων ἄξιον ᾖ γενέσθαι πολίτην, i.e. *Atheniensium civitate* nemo nisi de ea benè meritus donator. Sed adstipulatur & ultimò (4) *Athenæus* qui ex delato publico munere, è *Nobilioribus Euripidem* evincit; *Pocillatores*, enim, ait, apud *Antiquos* fuerunt *Nobilissimi Juvenes*, ut *Menelai* filius:

Ὠνοχόει δ' υἱὸς Μενελάου κυδαλίμοιο· καὶ Εὐριπίδης ὁ Ποιητὴς ἐν παισὶν ᾠνοχόησε. Quod ad *Matrem Clitonem* spectat, *illustri* prognatam *familia Suidas* testatur, quicquid in contrarium ad risum captandum proferat insignis scurra (5) *Aristophanes*, qui *Olerum venditricem*, suo more, impudenter prædicat: Fateor rem à *Valer. Maximo* (6) in medio relinqui, " Quam matrem " *Euripides*, aut quem Patrem *Demosthenes* habuerit, ipsorum " quoque sæculo ignotum fuit; Alterius autem *matrem Olera*, " Alterius *Patrem cultellos* venditasse, omnium pœne Docto- " rum literæ loquuntur: Sed quid aut illius *Tragicâ*, aut hu- " jusce *Oratoriâ* vi clarius?

Quamdiu cum *Parentibus* priusquam *Athenas* reviserent in *Salamina* commoratus sit, nullibi constat: verum loci *Amœnitate* sive *opportunitate* mirificè delectatum fuisse apparet, præsertim quum non infrequenter otium nactus ibidem delitesceret ut *Tragœdias* scriberet, ipso *Agellio* (7) testante, se vidisse

(1) *Demosth. advers. Bœot. p.* 1002.
(2) *Id. in Argument. Orat. contra Eubulid. p.* 882.
(3) *Id. Orat. advers. Neæram p.* 875.
(4) *Athena. lib.* 10. *p.* 424.
(5) *Euripidi Poetæ objicit jlocalariter, ait Plin. in Nat. Hist. lib.* 22. *cap.* 22.
(6) *Lib.* 3. *Cap.* 4.
(7) *Lib.* 15. *Cap.* 20.

vidiſſe in hâc *Inſulâ ſpeluncam* tetram atque horridam, in quâ *Philochorus* prodidit, eum *Tragœdias* ſcriptitaſſe.

Verùm *Reſponſum* illud *Oraculi* (1) eum Puerum quum " adoleviſſet, *Victorem* in *Certaminibus* fore, id ei puero fatum " eſſe, Pater interpretatus eſt, *Athletam* debere eſſe, robo- " rato exercitatóque filii ſui corpore, *Olympiam* certaturum " eum inter *Athletas pueros* deduxit: ac primo quidem in " *Certamen* per ambiguam ætatem receptus non eſt, poſt " *Eleuſinio* & *Theſeo Certamine* pugnavit & Coronatus eſt. at dum Pater, ne labefactetur fides *Oraculo* debita, illud ſedulò agit, ut corporis exercitatione habilior ac promptior ſit ad hæc *certamina* capeſſenda, filius aliorſum trahit, nempe ut mente atque ingenio corroboratus & confirmatus, ſic etiam in ſuas partes pertrahat *Vaticinium*: & jam à corporis curâ, ad excolendi animi ſtudium tranſgreſſus, in Phyſicis *Anaxagoræ*, in Rhetoricis *Prodici Cei* diſcipulus fuit, ſub Priori *Periclem Oratorem* habuit condiſcipulum: Quin & *Arte Pictoriâ* aliquando exercitatum fuiſſe narratur, quam ut vult *Suidas* publicè profitebatur. *Moralem Philoſophiam* ſub *Præceptore Socrate* didiciſſe aliqui affirmant, ipſo licet ſeniore aliquantulum *Euripide*; certè exſtimabatur una cum eo ſcribere, & *Poëtam* juvaſſe in condendis fabulis. *Laertius* in *Socratis vitâ* à *Mneſilocho* dictum prodidit;

> Φρύγες ἐστὶ καινὸν δρᾶμα τοῦτ' Εὐριπίδου,
> Ὧ καὶ τὰ φρύγαν' ὑποτίθησι Σωκράτης.
> Phryges *eſt Novum Drama hoc* Euripidis,
> *Cui &* Socrates *ſarmenta ſupponit.*

Saltem familiaritate atque ſumma amicitiâ conjunctos neutiquam dubitari poteſt, & hoc nomine laudi ſibi meritò ducat *Tragœdus*, *Philoſophum* non parum tribuiſſe Sapientiæ, Modeſtiæ, Omnigenæque Virtuti *Euripidis* ſui, uti *Ælian.* (2) teſtatur; " *Socratem* nempe rarò in Theatrum venire niſi cùm *Eurip.* " *Trag.* cum novis *Tragœdiis* certaret; nam amabat hominem, " tum propter Carminum virtutem, & bonitatem: *Comicis* " valdè infenſus eos contemnebat, (ipſe enim modeſtus, ju- " ſtus, probus & ſapiens) veluti mordaces, injurioſos, & ſani " nihil dicentes, quod ipſos malè habuit. Adeo ut nihil mirum ſit, *Ariſtophanem* impudentiſſimum *Rabulam*, *populo ut placerent*, *quas feciſſet fabulas*, præcipuè cùm inde ſummam pecuniæ

(1) *Agell. ibid.*
(2) *Var. Hiſt. l.* 2. *c.* 13.

pecuniæ vim corraserat, conviciis & maledictis suis, *Euripidem*, *Socratem*, immò & quoscunque alios severioris vitæ Magistros, Dicteriis sannisque apud populum applaudentem lacessisse.

Annum jam habebat XVIII. cùm relicta *Anaxagora* scholâ, ad *Tragœdiam* scribendam animum applicaret, atque illum hoc non sponte & ex animo fecisse videtur, verum necessitate potius Coactus, & jam tempori cedendum esse prudenter ratus, quicquid ferè è *scholis* hauserat, in *scenam* transtulit: vidit enim *Anaxagoram* in capitis discrimen venire propter quasdam opiniones, novas & ante inauditas, atque in eadem *Hæresi* discipulum esse, nihil mirum, fuerit licet oppidò periculosum. Et hoc in loco non possum non apponere gravissimum illud *Plutarchi* (1) de eo Testimonium, unde innotescat quanti illum merito suo *Pericles* Auditor ejus, summusque Orator, æstimaret. Ὁ δὲ πλεῖστα Περικλεῖ συγγενόμενος, καὶ μάλιστα περιθεὶς ὄγκον αὐτῷ καὶ φρόνημα δημαγωγίας ἐμβριθέστερον, ὅλως τε μετεωρίσας καὶ συνεξάρας τὸ ἀξίωμα τοῦ ἤθους, Ἀναξαγόρας ἦν ὁ Κλαζομένιος· ὃν οἱ τότ' ἄνθρωποι (2) Νοῦν προσηγόρευον, εἴτε τὴν σύνεσιν αὐτοῦ μεγάλην εἰς φυσιολογίαν καὶ περιττὴν διαφανεῖσαν θαυμάσαντες, εἴθ' ὅτι τοῖς ὅλοις πρῶτος οὐ τύχην οὐδ' ἀνάγκην διακοσμήσεως ἀρχὴν, ἀλλὰ νοῦν ἐπέστησε καθαρὸν καὶ ἄκρατον, ἐμμεμιγμένοις (3) πᾶσι τοῖς ἄλλοις, ἀποκρίνοντα τὰς ὁμοιομερείας. eadem fere de eo habet S. *Euseb.* (4) quo remittendus erudit. Lector. revera uterque in suo genere erat consummatissimus, ille in *Oratoriâ*, hic in *Poësi Tragicâ*; ex eadem Scholâ tertium, sc. *Archelaum Physicum* prodiisse narrat idem *Euseb.* & *Strabo* (5).

Aliqui

(1) *Plut. in vit. Periclis.*

(2) Anaxagoras *qui nomine* Mentis Deum *esse Conditorem Mundi constanter & μεγαλοφρόνως edocuit: & quam rectè concepit de* Deo, *de* Cœlo *atque de* Anima humanâ, *satis liqueat ex illa illustri sententia sua significatione, nempe* Cœlum esse Patriam suam, seque ad illam post mortem reversurum esse. *Edm. Dickenson Physic. vet. & nov. cap.* 2.

(3) Πάντα χρήματα ἦν ὁμοῦ πεφυρμένα, res omnes genitæ simul erant, *i. e. in* Chaote *commixta & confusa, sed* Mens *eas separavit, & ex illis Ornatum Mundi fecit. hæc erat* Thaletis *sententia, qui fuit* Anaxagoræ *Antecessor. Edm. Dickens. p.* 63.

(4) *Præpar. Evangel. l.* 10. *cap. ult.*

(5) *Strab. Geogr. l.* 14. *pag.* 645.

Euripidis Tragici Vita.

Aliqui volunt grati animi officia *Poëtam* præstitisse erga *Præceptorem* suum in *Melanippe Fab.* quæ Σοφὴ dicitur, ὅτι φιλοσοφεῖ; (optandum foret ut jam integra extaret) ibidem fortasse (1) expressam *Philosophi* imaginem haberemus, cùm enim *Philosophiæ* operam dedisset, multósque Annos audivisset *Anaxagoram*, familiaríque *Socrate* usus, voluit interdum opiniones insignium illorum Philosophorum consignatas relinquere suis *Tragœdiis*.

Quamvis tamen versari periculo suo in *Anaxagoræ* scholâ non est ausus, & hâc in causâ omnem à se suspicionem depulisse, Magistro relicto, videtur, non omnes laqueos effugit; impietatis enim postulatur de verbo insolenti atque odioso, ut qui pejerare doceret: pervulgatissimus est ex *Hippolyto* locus (2) ἡ γλῶσσ' ὀμώμοχ'· ἡ δὲ φρὴν ἀνώμοτος. Jurata lingua est, mente juravi nihil. jam ergo forum agitur, atque inter se accusant, & quamvis non constat an in causæ dictione damnum fecerit, respondisse tamen accepimus, diluit objecta, atque falsa, saltem importuna esse docet: extat apud *Aristot.* (3) in capite de locis communibus ex quibus exordia criminationum sumuntur, & hic locus pertinet ad translationem, cùm rejicimus aut judices, aut judicii locum, aut Tempus: Respondit enim *Euripides* ipsum *Hygiænontem*, (illud enim Delatori nomen erat) injustè facere, qui causas ἐν τοῖς Διονυσίοις cognitas ad aliorum judicia transferre vellet: illic enim, ubi (4) τὰ Διονύσια exercentur, dixit se carminis ab eo damnati rationem redditurum esse, si ibi litem velit instruere.

Idem aliquando iterum commôrat bilem Auditorum, verum repente ex Artis suæ regulis exolvit eos hac sollicitudine: contigit hoc in fab. quæ *Bellerophontes* inscribitur, ibi enim senex ille fictè & simulatè posthabita virtute, graphicè depingit & suum

---

(1) Οὐκ ἐμὸς ὁ μῦθος] *inter fragm. Euripid. in Fab. Melanippe, p.* 479. *edit. Cantabrig. notant vett. Anaxagoræ sententiam sub persona Melanippæ expositam. H. Grot. not. in Excerpt. è Com. & Trag. Gr. p.* 958.

(2) *Vers.* 612.

(3) *De Arte Rhet. lib.* 3. *cap.* 15.

(4) Πανήγυρεις ἦν· καὶ ἦσαν δίκαι τινὲς λυόμεναι περὶ τοῖς Διονυσίοις· Οὐ μὴν δὲ ὡς ἐν τοῖς ἄλλοις δικαστηρίοις ἐκρίνοντο αἱ δίκαι αὗται. *Vet. Scholiast. in Aristot. Rhet. p.* 76. *edit. Paris.* 1539. Τραγῳδῶν ἦν ἀγὼν, Διονύσια. *Schol. Aristophan. p.* 380. *in Acharnen. Act.* 1. *Sc.* 5.

ſuum animum, aliorumque ſui ſimilium Euchionum nummis inhiantium;

> (1) Ὦ χρυσὲ δεξίωμα κάλλιστον βροτοῖς,
> Ὡς ἐδὲ μήτηρ ἡδονὰς τοιὰς δ' ἔχει,
> Οὐ παῖδες ἀνθρώποισιν, ἐ φίλος πατὴρ·
> Οἵας σὺ, χ' οἱ σὲ δώμασιν κεκτημένοι.
> Εἰ δ' ἡ Κύπρις τοιῦτον ὀφθαλμοῖς ὁρᾷ,
> Οὐ θαῦμ' ἔρωτας μυρίες αὐτὴν τρέφειν.

Quæ latinè extant in Epiſt. (2) Senec. Philoſ. ubi inquit, " cum Noviſſimi verſus in *Tragœdia Euripidis* pronuntiati " eſſent, totus populus ad ejiciendum & *Actorem* & *carmen* " conſurrexit uno impetu: donec *Euripides* ipſe in medium " proſiluit, petens, ut expectarent, viderentque, quem ad- " mirator Auri exitum faceret. Dabat in illa fabulâ pœnas " *Bellerophontes*, quas in ſuâ quiſque dat.

Vir erat felicis admodum ingenii, & quod in ſingulis ægrè reperias, non minus *induſtria* atque *labore*, quam *inventione* clarus perhibetur; Argumento eſt reſponſum ab eo *Alceſtidi poeta Trag.* datum: " Apud quem quum quereretur quod eo " triduo non ultra tres verſus maximo impenſo labore dedu- " cere potuiſſet, atque is ſe centum perfacile ſcripſiſſe gloria- " retur: ſed hoc inquit, intereſt, quod tui in triduum tan- " tummodo, mei vero in omne tempus ſufficient. alterius " enim fœcundi curſus ſcripta intra primas Memoriæ metas " corruerunt, alterius cunctante ſtylo elucubratum opus per " omne ævi tempus plenis gloriæ velis (3) feretur. Hinc etiam mirari liceat, in illis *Ingeniorum Certaminibus*, quibus ſæpius interfuit, iniquiori quam par erat uſum eſſe fortunâ; " ait enim *M. Varro* (4) quum quinque & ſeptuaginta *Tragœ-* " *dias* ſcripſerit, in quinque ſolis viciſſe, quum eum ſæpe " vincerent aliqui poetæ ignaviſſimi: ſed & hoc contigit ſum- " mis & doctiſſimis Viris, qui ambitu gratiaque & factionibus " ſæpius vincuntur, uti *Menander* à *Philemone* nequaquam " pari ſcriptore, quem ex CV. *Comœdiis* quas ſcripſit, ſolis octo viciſſe teſtatur *Apollodorus* (5).

Innuere

---

(1) *Eurip. edit. Cantabrig. pag.* 462. *Tom.* 2.
(2) *Epiſt.* 115.
(3) *Val. Max. lib.* 3. *cap.* 7.
(4) *Agell. lib.* 17. *cap.* 4.
(5) *Agell. ibid.*

Euripidis Tragici Vita.

Innuere videtur ſcriptor Vitarum Philoſophicarum, *in vita Plat. Platone* æque familiariter uſum eſſe *Euripidem*, ac *Platonis Præceptore Socrate*, ἀπῆλθε inquit εἰς Αἴγυπτον παρὰ τοὺς Προφήτας, οὗ φασι καὶ Εὐριπίδην αὐτῷ συνακολουθῆσαι : at nulla habita ratione temporum aut ætatis utriuſque, dictum videtur, cùm certiſſimum ſit, quinquageſimum annum & amplius *Poëtam* habere, cùm nondum natus ſit *Plato*, quippe primus *Olympiadis* LXXXVIII. eſt *Platonis* natalitius, qui non plus annis viginti & octo natus eſt quando Præceptorem *Socratem* amiſit ; præcipuè cùm & ipſe *Euripidem* ſupervixerit, qui non niſi primo Anno *Olympiadis* XCV. cicutâ hauſta mortuus eſt, æt, ſ. 70. atque obiter illa narratio de exprobratione mortis *Socratis*, quæ eſt apud *Palamed. fab.* his verbis, Ἐκάνετε, Δαναοί, ἐκάνετε τὰν πάνσοφον Μουσῶν, τὰν οὐδὲν ἀλγυνοῦσαν ἀηδόνα, &c. teſtante *Anonymo* in *Argument. Orat. Iſocrat.* quæ inſcribitur *Buſiridis Encomium*, non eſt fidem habitura.

A *Xerxis tranſitu*, ad initium *Belli Peloponneſiaci* numerantur Anni L. hinc innoteſcit *Euripidis* ætas: verum ea res quæ *Euripidis* famam nunquam intermorituram magis auctam dedit, *Bellum* erat illud *Siculum* ab *Athenienſib.* (1) temerè quidem & inconſultò ſuſceptum, quod conflatum eſt 16 ann. poſt prius memoratum: Duodeviginta millia uno Die cæſa, 7000. in Latumias & ſervitutem rapiuntur, Pauciſſimi ex quadraginta millibus evadunt, ſed memoria digniſſimum eſt, captivos qui aliquot Verſus *Euripidis* memoriter recitare poterant, *mitius* & *liberalius tractatos*, immo & *Manumiſſos* : (2) quin etiam *Euripides* bello pereuntes Carmine Exequiali decoravit, cujus fragmentum apud *Plutarc.* ſupereſt :

(3) *Οἱ δὲ Συρηκοσίους ὀκτὼ νίκας ἐκράτησαν*
Ἄνδρες, ὅτ' ἦν τὰ Θεῶν ἐξ ἴσου ἀμφοτέροις.
Octo Syracoſios fudit per prœlia Victor
Hic Miles, ſpectat dum æquus utroſque Deus.

Aliquando inter *eum* & *Sophoclem*, quippe ἀοιδὸς ἀοιδῷ, non magna interceſſerat Neceſſitudo, poſtea verò, cum ætate eſſent provectiores, rediiſſe in gratiam videntur : patet hoc ex *Epiſtolá*, (modo non ſit ſuppoſititia) ubi *Sophocli* ex *Naufragio* elapſo congratulatur, damnumque *Tragœdiarum* ibidem pereuntium vehementer dolet, niſi quod illud reſarciri poſſe videbatur,

---

(1) *Dion. Chryſoſt. Orat. 17. de avaritia pag. 251. edit. Pariſ.*
(2) *Plut. in vita Niciæ.*
(3) *Ibid.*

batur, *Auctore* superstite atque incolumi; hoc aliàs patebit quando ea quæ fecerit *Sophocles*, auditâ morte *Euripidis*, infra memorabimus.

Natura erat aliquantulum tristior; *Alexand. Ætolus* (1) hos de eo versus composuit:

Ὁ δ᾽ Ἀναξαγόρου τρόφιμος χαιοῦ
Στρυφνὸς μὲν ἔμοιγε ἰδεῖν καὶ μισογέλως,
Καὶ τωθάζειν οὐδὲ παρ᾽ οἶνον
Μεμαθηκώς· ἀλλ᾽ ὅ τι καὶ γράψαι, τοῦτ᾽ ἂν
Μέλιτος καὶ Σειρήνων ἐτετεύχει.

Sed hoc *Athenæus* Auctore *Sophocle* excusat, qui in *fabulis* hunc præ se animum tulisse eum tantum dicat, reipsâ autem & privatim, talem non fuisse.

Porrò autem vulgò audit Μισογύνης; fortasse & hoc debetur insigni illo γελωτοποιῷ *Aristophani*, (quamvis & Φιλογύνης apud *Athenæum*, sed *Dalechamp*. (2) mendum suspicatur) qui in Θεσμοφοριαζούσαις *Euripidem* inducit à mulierum senatu capitis accusatum, ob maledicta & probra in eas: sed quod verum est libenter agnoscimus, malas mulieres ubique insectatur; plurimaque malarum exempla, sed fugienda, in fabulis suis introducit, at non maledicendi animo, nullave ratione habita, vitiis atque omni dedecore infames, populo spectandas exhibet; qui non idcirco *Osor earum* est habendus, sed *Vitiorum* tantum, cùm & *aliarum Virtutem*, uti par est, summo honore prosequatur: sic *Odisse* atque *Amasse casto Pioque Poeta* convenit. Huic rei *Sophoclem Trag.* apud *Hieronymum* (3) quendam in *Historicis* habemus suffragantem; εἰπόντος Σοφοκλεῖ τινὸς ὅτι μισογύνης ἐστὶν Εὐριπίδης, ἔν γε ταῖς Τραγῳδίαις ἔφη ὁ Σοφοκλῆς, ἐπεὶ ἔν γε τῇ κλίνῃ φιλογύνης. habuit autem duas Uxores, non ambas ut volunt nonnulli eodem tempore, Volgivagam enim Venerem *Cecrops* hinc διφυὴς dictus, Lege compescuit, & sanxit, nequis binas nuptias eodem tempore constitutas haberet: Quare & duas Uxores eodem tempore *Socratem* habuisse negat *Panætius Rhod.* qui ut *Plut.* ait in *vit. Aristid.* abundè refellit hanc opinionem in libris quos de *Socrate* conscripsit. Concedebatur quidem *Psephismate* circa *Socratis* tempora διὰ τὸ λειπανδρεῖν, è Peregrina & Pellice domi, sine nuptiis, Uxoris Loco retentâ, παιδοποιεῖσθαι καὶ ἐξ ἑτέρας, cujus *Plebisciti* meminit *Athenæus*, verum una tantum erat Uxor; *Uxorem legitimam*

---

(1) *Agell. lib.* 15. *cap.* 20.
(2) *Dalechamp. not. in Athenæum pag.* 794.
(3) *Athena. lib.* 13.

ximam imitatur concubina; sed Uxor legitima non est, neque ejus liberi γνήσιοι & Cives è Lege; vid. plura in hanc rem apud Cl. *Petit.* de Leg. Attic: pag. 434. Narratur etiam (1) Auctore *Eparchide*, *Euripidem* aliquando in *Icarum* profectum, mortua in Agro fœmina cum liberis duobus sc. adultis maribus, & una puella, fungorum pestilentium Esu, & cum prole strangulata, hoc *Epigramma* composuisse.

(2) Ὦ τὸν ἀγήρατον πόλον αἰθέρος———

O Sol perpetua Cœlum vertigine lustrans
Vidistin' facinus tetrius hoc scelere?
Tum Matrem, Geminos tum fratres, atque Puellam
Omnes hoc uno nunc periisse die.

Non multo post *Siculam* Cladem videtur Poeta noster, *Athenis* relictis, *Macedoniam* contendisse, ibique in amicitiam *Archelai Regis* receptum, summóque honore habitum testantur omnes; Causa hujus Peregrinationis quæ Variè ad Arbitrium Amicorum & Inimicorum assignatur, non est tacita omninò relinquenda, sed Vulgarem illam, quæ Uxorem adulterio deprehensam à Marito comminiscitur, adeóque pudore coactum solum vertere; nihili ducimus: Si quis utriusque tum *Principis*, tum *Beneficiarii Euripidis* mores animumque pensitaverit, facile perspexerit, *Illum* non immerito summis honoribus cohonestasse virum undequaque dignum, *Hunc* autem amplissimis decoratum suffragiis digna cum laude tanto Principi placuisse. Quippe *Rex* in tantum literarum fautor (3) atque

(1) *Id. lib.* 2.

(2) *Habetur in Græ. Antholog. Epigram. Edit. H. Steph. pag.* 514. *& in Euripid. edit. Cantabrig. p.* 516.

(3) Ἀρχέλαος Μακεδόνων βασιλεὺς παιδεία εἰδὼς, ἐν παιδείᾳ συλλεγομένους τῶν σοφῶν, ἐκάλει [Σωκράτην] ἐπὶ δόξῃ καὶ μισθῷ ὅπως εἰπεῖν αὐτῷ διαλεχθείη, &c. *Dion. Prus. Orat.* 13. *de fuga sive exilio, pag.* 227. *edit. Paris.* *Et ab Aristotele memoriæ traditum est, quanti illum fecerit Archelaus, & quam admirabili animi magnitudine atque modestiâ sibi designatos honores, virtutis suæ justa debitáque præmia declinaret, quippe à Rege hospitio invitatus, injuriosum ac contumeliosum sibi videri ait accipere, cùm non par esse potest remunerando Regium beneficium. Rhetoric. l. 2. c. 23. en optimi vet. Scholiast. verba in hunc locum, quæ non gravabor apponere.* Σωκράτης ἐρωτηθεὶς, διὰ τί οὐ βαδίζει πρὸς τὸν Ἀρχέλαον, τὸν βασιλέα τῶν Μακεδόνων, καὶ ταῦτα πολλὰ παρ' αὐτοῦ εὐεργετηθεὶς, ἔφη, διότι εὖ παθὼν παρ' αὐτοῦ, οὐ δυνάμαι ὁμοίως καὶ ἐπίσης ἀμείψασθαι καὶ βοηθῆσαι αὐτῷ καὶ ὠφελῆσαι αὐτόν. *p.* 44.

que

Neque movemur Auctoritate *Dionysii* in re tam testatâ contra dicentis, tantum amovet invidiam ex odioso hoc mortis genere; quippe indignum videbatur *Talem*, *Divinum verè Poëtam*, pati simile quid iis quibus acerba & perluctuosa hæc fata contigerunt. *Plutarc.* in *vit. Lycurg.* (1) narrat, monumentum hoc quod ei posuit *Archelaus*, de Cœlo tactum, cineresque dissipatos, quod huic soli & *Lycurgo* post mortem contigisse legitur, nimirum hoc signo Deos sibi propitios credidit Antiquitas, quæ res ansam dedit Lepido huic Epigrammati;

> Ἁ Μακέτις σε κέκευθε τάφου κόνις· ἀλλὰ πυρωθεὶς
> Ζανὶ κεραυνείῳ πᾶσαν ὑπημφίεσας.
> Τρὶς γὰρ ἐπαστράψας Εὐριπίδῃ ἐκ Διὸς αἰθὴρ,
> Ἥγνισε τὸν θνητὸν σήματος ἱστορίην.

Athenienses demum cum reliquias hujus recuperare non valerent, Honorario tumulo apud se decorarunt, cujus & *Pausan.* meminit in *Attic.* quod & ad sua tempora duravit, *Epitaphio* eidem *inscripto*, quod sic se habet:

> Οὐ σὸν μνῆμα τόδ' ἐστ', Εὐριπίδη, ἀλλὰ σὺ τοῦδε,
> Τῇ σῇ γὰρ δόξῃ μνῆμα τόδ' ἀμπέχεται.
> *Non Tui hoc est Monumentum, Euripides, illius at Tu:*
> *Victurum nomen cui tua fama dedit.*

Leguntur & alia Epigrammata in eandem rem tanto homine non prorsus indigna, quæ jam memoratis visum est addere.

> Μνᾶμα μὲν Ἑλλὰς ἅπασ' Εὐριπίδου, ὀστέα δ' ἴσχει
> Γῆ Μακεδών· ᾗ γὰρ δέξατο τέρμα βίου.
> Πατρὶς δ' Ἑλλάδος Ἑλλὰς Ἀθῆναι· πλεῖστα δὲ Μούσας
> Τέρψας, ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχει.
> *Græcia tota unum Monumentum Euripidis, ossa*
> *Terra tegit Macetûm clausit ubi ille diem.*
> *Patria est Helladis Hellas Athena, plurima Musis*
> *Grata canens, laudes undique nactus habet.*
>
> Χαῖρε μελαμπετάλοις, Εὐριπίδη, ἐν γυάλοισι
> Πιερίας, τὸν ἀεὶ Νυκτὸς ἔχων θάλαμον·
> Ἴσθι δ' ὑπὸ χθονὸς ὤν, ὅτι σοι κλέος ἄφθιτον ἔσται,
> Ἶσον Ὁμηρείαις ἀενάοις χάρισι.

Salve

(1) *Plut. in vit. Licurg. pag.* 59.

Euripidis Tragici Vita.

Salve Euripides in mœsta convalle sepulte
Pieria, æternum noctis habens tumulum:
Scito tibi at remanere decus tellure reposto
Perpetuum, æquale & Mæonidæ Genio.

Et *Lycurg. Rhetor* (1) autor *Legis* fuit, ὡς χαλκᾶς εἰκόνας ἀναθεῖναι τῶν Ποιητῶν, Αἰσχύλου, Σοφοκλέους, Εὐριπίδου, καὶ τὰς τραγῳδίας αὐτῶν ἐν κοινῷ γραψαμένους φυλάττειν, καὶ τὸν τῆς πόλεως γραμματέα παραναγινώσκειν. τοῖς ὑποκρινομένοις οὐκ ἐξεῖναι γὰρ αὐτὰς ὑποκρίνεσθαι. *Statuarum* quæ his tribus *Poëtis* positæ sunt, meminit (2) *Pausan.* De illustriorum doctiorúmque Virorum miseriis eleganter deploravit *Sotades* (3) metricè, quamvis versu laxiori, non tamen indignus qui apponatur hoc in loco cum summi illius *Grotii* Versione.

Αὐτὸς γὰρ ἐὼν παντογενὴς ὁ πάντα γεννῶν,
Οὐ κρίνει δικαίως τὰ κατ' ἄνθρωπον ἕκαστον.
Καὶ γὰρ καλὰ γαῖαν τὰ κακὰ πέφυκεν αἰεὶ,
Καὶ τοῖς μεγάλοις κακοῖς γέγηθεν ὁ κόσμος.
Ὅτι πάντες, ὅσοι ἄριστον ἠθέλησαν εὑρεῖν,
Ἢ μηχανικὸν ποίημα, ἢ σοφὸν μάθημα,
Οὗτοι κακὸν εἰς τὸ θάνατον τέλος ἐποίησαν,
Ὑπὸ τοῦ γεννήτορος κόσμου κακῶς παθόντες.
Σωκράτην ὁ κόσμος πεποίηκε σοφὸν εἶναι,
Καὶ κακῶς ἀνεῖλε τὸν Σωκράτην ὁ κόσμος,
Ἐν τῇ φυλακῇ, κώνειον ὅτι πιὼν τέθνηκε.
Πολύποδα φαγὼν ὁ Διογένης ὠμὸν τέθνηκεν.
Αἰσχύλῳ γράφοντι ἐπιπέπτωκε χελώνη,
Σοφοκλῆς ῥᾶγα φαγὼν σταφυλῆς, πνιγεὶς τέθνηκε.
Κύνες οἱ κατὰ Θρᾴκην Εὐριπίδην ἔτρωγον·
Τὸν θεῖον Ὅμηρον λιμὸς κατεδαπάνησεν.

Mundus Genitor Cunctiparens, Satorque rerum,
Causas Hominum non benè novit arbitrari.
Sunt per sola terræ mala, semper & fuere,
Multísque malis undique gaudet Universum.
Res eximias queîs fuit invenire cordi,
Sive Ingenii laus foret illa, sive dextræ,
Omnes malus hos cernitur exitus secutus:
Idque omne malum fluxerat à Parente Mundo.

Mundo

(1) *Plutarc. Tom.* 2. *pag.* 841.
(2) *In Attic. pag.* 18, 19.
(3) *Stoba. edit. Grot. pag.* 397.

Mundo sapiens judice Socrates putatus,
Mundo sapiens judice Socrates necatur,
Jussus bibere in Carcere poculum Cicutæ.
Crudi polypi Diogenes peremtus esu:
Testudine cùm scriberet Æschylus cadente.
Glutito acino strangulat uva te, Sophocles;
Te Euripides in Thrace solo canes vorarunt.
Atra abstulit egregium fames Homerum.

Duriora hæc esse fatemur, præcipuè apud illos quibus sera seculorum assurget posteritas, sed neque hæc inaudita & nova, quin & nostrâ, Patrúmve Memoriâ, *de Indignè Miseris* (detur Verbo venia) nos non immerito conquerimur. Vetera ut taceamus, *Hieron. Savanarola* igne periit, *Zuinglius* prælio, *P. Ramus* *laniena Parisiensi*, *Jo. Funcius* Chronol. capite plectitur, *Barn. Brissonius* Cl. J.C. tempore *Ligæ Parisiens.* à Globo seditiosorum suspendio necatus, *J. Henr. Hottingerus* in *Limagi* trajectu, undis mersus interiit: & Nobile par illud *Stephanicæ Domûs*, Æterna Typographorum Decora atque Ornamenta, *Rob.* & *Henric.* & quales, quantosque Viros animo intueor! Quibus quantum non solum *Gallia*, sed & ipse *Christianus Orbis* debeat, testabitur dum in pretio erunt literæ; Uterque tamen (1) Pater & (2) Filius, patria profugi, tantum non extrema passi sunt: & ne hisce immorer, quàm indigna (3) *Magnum* illud *Bataviæ lumen* nostrâ memoriâ sit perpessus, nolim refricare; è Publicis illius temporis Actis plus satis sunt nota. Verum huc longius quam Voluntas fuit, à proposito digresso, dabit, uti spero, æquus Lector veniam, & me jam ad munus pensumque revoco.

Dicta ab eo celebriora quæ memoriæ ab aliis mandantur, pauca reperiuntur, nisi ea velis quæ inter opera πολυθρύλητα, non hinc illinc sparsa, sed quasi, ut aiunt, ὅλῳ τῷ θυλάκῳ effunduntur. Et hinc certè largam messem collegit industria doctorum virorum; *Joann. Stobæus*, non incelebre inter eruditos nomen, incertæ quidem ætatis, sed optimæ notæ Auctor, qui è variâ multiplicíque Veterum *Philosophorum*, *Oratorum*, *Poëtarum* lectione, *Thesaurum* suum, auro quidem contra non carum, depromsit, benè multa nostri *Poëtæ excerpta* atque preciosa *fragmenta* exhibuit; ut & omnium *Poetarum*

dicta

(1) *Thuan. ad Ann.* 1559.
(2) *Toll. de infelicit. Literator. p.* 87.
(3) *H. Grotius.*

dicta quæ apud illum extant, novâ metricâque versione eleganter admodum adornata, edidit, restituit Doctiss. *H. Grot.* Parisiis 1623. (Proximâ ante *Grotium* ætate, LX plus minus Annorum intervallo, in hisce laboribus, (de *Euripideis* jam tantum loquor) à (1) *Mich. Neandro Soraviens.* (cujus & honorificè meminit *Jac. Thuan.* in suâ Histor.) desudatum est, uti testatur ejus Ἀριστολογία Εὐριπιδείη impress. Basil. à Jo. Oporino, 1559.) tandem iterum ὁ πάνυ *H. Grot.* hoc opus aggressus est in *Excerptis ex Tragœd. & Comœd. Græcis,* absolvitque, quod lucem vidit Parisiis Ann. 1626. cujus elegantissima ubique versio è *Græcis* bonis in *Latina* quæ nativæ linguæ *Græcæ* puritati vix cedunt, pretium horum *Excerptorum* accendit.

(2) *Archelaum Regem* ferunt rogasse aliquando *Euripidem,* quem ut ante ostendimus, in convictu sibi conjunctissimum carissimumque habuit, ut de se *Tragœdiam* scriberet, respondisséque illum, Bona verba quæso, ô Rex. Utinam nequid unquam tibi accidat, quod sit *Tragœdia* dignum.

Idem aliquando, quâ de causa non novimus, hisce versiculis, qui à (3) *Plutarch.* laudantur, compellasse *Archelaum* dicitur;

(4) Οὐ βούλομαι πλουτοῦντι, &c.
Donare pauper Diviti minimè volo,
Ne mentis expers credar, aut dans poscere.

(5) Cum ei graveolentia oris objiceretur à quodam: *multa* dixit, *secreta in eo computruerunt:* subindicans maximo semper usum esse silentio.

(6) Hisce adjungi potest, prolatum ab infensissimo, affixumque *Euripidi*, quod testimonio erit eximiæ illius contestatæque virtutis, qui Scopticè, suo more, fingit pluribus verbis *Æschylum Euripidemque* inter se altercantes, cuinam in Arte suâ major laus debeatur; *Hic* verò, cujus partibus ob notam in eum invidiam *Comœdus* semper iniquior est, interrogatus ab Antagonistâ, *Quænam potissimum Virtus nos ad cujuspiam Poetæ admira-*

(1) *Thuan. ad Ann.* 1595.
(2) *Diomed. Grammat. lib.* 3.
(3) *Plut. de E I inscript. foribus Templi Delphici.*
(4) *Et extant in Tragœd. Archela. dict. inter Euripidis fragment.*
(5) *Stob. serm.* 39. *de Arcanis,*
(6) *Ariſtoph. in* Βατράχ. *Act.* 4. *Scen.* 2. *pag.* 259.

admirationem excitare queat: Si non sine dexteritate inquit, *cives commonefacere sciat, ut fiant meliores.*

Summo honore habitum testantur quicunque de eo mentionem fecerunt, & idem *Oraculum* quod primas sapientiæ *Socratis* concessit, secundas *Euripidi*, postremas verò *Sophocli* dedit, juxta pervulgatissimum illud,

(1) Σοφὸς Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης.
Ἀνδρῶν δὲ πάντων, Σωκράτης σοφώτατος.

Quod an à *Pythiâ* dictum sit de *Socrate*, qui ad *Tragicos* collatus præstantior censetur, ut illius dignitatem minuat, quemadmodum suspicatur (2) *Origenes*, viderint alii.

(3) *Plutarchus* vocat σοφὸν ἄνδρα καὶ πολιτικῶν ἐπιστήμονα νοημάτων, nimirum ut *Cicero* (4) scribit, "Olim propter eximiam maximarum rerum scientiam, à Græcis *Politici* Philosophi appellati universarum Rerum-publicarum nomine vocabantur, ita quidem huic scenico Philosopho contigisse videtur. Hoc nomine & celebratur à *Dione Chrysostomo* (5) τοῦ Εὐριπίδου σύνεσις, &c. ἀκριβὴς καὶ δριμὺ καὶ πολιτικόν, τὸ τοῦ Εὐριπίδου, quo sermone Orator Græcus in dissimili prorsus scribendi genere de præstantiâ hujus triumviratus, nempe *Æschyli, Sophoclis* & *Euripidis*, eleganter ut suo more disserit, judiciumque suum in hanc rem interponit, non ut de cujusquam famâ detrahat, sed ut singulorum dignitatem auxisse videatur. Quemadmodum *Romanus* (6) *Orator* ait de universo dicendi genere apud Oratores, "quod tamen summas habet dissimilitudines, non sic ut alii vituperandi sint, sed ut ii, quos constet esse laudandos, in dispari tamen genere laudantur: idem & inter Poëtas fieri asserit, tam Græcos quam Latinos, quanquam omnibus par pœnè laus in dissimili scribendi genere tribuatur. Sed in hâc re & (7) *Quintiliani* testimonium propter amplificationem honoris & gloriæ nominis *Euripidei*, afferre non pigebit; "Longè clarius illustraverunt hoc opus (sc. Tragœdiarum) Sophocles atque Euripides: quorum in dispari

(1) *Scholiast. Aristoph. in Nub. Act.* 1. *Scen.* 2.
(2) *Lib.* 7. *contra Celsum.*
(3) *In vit. Syllæ, pag.* 453.
(4) *De Oratore lib.* 3.
(5) *In Arcu Philoctet.*
(6) *Tull. de Oratore lib.* 3. *in initio.*
(7) *Institut. lib.* 10. *cap.* 1.

" dispari dicendi via uter sit poeta melior, inter plurimos
" quæritur. ídque ego sanè quoniam ad præsentem materiam
" nihil pertinet, injudicatum relinquo. illud quidem nemo
" non fateatur necesse est, iis qui se ad agendum comparent,
" utiliorem longè Euripidem fore. Namque is & in sermone
" (quod ipsum reprehendunt quibus gravitas & cothurnus
" & sonus Sophoclis videtur esse sublimior) magis accedit
" Oratorio generi: & sententiis densus; & in iis quæ à sapi-
" entibus tradita sunt, penè ipsis par, & in dicendo ac respon-
" dendo cuilibet eorum qui fuerunt in foro diserti, compa-
" randus. in Affectibus verò cum omnibus mirus, tum in iis
" qui miseratione constant, facilè præcipuus, & admirandus
maximè. (1) Longinus optimus ille Criticus, (2) Φιλοπονώτατος ὁ Εὐριπίδης δύο ταυτὶ πάθη, μανίας τε, καὶ ἔρωτος ἐκτραγῳδῆσαι, κἀν τούτοις, ὡς οὐκ οἶδ' εἴ τις ἕτερος ἐπιτυχέστατος. h. e. videtúrque mihi Euripides, ut in aliis omnibus concipiendis visis non inaudax, ita in duabus hisce animi perturbationibus, furore nempe, & amore, tragicè exprimendis, imprimis studiosus, &, siquis alius, it me Dii ament, insigniter felix. Et D. *Halicarnassæus* rectè judicat, totum ἀπὸ τῆς συνθέσεως pendere, (3) quam & habet γλαφυρὸν καὶ ἀνθηρόν. ab Antiquis nunquam nisi honoris causâ est appellatus, verba sententiæque ab eo prolatæ summa cum delectatione & auctoritatem orationi afferunt & fidem. Dicitur ab *Aristotele* (4) summo illo Judice τραγικώτατος τῶν Ποιητῶν: & tres illos priores versiculos fabulæ (5) Orestis οὐκ ἔστιν οὐδὲν δεινὸν, &c. *Cicero* (6) scribit tanti ponderis existimatos fuisse à *Socrate*, ut eos revocarit magnâ cum admiratione, bísque ac ter revocari voluerit: idem etiam ut amicum (7) *Tironem* de curandâ valetudine admoneat, magni ponderis atque momenti apud se testimonium

Euri-

---

(1) Περὶ ὕψους. *Sect.* 15. *pag.* 108. *de Phantasiis sive visionibus edit. Tollii. Traject. ad Rhen.* 1694.

(2) Φιλόπονος *in arte scribendi curam significat, & studium, quod in expolitione scriptorum adhibetur. Toll. in Not. ibid.*

(3) Περὶ συνθέσεως ὀνομάτων, *sect.* 23. *edit. Eruditiss. Jac. Upton Etonens.*

(4) *Lib. de Poeticâ cap.* 13.

(5) *Euripid. Orestes.*

(6) *Tusculan. disputat. lib.* 4.

(7) *Ad familiar. lib.* 16. *Epist.*

Olymp. 75. A°. Mundi 3524. Jul. Period 4234.
Post Trojam capt. 705.

Ante Christ. 480. *Urb. Cond.* 274.

Judaeos sub *Xerxe* stipendia fecisse, discimus ex *Choerili* versibus qui extant apud *Joseph.* lib. I. contra *Apion.*

Anaxagoras Euripidis praeceptor, 20 annos natus *Athenis* philosophari coepit.

Charon Lampsacenus Xerxi σύγχρονος, bellum quod *Darius* & *Xerxes* cum *Graec.* gessere, scripto signavit, & paulo erat antiquior *Herodoto.*

Hamilcar Carthaginiens. R. eodem die à *Siculis* victus, quo *Graeci Persas* ad *Salamina* vincerent,

2 Victoria apud *Plataeas*, *Boeotiae* urbem, ubi *Mardonii* copiae sunt deletae. eodem etiam die *Graeci* proelio Navali *Persas* vicerunt ad *Mycalen Ioniae* montem. *Justin.* l. 2.

4 *Fabii* 306. occisi. *U. C.* 277.

76. *Catana* vicina loca ardent *Ætnae* incendio. *Philonomus* & *Callias* suos parentes per medium incendium exportant: de quibus extat elegantiss. *Idyllium* apud *Claudian:* Arsisse iterum post annos 50 notat *Thucydid.* lib. 3.

77. 2 *Thucydid.* Hist. nascitur. 3. *Democr. Abderit.* nasc. 4. *Socrates* nasc. *Lacedamone* horrendo terrae motu viginti hominum millia intereunt.

78 *Zeuxis* pict. claret. Euseb.

4 *Artabanus* insidiis *Xerxem* obtruncat, idem mox occiditur. *Justin.* lib. 3.

79. *Artaxerxes Longimanus* succedit, erga *Judaeos* benignissimus: *Esdram* & *Nehemiam* mittit *Hierosolymas.*

Ægypti

Olymp. *Ægyptii* auditâ *Xerxis* morte deficiunt à *Persis*, & Regem sibi Creant *Inarum Psammitichi* filium: primò victores *Diodor.* lib. 11. postea vincuntur *Thucyd.* lib. 1. & *Diodor.* ibid.

80. *Pericles* Primus Orator *Athiens.* censetur: *Cic.*in *Bruto*. *Hippocrates Cous* jam flor. inter ejusd. Epist. Tom.I. extant *Artaxerxis* literæ ad *Patum* script. quibus eum rogat ut exercitui suo gravi peste laboranti opem ferat: *Pætus* respondet se nihil posse, sed esse in *Græcia Hippocratem* præstantissimum in Arte Med. Epist. 4, 5. *Artaxerxes* ad *Hystanem* scribit, ut quavis mercede hunc comparet, Epist. 6. Sed omnes conditiones recusat *Hippocrat.* Epist. 8.

2 *Lysias* Orat. nascitur.

3 *Artaxerxis* Edictum: *Ezr.* cap. 7.

81. *Æschylus* Trag. decessit in *Sicil.* prope *Gelam* sepult.

3 *Legati* à *Romanis Athenas* missi ad *leges* describendas, *U. C.* 300. Initium 70. *Hebdomadum Danielis* ab hoc anno statuit *D Petav.*

82. *Decemviri* submoti: *Coss.* restituti.

83. 3 Ad *Thurium* instaurandum mittuntur Coloni, & unà cum iis *Herodotus*, qui ob id postea Θούριος appellat.

4 *Nehemias Artaxerxi* à poculis de instauranda urbe *Hierosol.* cogitat; *Neh.* 1. & eadem de re novum edictum promulgatur. *Charondas* & *Zaleucus legislatores* flor.

84. *Melissus Protagoras* & *Empedocl.* flor.

2 ——*Censores Romæ* creantur *U. C.* 311.

3 ——*Herodot.* recitat libros suos *Athenis* in *Panathenæorum panegyri.* vixit ad initium belli *Peloponnes.*

Historia in *Xerxis* temporibus definit, etsi meminit Belli *Peloponnesiaci. Protagoras* ab *Atheniensib.* ἀθεότητος damnatus.

4 ——*Aspasia* meretrix *Athenis*, formæ, eloquentiæ, & prudentiæ nomine celebris. *Socrates* ab ea discit τὰ ῥητορικὰ καὶ πολιτικὰ *Plat.*

M E D E A.

Argumentum Actûs Primi. Pag. 4.

P*Rologus continet Occasionem totus Fabulæ, nimirum querelam* Nutricis *quæ miseræ* Dominæ *vices deplorat.* 49, Nutrix *&* Pædagogus *inter se colloquuntur.* 50, *Exaggerant periculum quod à Medeâ irata non solum* Creonti *&* Glaucæ *(eos enim hostes vocant) sed etiam liberis impendeat: quæ tamen asperior sit futura ubi se exilio mulctatam cognoverit.* 111, *Ipsa interim perquam flebiliter de suis miseriis deplorat, se cum liberis & patre Diris devovet, ac gemiscit intus.* 131, Chorus Medeæ *miseratur,* 148, *Consolatur,* 173, *Nutricem hortatur, ut (Medeâ foras evocatâ) mitiorem illius animum reddat.* 184, *Illa operam pollicetur, ingrediturque ad eam.*

Argument. Actûs Secundi. p. 26.

M*Edea foras evocata à Choro, communem calamitatem sexus muliebris & infelicem conditionem prosequitur.* 225, *suam etiam deplorat miseriam.* 259, *Chori ad ulciscendum Jasonem, tum operam tum silentium postulat.* 271, *Creon Medeæ cum liberis exilium imperat. causa exilii narrantur, sc. Odium, Artes callidæ, Minæ, à quibus sibi & suis Rex metuit.* 292, *Illa astutè cum Creonte agit, sc. nihil mali metuendum à peregrinâ & destitutâ mulierculâ, quin potius hominum invidiâ & stultitiâ fieri, ut prudentes & artium multarum gnari in probro sint, & calumniæ obnoxii. ac tandem* 348, *Vix unum diem providendis rebus ad necessaria exilii subsidia (ut ipsa quidem simulabat) impetrat. Abeunte jam* Creonte, *ac rem omnem in tuto esse æstimante, Medea de vindicta cogitat, seque ipsam ad atrox quoddam facinus extimulat. Chorus* 357, *Medeæ vicem & calamitatem miseratur, exagitatque* 410, *perfidiam Jasonis.*

Argument. Actus Tertii. p. 50.

M*Edea cum Jasone congressus: illius asperitas & sævitia, hujus autem pudor ob oculos ponitur, qui tamen factum omnibus modis excusare nititur: dehinc plurimum inter se*

alter-

altercantur. Chorus 627, *insanos detestatur amores, qui multorum malorum, cladium ac miseriarum causa sint; mediocres & honestos commendat.* 663. *Ægei Athenarum regis adventus & cum Medea colloquium, cui (cognita causâ & calamitate ipsius) hopitium pollicetur, pro qua benignitate, ipsum honorificè* 759, *Unà cum Choro verbis prosequitur. Illa accersit Jasonem,* 774, *Initam tandem cum illo & nova sponsâ callide simulat amicitiam: Chorus* 824, *iterum laudat Athenas à sapientia & Philosophia studio, deinde Medeam* 846, *ab immani cæde liberorum obnixè dehortatur.*

Argument. Actûs Quarti. p. 90.

P*Ergit Medea veteres iras dissimulare, seu faveat* Jasonis *facto, & priorum conviciorum pœniteat: illam laudat* Jason, *& ut eo animo esse porro perseveret* 908, *Hortatur. Pollicetur præterea* 944, *Omnem operam & Studium exprompturam fore ei apud* Glaucen & Creontem. 946, *Peplum & Coronam cantatis Pharmacis illitam, dona exitialia, nova sponsa mittit.* 976, *Chorus futuram cladem jam certo prævisam miseratur.* 1002, *Pædagogus Medea refert omnia esse ex animo, Reginam serenâ fronte accepisse munera, liberis manendi potestatem fecisse. Medea non parùm tamen discruciatur* 1005, *Ob segnitiem Pharmacorum. dein secum vehementissimè luctatur* 1020, *An occidat liberos odio Jasonis, & accerrima hinc oritur pugna Rationis & Affectuum, naturalis amoris, cum ira & vindicta cupiditate depugnantis. Chorus* 1081 &c. *tractat locum communem de incerto liberorum eventu, in quo est collatio conjugii & Cœlibatus.*

Argument. Actûs Quinti. p. 116.

N*Untius narrat* Medeæ *funestum exitium* Novæ Sponsæ & Creontis, *quâ re nihil jucundius Venefica adferri potuit.* Medea *licet vel sola cogitatione immanis facinoris resiliat* 1236, *tamen ruptâ Natura lege, ipsa Parens, quos pepererat* 1271, *Ferro conficit.* Jason *qui cognitâ pernicie* Glaucæ & Creontis *veniebat ad persequendum* Medeam, *& defendendum liberos* 1301, *Ne quid propter matris impietatem à civibus paterentur, cognoscit* 1309, *Ex Choro, eosdem ferro extinctos à crudeli leanâ: Pater accerbissimo obrutus dolore, amaris conviciis & querelis* 1323, *Illam insectatur, atque inter se* 1361, *Altereantur. ipsa demum volucri curru per aërem Athenas devehitur ad Ægeum. Chorus ubique inauditum facinus*

MEDEA.

Argumentum Actûs Primi. Pag. 4.

P*Rologus continet Occasionem totus Fabulæ, nimirum querelam* Nutricis *quæ miseræ* Dominæ *vices deplorat.* 49, Nutrix *&* Pædagogus *inter se colloquuntur.* 50. *Exaggerant periculum quod à Medeâ irata non solum* Creonti *&* Glaucæ *(eos enim hostes vocant) sed etiam liberis impendeat: quæ tamen asperior sit futura ubi se exilio mulctatam cognoverit.* 111, *Ipsa interim perquam flebiliter de suis miseriis deplorat, se cum liberis & patre Diris devovet, ac gemiscit intus.* 131, Chorus Medeæ *miseratur,* 148, *Consolatur,* 173, *Nutricem hortatur, ut (Medeâ foras evocatâ) mitiorem illius animum reddat.* 184, *Illa operam pollicetur, ingrediturque ad eam.*

Argument. Actûs Secundi. p. 26.

M*Edea foras evocata à Choro, communem calamitatem sexus muliebris & infelicem conditionem prosequitur.* 225, *suam etiam deplorat miseriam.* 259, *Chori ad ulciscendum Jasonem, tum operam tum silentium postulat.* 271, *Creon Medeæ cum liberis exilium imperat. causæ exilii narrantur, sc. Odium, Artes callidæ, Minæ, à quibus sibi & suis Rex metuit.* 292, *Illa astutè cum Creonte agit, sc. nihil mali metuendum à peregrinâ & destitutâ mulierculâ, quin potius hominum invidia & stultitiâ fieri, ut prudentes & artium multarum gnari in probro sint, & calumniæ obnoxii. ac tandem* 348, *Vix unum diem providendis rebus ad necessaria exilii subsidia (ut ipsa quidem simulabat) impetrat.* [illegible] *unte jam* Creonte, *ac rem omnem in tuto esse æstim*[illegible] *Medea de vindicta cogitat, seque ipsam ad* [illegible] *facinus extimulat. Chorus* [illegible] *tatem miseratur,* [illegible]

Arg[illegible]

M*Ed*[illegible]

altercantur. Chorus 627, insanos detestatur amores, qui multorum malorum, cladium ac miseriarum causæ sint; mediocres & honestos commendat. 663, Ægei Athenarum regis adventus & cum Medea colloquium, cui (cognita causâ & calamitate ipsius) hospitium pollicetur, pro qua benignitate, ipsum honorificè 759, Unà cum Choro verbis prosequitur. Illa accersit Jasonem, 774, Initam tandem cum illo & nova sponsâ callide simulat amicitiam: Chorus 824, iterum laudat Athenas à sapientia & Philosophiæ studio, deinde Medeam 846, ab immani cæde liberorum obnixè dehortatur.

Argument. Actûs Quarti. p. 90.

P*Ergit Medea veteres iras dissimulare, seu faveat* Jasonis *facto, & priorum conviciorum pœniteat: illam laudat* Jason, *& ut eo animo esse porro perseveret* 908, *Hortatur. Pollicetur præterea* 944, *Omnem operam & Studium exprompturum fore ei apud* Glaucen & Creontem. 946, *Peplum & Coronam cantatis Pharmacis illitam, dona exitialia, novæ sponsæ mittit.* 976, *Chorus futurum cladem jam certo prævisam miseratur.* 1002, *Pædagogus Medeæ refert omnia esse ex animo, Reginam serenâ fronte accepisse munera, liberis manendi potestatem fecisse. Medea non parùm tamen discruciatur* 1005, *Ob segnitiem Pharmacorum. dein secum vehementissimè luctatur* 1020, *An occidat liberos odio Jasonis, & accerrima hinc oritur pugna Rationis & Affectuum, naturalis amoris, cum ira & vindictæ cupiditate depugnantis. Chorus* 1081 &c. *tractat locum communem de incerto liberorum eventu, in quo est collatio conjugii & Cœlibatus.*

Argument. Actûs Quinti. p. 116.

N*Untius narrat* Medeæ *funestum exitium* Novæ Sponsæ & [illegible]tis, *quâ re nihil jucundius Venefica adferri potuit.* [illegible] *vel* [illegible]*itatione immanis facinoris resiliat* [illegible] *lege, ipsa Parens, quos pepererat* [illegible] *qui cognitâ pernicie* Glaucæ & [illegible]*endum* [illegible]*m, & defenden*[illegible] [illegible]*ropter* [illegible]*etatem à cru*[illegible] [illegible] 309 [illegible]*eosdem ferro* [illegible] [illegible]*ornatus dolore,* [illegible]

nus Medea deteſtatur veluti Diis hominibuſque infenſum, clauditque ſcenam cum admiratione inſperatorum eventuum, quorum Jupiter in cœlo eſt Auctor & ſummus diſpenſator.

PHOENISSÆ.

Argumentum Actûs Primi. Pag. 150.

PRologus occaſionem narrat totius Fab. quæ eſt Oedipodis 53 Inceſtus, 44 Parricidium, item 67 execrationes quibus Polynicem & Eteoclem diris devoverat. 76. Prior legitima regni parte privatus, 78 exercitum Thebas ducit, ut quod jure obtinere non poſſet, vi occuparet. Caſtramentatio exercitus Argivorum, Ducúmque præſtantia cum inſigni illo apparatu Bellico, graphicè depinguntur, v. 120, &c. Chorus ſuæ profectionis cauſam & unde 210 explicat, 246. præſentia pericula deteſtatur 260 præſagiendo futuram cladem.

Argument. Actûs Secundi. p. 192.

POlynices à matre per Inducias accerſitus, Urbem domumque Patris ingreditur, verùm omnia 276 habet ſuſpecta atque ſolicita, ut pote jam inter inimicos agens, licet fide data publ. Incidit in chorum 284 Phœniſſ. Mulierum à quibus matri filii adventus 303 narratur. Ea lætatur 308, dein objurgat 339 de conjugio peregrino. Varios inter ſe ſerunt ſermones, de odio civili exiliíque incommodis, matrimonioque inito cum Adraſti filiâ. exponit Polynic. unde 430 ſuſceperit hanc in Patriam expeditionem, animo quamvis invito. Accedit frater Eteocles 446. ad Pacis negotium: coram matre cauſa utriuſque agitur 455. quæ ſummo ſtudio lites fratrum componere nititur. Ambitionem perniciosiſſimam 531 deteſtatur: verum irrita 591 cadunt omnia: fratres minantur 624 invicem. Chorus 641, Originem Thebarùm recitat, laudatque ſolum a fertilitate & amœnitate: oratque Deos ut malis jam imminentibus ferant remedium.

Argument. Actûs Tertii. p. 246.

DEliberatio Eteocl. & Creontis de urbis defenſione. Eteocles jam ad prælium profecturus 760 ſua omnia Creonti commendat, & quid porro fieri velit imperat. Chorus 790 rerum

The-

Thebanarum depingit Calamitatem, & scaturientia ex Incestu Oedipi 820. *mala; monetque quàm acris Deus sit vindex sceleris atque libidinis: Tiresias* 856. *Consulitur à Creonte de salute Patriæ: respond. actum esse de eâ nisi suo consilio* 891, *obtemperetur. illud primò vates utpote ingratum* 898 *Creonti patefacere recusat, demum precibus victus enarrat: viz. Menœceum filium ad necem pro salute communi Martem deposcere in vindictam Draconis olim à Cadmo occisi. Creon* 977 *aliò ablegat filium, potius patriæ visurus interitum, quam filii mortem. Menœceus* 998 *verò clam patre se ipsum morti devovet. Chorus* 1026 *sphingis fœditatem atque immanitatem, Oedipique in regnum Theb. successionem describit, qui isto monstro Civitatem liberarat. denique Menœcei virtutem* 1061. *miratur, qui ad conservandam patriam tam libenter mortem oppeteret.*

Argument. Actûs Quarti. p. 294.

HIC *Actus absolvitur gemina narratione:* 1. *Nuncius Iocastæ declarat eventum belli, variamque pugnæ fortunam.* 2. *Narrat unde Eteocl. & Polynic. in singulare certamen* 1225 *consenserint, ac datâ mutuò fide* 1246 *factisque de more sacris se jam pugnæ accingant. qua re vehementer turbata Iocaste, Antigonen evocat, ut si fieri possit prohibeant tam aerox facinus. Chorus* 1290 *miseræ matris vicem deplorat, ut quæ cogatur geminorum filiorum cædem aspicere.*

Argument. Actûs Quinti. p. 322.

HIC *Actus funestus est miseris calamitatibus. Creon filium amissum plorat. Nuncius* 1345 *μονομαχίαν mutuamque cædem* Eteoclis & Polynic. *narrat: item Jocastæ* 1358 *mortem voluntariam cum filiis. Argivorum* 1476. *fugam & cædem. super hæc omnia accedit querela Tragica* 1493. *Antigones in triplici funere matris fratrumque. Oedipo* 1580 *exilium imperatur à Creonte, & Polynicis cadaver* 1623 *jubetur insepultum abjici, negat* 1639 *Antigone, fugamque cum misero Patre* 1673 *minitatur, & potius comes exilii paterni quam Creontis nurus esse vult. ultimò causa omnium harum calamitatum ab Oedipo in inevitabile fatum rejicitur.*

ΥΠΟ-

ΥΠΟΘΕΣΙΣ

ΜΗΔΕΙΑΣ.

ΙΑΣΩΝ εἰς Κόρινθον ἐλθὼν, ἐπαγόμενος καὶ Μήδειαν, ἐγγυᾶται τὴν Κρέοντος, τοῦ Κορινθίων βασιλέως, θυγατέρα Γλαύκην πρὸς γάμον. Μέλλουσα δὲ ἡ Μήδεια φυγαδεύεσθαι ὑπὸ Κρέοντος ἐκ τῆς Κορίνθου, παραιτησαμένη πρὸς μίαν ἡμέραν μεῖναι καὶ τυχοῦσα, μισθὸν τῆς χάριτος δῶρα διὰ τῶν παίδων πέμπει τῇ Γλαύκῃ, ἐσθῆτα καὶ χρυσοῦν στέφανον. οἷς ἐκείνη χρησαμένη, διαφθείρεται· καὶ ὁ Κρέων δὲ περιπλακεὶς τῇ θυγατρὶ, ἀπόλλυται. Μήδεια δὲ τοὺς ἑαυτῆς παῖδας ἀποκτείνασα, ἐφ' ἅρματος δρακόντων πτερωτῶν, ὃ παρ' Ἡλίου ἔλαβεν, ἔποχος γενομένη, ἀποδιδράσκει εἰς Ἀθήνας, κἀκεῖσε Αἰγεῖ τῷ Πανδίονος γαμεῖται. Φερεκύδης δὲ καὶ Σιμωνίδης φασὶν, ὡς ἡ Μήδεια ἀνεψήσασα τὸν Ἰάσονα νέον ποιήσειε. περὶ δὲ τοῦ πατρὸς αὐτοῦ Αἴσονος, ὁ τοὺς Νόστους ποιήσας, φησὶν οὕτως·

Αὐτίκα δ' Αἴσονα θῆκε φίλον κόρον ἡβώοντα,
Γῆρας ἀποξύσασ' εἰδυίῃσι πραπίδεσσι,
Φάρμακα πόλλ' ἕψουσ' ἐπὶ χρυσείοισι λέβησιν.

Αἰσχύλος δ' ἐν ταῖς τοῦ Διονύσου τροφοῖς ἱστορεῖ, ὅτι καὶ τὰς Διονύσου τροφὰς μετὰ τῶν ἀνδρῶν αὐτῶν ἀνεψήσασα, ἐνεοποίησε. Στάφυλος δὲ φησὶ, τὸν Ἰάσονα τρόπον τινὰ ὑπὸ τῆς Μηδείας ἀναιρεθῆναι. ἐγκελεύσασαν γὰρ αὐτὴν ὑπὸ τῇ πρύμνῃ τῆς Ἀργοῦς αὐτὸν καταχοιμηθῆναι, μελλούσης τῆς νεὼς διαλύεσθαι ὑπὸ τοῦ χρόνου. ἐπιπεσούσης γοῦν τῆς πρύμνης τῷ Ἰάσονι, τελευτῆσαι αὐτόν.

ΑΛΛΩΣ ΑΡΙΣΤΟΦΑΝΟΥΣ
ΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

ΜΗΔΕΙΑ διὰ τὴν πρὸς Ἰάσονα ἔχθραν, τῷ ἐκεῖνον γεγαμηκέναι Γλαύκην τὴν Κρέοντος θυγατέρα, ἀπέκτεινε μὲν Γλαύκην καὶ Κρέοντα, καὶ τοὺς ἰδίους υἱούς· ἐχωρίσθη δὲ Ἰάσονος, Αἰγεῖ συνοικήσουσα. Παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιία.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Κορίνθῳ· ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν πολιτίδων. Ἐδιδάχθη ἐπὶ Πυθοδώρου ἄρχοντος, κατὰ τὴν ὀγδοηκοστὴν ἑβδόμην Ὀλυμπιάδα. Πρῶτος Εὐφορίων, δεύτερος Σοφοκλῆς, τρίτος Εὐριπίδης. Μήδεια, Φιλοκτήτης, Δίκτυς, Θερισταὶ Σάτυροι, οὐ σώζεται.

ΕΥΡΙ-

ARGUMENTUM
MEDÆÆ.

JASON profectus *Corinthum*, adducens & *Medæam*, ducit in matrimonium *Glaucam* filiam *Creontis*, regis *Corinthiorum*. *Medæa* autem, cum in exilium à *Creonte* releganda è *Corintho*, deprecata esset, ut uno die maneret, & impetrâsset, mittit *Glaucæ* per liberos, mercedem pro beneficio dona, vestem & auream coronam, quibus illa usa perit: *Creon* etiam complexus filiam, moritur. *Medæa* verò cùm interfecisset suos liberos, fugit *Athenas* in curru draconum alatorum, quem à Sole acceperat, vecta: ibi verò nubit *Ægeo* filio *Pandionis*. *Pherecydes* autem & *Simonides* aiunt, quòd *Medæa* *Jasonem* coquens juvenem fecerit. De patre verò ejus *Æsone*, sic inquit poeta, qui confecit (*Argonautarum*) Reditus,

Statim verò fecit Æsonem pubescentem,
Abradens senectam gnarâ mente,
Coquens multa Pharmaca in aureis ollis.

Æschylus verò in Nutricibus *Bacchi* narrat, quòd etiam nutrices *Bacchi* cum maritis earum coquens, juvenes fecerit. *Staphylus* vero dicit aliquo modo interfectum esse *Jasonem* à *Medæâ*. Nam jussu ejus eum dormîsse sub puppe navis Argûs, cùm esset dissolvenda tempore: incidente igitur puppi super *Jasonem*, ipsum esse mortuum.

ALIUD ARGUMENTUM
ARISTOPHANIS GRAMMATICI.

MEDÆA, odio *Jasonis*, quòd is *Glaucam Creontis* filiam duxisset, *Glaucam* & *Creontem* interfecit, suosque ipsius filios: unde à *Jasone* separata, cum *Ægeo* habitavit. Hæc fabula apud Neutrum est, h. e. neque *Æschylum*, neque *Sophoclem*. Scena fabulæ *Corinthi* ponitur: Chorus ex urbicis mulieribus constat. Acta est *Pythiodoro* Archonte, circa octogesimam septimam olympiadem. Primus *Euphorion*, secundus fuit *Sophocles*, tertius *Euripides*. *Medea*, *Philoctetes*, *Dictys*, *Messores Satyrici*: non extat.

ΤΡΟΦΟΣ, ΠΑΙΔΑΓΩΓΟΣ, ΜΗΔΕΙΑ, ΧΟΡΟΣ.

Ἰαμβοί.

Τρ. Εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος
Κόλχων ἐς αἶαν, κυανέας Συμπληγάδας,
Μηδ' ἐν νάπαισι Πηλίου πεσεῖν ποτε
Τμηθεῖσα πεύκη, μηδ' ἐρετμῶσαι χέρας
Ἀνδρῶν ἀρίστων, οἳ τὸ πάγχρυσον δέρας
Πελίᾳ μετῆλθον· οὐ γὰρ ἂν δέσποιν' ἐμὴ
Μήδεια πύργους γῆς ἔπλευσ' Ἰωλκίας,
Ἔρωτι θυμὸν ἐκπλαγεῖσ' Ἰάσονος·
Οὐδ' ἂν κτανεῖν πείσασα Πελιάδας κόρας
Πατέρα, κατῴκει τήνδε γῆν Κορινθίαν
Ξὺν

ΣΧΟΛΙΑ.

1. Εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος] Τὸ ὤφελε τινὲς ἐπιρρηματικῶς δέχονται, ὡς τό, Ὤφελε μηδ' ἐγένοντο θοαὶ νέες· ἵν' ᾖ παράλληλον τὸ σχῆμα, τοῦ γράφος συνεχέστερον ἀποδεχομένης τῇ ἀφίξει τῆς Ἀργοῦς. ὁ δὲ ποιητὴς ῥῆμα αὐτὸ οἶδεν, Οὐκ ὄφελον Τρώεσσι κα-πεσαμένη, καί, Μὴ ὄφελες λίσσεσθαι ἀμύμονα Πηλείωνα. ἐπαινεῖται δὲ ἡ εἰσβολὴ διὰ τὸ περιπαθῶς ἄγαν ἔχειν, καὶ ταῖς ὑπερβολαῖς εὖ κεχρῆσθαι. Ἄλλως. ἐπαινεῖται ἡ εἰσβολὴ διὰ τὸ παθητικῶς ἄγαν ἔχειν. δεῖ δὲ καὶ τὸ ταῖς ἐκβολαῖς κεχρῆσθαι. πολὺ τὸ τοιοῦτον γένος παρ' Ὁμήρῳ. ὁ δὲ Τίμαρχος τὸν τρόπον τῆς ποιήσεως ἀγνοήσας ποιητικὸν ὄντα, τῷ ὑστέρῳ πρώτῳ φησὶ κεχρῆσθαι. ὡς καὶ Ὅμηρος, Εἵματά τ' ἀμφιέσασα θυώδεα καὶ λούσασα· πρότερον γάρ φησιν εἶναι τὰ δένδρα, εἶθ' οὕτως κατασκευασθῆναι τὴν Ἀργώ. Εἴθε] ἐπίρρημα εὐκτικόν, Εἴθ' ὡς ἡβώοιμι. ἀεὶ δὲ προτάττεται τῆς συντάξεως. τὸ δὲ ὤφειλε ῥῆμα εἰς ἀπαρέμφατον ἔπεται, Ὡς ὄφελεν θάνατός μοι ἁδεῖν κακός. τὸ δὲ διαπτάσθαι τροπικῶς, ὡς ἐπὶ ὀρνέου. ἔδει δὲ εἰπεῖν διαπλεῦσαι. Ἀργὼ δὲ ἀπὸ Ἄργου τοῦ ναυπηγήσαντος. ἢ διὰ τὸ ταχυδρομεῖν. ἀργὸν γὰρ τὸ ταχύ. ἔνθεν καὶ λήθαργος, ὁ τῇ λήθῃ ταχύς. καὶ πρώτην γε αὐτὴν ναυπηγηθῆναί φασιν· ἄλλοι δὲ τὴν ὑπὸ Δαναοῦ γεγενημένην. ἔστι δὲ ὑπέρθεσις ὁ τρόπος. τὰ γὰρ δεύτερα τῇ τάξει, πρῶτα ὑπέθετο. Ἀργοῦς σκάφος] περιφραστικῶς ἡ Ἀργώ, οὐκ ὤφειλεν ἡ Ἀργὼ παρελθοῦσα τὰς συμπληγάδας εἰς Σκυθίαν

NUTRIX, PÆDAGOGUS, MEDÆA, CHORUS.

Nutr. Utinam navis Argo non volâsset per Cyaneas Symplegadas in terram Colchicam:
Neque in saltibus Pelii cecidisset unquam
Secta pinus: neque manus remigâssent
Virorum præstantissimorum, qui aureum vellus
Peliæ *allatum* iverunt: Neque enim mea domina
Medæa navigâsset ad turres agri Iolcii,
Amore animum perculsa Jasonis.
Neque persuadens filias Peliæ, ut interficerent
Patrem, inhabitaret hanc terram Corinthiam

ΣΧΟΛΙΑ.

θίαν ἐλθεῖν. τὸ δὲ Κόλχων ἐς αἶαν) πόλις ἐν Σκυθίᾳ οὕτω καλουμένη ὀνομαστικῶς. Κυανέας δὲ) τὰς περὶ τὸ στόμα τοῦ Πόντου λέγει, αἳ δι' ἀπάτην τῆς ὄψεως δοκοῦσιν ἐνταῦθα κἀκεῖ φέρεσθαι. ταύτας δὲ Συμπληγάδας ὁ Σιμωνίδης συνορμάδας φησίν. Ἐρατοσθένης δὲ ἐν γεωγραφουμένοις, φησὶ τὸν πλοῦν στενὸν εἶναι καὶ σκολιὸν, δι' οὗ φαντάζεσθαι τοὺς πλέοντας τὴν ἀπόκλεισιν τῶν πετρῶν. 4. Τμηθεῖσα πεύκη) συνεκδοχὴ ἀπὸ μέρους τὸ πᾶν. ἀπὸ κοινοῦ δὲ τὸ ὤφελε μὴ ἐρετμῶσαι ἡ Ἀργὼ τὰς τῶν ἀρίστων χεῖρας. 5. Πάγχρυσον δέρας) τὸ δέρμα. τοῦτο οἱ μὲν ὁλόχρυσον εἶναι φασὶν, οἱ δὲ πορφυροῦν. καὶ Σιμωνίδης δὲ ἐν τῷ εἰς τὸν Ποσειδῶνα ὕμνῳ, ἀπὸ τῶν ἐν τῇ θαλάσσῃ πορφύρων κεχρῶσθαι αὐτὸ λέγει. 9. Οὐδ' ἂν κτανεῖν πείσασα) πολυχίικός τις λόγος φέρεται τῶν φιλοσόφων, ὃν ὁ Παρμενίσκος ἐκτίθησιν, ὡς ἄρα πέντε τάλαντα λαβὼν παρὰ Κορινθίων Εὐριπίδης, μεταγάγοι τὴν σφαγὴν τῶν παίδων ἐπὶ τὴν Μήδειαν. ἀποσφαγῆναι γὰρ τοὺς παῖδας Μηδείας ὑπὸ Κορινθίων, παροξυνθέντων ἐπὶ τῷ βασιλεύειν αὐτὴν θέλειν, διὰ τὸ τὴν Κόρινθον πατρῴαν αὐτῶν κτῆσιν εἶναι, ὃν μετήγαγεν ἐπὶ Μήδειαν. περὶ δὲ τῆς εἰς Κόρινθον μετοικήσεως, Ἱππεὺς ἐκτίθεται καὶ Ἑλλάνικος. ὅτι δὲ βεβασίλευκε τῆς Κορίνθου ἡ Μήδεια, Εὔμηλος ἱστορεῖ καὶ Σιμωνίδης· ὅτι δὲ καὶ ἀθάνατος ἦν ἡ Μήδεια, Μουσαῖος ἐν τῷ περὶ Ἰσθμίων ἱστορεῖ, ἅμα καὶ περὶ τῶν τῆς ἀκραίας Ἥρας ἑορτῶν ἐκτιθείς. Πελιάδας) τὰς Πελίου θυγατέρας ἔπεισεν ἡ Μήδεια τὸν πατέρα σφάξαι, καὶ ἑψῆσαι, ὡς ἐσομένου νεωτέρου· ἑψήσασα πρότερον κριὸν, καὶ ποιήσασα ἄρνα διὰ φαρμάκων.

Ξὺν ἀνδρὶ καὶ τέκνοισιν, ἁνδάνουσα μὲν
Φυγῇ πολιτῶν, ὧν ἀφίκετο χθόνα,
Αὐτή τε πάντα συμφέρουσ' Ἰάσονι·
“Ἥπερ μεγίστη γίγνεται σωτηρία,
“Ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ.
Νῦν δ' ἐχθρὰ πάντα, καὶ νοσεῖ τὰ φίλτατα.
Προδοὺς γὰρ αὑτοῦ τέκνα, δεσπότιν τ' ἐμὴν,
Γάμοις Ἰάσων βασιλικοῖς εὐνάζεται,
Γήμας Κρέοντος παῖδ', ὃς αἰσυμνᾷ χθονός.
Μήδεια δ' ἡ δύστηνος ἠτιμασμένη,
Βοᾷ μὲν ὅρκους, ἀνακαλεῖ δὲ δεξιάς,
Πίστιν μεγίστην, καὶ θεοὺς μαρτύρεται,
Οἵας ἀμοιβῆς ἐξ Ἰάσονος κυρεῖ.
Κεῖται δ' ἄσιτος, σῶμ' ὑφεῖσ' ἀλγηδόσι,
Τὸν πάντα συντήκουσα δακρύοις χρόνον,
Ἐπεὶ πρὸς ἀνδρὸς ᾔσθετ' ἠδικημένη,
Οὔτ' ὄμμ' ἐπαίρουσ', οὔτ' ἀπαλλάσσουσα γῆς
Πρόσωπον· ὡς δὲ πέτρος, ἢ θαλάσσιος
Κλύδων, ἀκούει νουθετουμένη φίλων,
Ἢν μή ποτε στρέψασα πάλλευκον δέρην,

Αὐτή

ΣΧΟΛΙΑ.

11. Τὸ δὲ ἁνδάνουσα) ὀρθὴ ἀντὶ δοτικῆς, ἀντὶ τοῦ ἁνδανούσῃ. ἤρεσκε δὲ τοῖς Κορινθίοις, ἐπειδὴ λιμώττοντας αὐτοὺς ἐπῳδαῖς πον ἰάσατο, καὶ αὐτὴ δὲ ἠρέσκετο τῇ Κορίνθῳ. ἐπεὶ λέγονται καὶ οἱ Κορίνθιοι φαρμακοὶ εἶναι. τὰ δὲ ὅμοια τοῖς ὁμοίοις φίλα εἶναι, καὶ χαίρειν ἀλλήλοις ἴσμεν. 19. Αἰσυμνᾷ) αἰσυμνᾷν ἐστὶ τὸ ἡγεῖσθαι καὶ ἄρχειν. ἰδίως δὲ φησὶν Ἀριστοτέλης, ὑπὸ Κυμαίων αἰσυμνήτην τὸν ἄρχοντα λέγεσθαι. Αἰσυμνῆται δὲ κριτοὶ ἐννέα κ. λ. ὅπου ὁ ποιητὴς δηλοῖ τοὺς ἄρχοντας τῶν ἀγώνων. Φασὶ δὲ τινὲς μὲν Ἱππότου, οἱ δὲ Κρέοντος παῖδα γαμῆσαι τὸν Ἰάσονα. περὶ δὲ τῆς Κρέοντος θυγατρὸς οὐχ ὁμοφωνοῦσι τῷ Εὐριπίδῃ οἱ συγγραφεῖς. Κλειτόδημος μὲν γὰρ Κρέουσαν φησὶ καλεῖσθαι, γήμασθαι δὲ Ξούθῳ. Ἀναξικράτης δὲ Γλαύκην. 20. Μήδεια δ' ἡ δύστηνος) Μήδειαν ὑπὸ Ἀκάστου ἐκπεσοῦσαν σὺν Ἰάσονι,

Ἱππότης

Cum viro & liberis: placens quidem
In hoc exilio civibus, ad quorum terram pervenit;
Et ipsa Jasonem adjuvans in omni re:
" Quæ maxima salus est *conjugii*,
" Quando conjux cum marito non dissidet.
Nunc verò omnia *sunt* inimica, & laborant charissima:
Nam proditis suis liberis meâque dominâ,
Jason cubat in nuptiis regiis,
Ductâ Creontis filiâ, qui princeps est *hujus* agri.
Medæa vero infelix contumeliâ affecta
Clamat jusjurandum, vocat & dexteras *datas*,
Maximam fidem, & Deos testatur,
Qualem gratiam relatam consequatur ex Jasone.
Jacet autem sine cibo, subjiciens corpus doloribus,
Omni tempore contabefaciens *se* lachrymis,
Postquam animadvertit se injuriâ affectam à viro:
Neque oculos tollens, neque avertens à terrâ
Faciem, sed ut saxum, aut marinus
Fluctus, audit monitus amicorum:
Nisi quando vertens candidam cervicem,
Ipsa

ΣΧΟΛΙΑ.

Ἱππότης ὑπεδέξατο Κρέοντος τοῦ Λυκαίθου. ὁ Λύκαιθος δὲ, ἐπεὶ Βελλεροφόντης ἄρχειν, ἦρξεν ἔτη κζ΄. ἔπειτα Κρέων λέ. εἶτα Ἱππότης. ἐπεὶ δὲ Ἰάσων ἔγημε τὴν Ἱππότου θυγατέρα, τότε δὴ κτείνασα τοὺς παῖδας αὐτῆς, ἀπαλλάσσεται πρὸς Αἰγέα. ὅτι δὲ καὶ ἐβασίλευσε Κορίνθου, ἱστοροῦσιν Εὔμηλος καὶ Σιμωνίδης, λέγων οὕτω, Οὐδὲ κατ' εἰς Κόρινθον οὐ Μαγνησίαν ναίειν. ἀλόχου δὲ Κολχίδος συνάστος, θρόνου Λεχαίου τ' ἄνασσε. 25. Δακρύοις χρόνον) ἀνενδότως δακρύει αὐτὴ τὸν συντηκομένη τὸν πάντα χρόνον, οἷον συνεχῶς κλαίουσα ἄνεσιν οὐ λαμβάνει. 30. Ἢν μή ποτε στρέψασα) τὸ δέρειν ἐὰν μὲν μετὰ τοῦ ι ὀξυτόνως δηρίω. εἰ δὲ χωρὶς τοῦ ι, δέρω.

Αὐτὴ πρὸς αὐτὴν πατέρ' ἀποιμώξῃ φίλον,
Καὶ γαῖαν, οἴκους θ', οὓς προδοῦσ' ἀφίκετο
Μετ' ἀνδρὸς, ὅς σφε νῦν ἀτιμάσας ἔχει.
“ Ἔγνωκε δ' ἡ τάλαινα συμφορᾶς ὕπο,
“ Οἷον πατρῴας μὴ 'πολείπεσθαι χθονός.
Στυγεῖ δὲ παῖδας, οὐδ' ὁρῶσ' εὐφραίνεται.
Δέδοικα δ' αὐτὴν, μή τι βουλεύσῃ νέον.
“ Βαρεῖα γὰρ φρὴν, οὐδ' ἀνέξεται κακῶς
Πάσχουσ'· ἐγᾦδα τήνδε δειμαίνω δέ νιν
Μὴ θηκτὸν ὤσῃ φάσγανον δι' ἤπατος,
Σιγῇ δόμους εἰσβᾶσ', ἵν' ἔστρωται λέχος·
Ἢ καὶ τύραννον τόν τε γήμαντα κτάνῃ,
Κἄπειτα μείζω συμφορὰν λάβῃ τινά·
“ Δεινὴ γάρ· οὔ τοι ῥᾳδίως γε συμβαλὼν
“ Ἔχθραν τις αὐτῇ, καλλίνικον οἴσεται.
Ἀλλ' οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι
Στείχουσι, μητρὸς οὐδὲν ἐννοούμενοι
“ Κακῶν. Νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.
Παι. Παλαιὸν οἴκων κτῆμα δεσποίνης ἐμῆς,
Τί πρὸς πύλαισι τήνδ' ἄγουσ' ἐρημίαν
Ἕστηκας, αὐτὴ θρεομένη σαυτῇ κακά;

Πῶς

ΣΧΟΛΙΑ.

33. Ἀτιμάσας ἔχει) Ἀττικῶς, ἀντὶ τοῦ ἠτίμησε. καὶ Σοφοκλῆς· Παῖδας γὰρ οὓς ἔφυσ' ἀναλώσας ἔχει. καὶ πάλιν, Εὐφημίαν μὲν πρῶτα κηρύξας ἔχω, οἷον λείπει τὸ ἀγαθόν. Ὅμηρος, Ὡς οὐδὲν γλύκιον ἧς πατρίδος. 40. Φάσγανον δι' ἥπατος) ἐπὶ τῶν παίδων ἀκουστέον. καὶ γάρ φησι· στυγεῖ δὲ παῖδας, οὐδ' ὁρῶσ' εὐφραίνεται. δύναται καὶ ἐπὶ αὐτῆς ἀκούεσθαι. ὁ δὲ Εὐριπίδης τὰ μέλλοντα ἀναφωνεῖ. ὁμοία δὲ ἀμφιβολία, καὶ παρ' Ὁμήρῳ, Δείδιε γὰρ μὴ λαιμὸν ἀπαμήξειε σιδήρῳ. καὶ τὸ διὰ τοῦ ἥπατος ἐπὶ τῶν παίδων λέγει. ἧπαρ γάρ ἐστιν αὐτῷ, ὡς εἴρηται, προλέγειν τὰ μέλλοντα. 42. Τύραννον) τὸν Κρέοντα φησί. τὸ δὲ ἑξῆς ἢ καὶ τύραννον

Ipſa apud ſeſe patrem deplorat charum,
Et terram & ædes, quibus proditis venit *huc*
Cum marito,qui eam nunc contumeliâ affectam
habet.
" Et miſera agnovit ob ipſam calamitatem,
" Quid *ſit* non deſerere terram patriam.
Odit autem liberos,neque lætatur aſpectu eorum.
Metuo verò ipſam, nè quid novi moliatur,
" Nam animus gravis, nec ſuſtinebit mala
Pati: ego novi eam, metuo autem eam
Nè acutum tranſfigat gladium per hepar,
Clàm ingreſſa domum, ubi ſtratus eſt lectus:
Aut regem & cui nupta fuit occidat, [cipiat.
Deinde vero majorem aliquam calamitatem ac-
" *Eſt* enim vehemens. Non facilè ſuſcipièns
" Cum eâ odium aliquis, præclaram victoriam au-
feret.
Sed iſti pueri ceſſantes â ſcholâ curuli
Veniunt, nihil cogitantes de matris
" Malis. Nam juvenilis animus non ſolet dolere.
Pæd. Antiquum domus mancipium meæ dominæ,
Quid ad portas hanc agens ſolitudinem
Stas, ipſa tibi plorans mala?

Quo-

ΣΧΟΛΙΑ.

ρᾳννον τόν τε γήμαντα κτάνῃ, δεινὴ γάρ. 43. *Συμφορὰν δὲ λάβῃ) οἱονεὶ μείζονι κακῷ περιπέσῃ πρὸς τῷ ἤδη μεμισῆσθαι ὑπὸ Ἰάσονος.* 46. *Ἐκ τρόχων) βαρυτόνως, ὡς νόμων. Ἀριστοφάνης. Βαδίζει μοι τὸ μειράκιον ἐξ ἀποτρόχων. ὡς ἀπὸ γυμνασίας οὖν ἐλθόντας τοὺς παῖδας.* 51. *Θρεομένη) σιωνουμένη, ὁμιλοῦσα. εἴρηται δὲ ἀπὸ τοῦ θρόου. Ὅμηρος, Οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος, οὐδ' ἴα γῆρυς. ἢ διαλεγομένη παρὰ τὸν θροῦν.* 48. *Νέα γὰρ φροντίς) ἡ γὰρ τῶν νέων διάνοια πονεῖν ἢ λυπεῖσθαι οὐ φιλεῖ. οἱ γὰρ νέοι ἔξω πάσης φροντίδος καὶ κακίας εἰσί.* 49. *Παλαιὸν οἶκον) ἀντὶ τοῦ παλαιὰ θρέμματα.* 54. *Χρηστοῖσι δούλοις) τοῖς χρηστοῖς δούλοις τὰ τῶν δεσποτῶν κακῶς πίπτοντα συμφορὰν φέρει καὶ ὀδύνας. κακῶς ἐκπίπτοντα, εἰς κακὸν ἀποβαίνοντα τὰ τῶν δεσποτῶν.*

57. Ὠθ'

Πῶς σου μόνη Μήδεια λείπεσθαι θέλει;
Τρο. Τέκνων ὀπαδὲ, πρέσβυ, τῶν Ἰάσονος,
« Χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν
« Κακῶς πιτνοῦντα, καὶ φρενῶν ἀνθάπτεται.
Ἐγὼ γὰρ εἰς τοῦτ' ἐκβέβηκ' ἀλγηδόνος,
Ὥσθ' ἵμερός μ' ὑπῆλθε γῇ τε κοὐρανῷ
Λέξαι, μολούσῃ δεῦρο, Μηδείας τύχας.
Παι. Οὔπω γὰρ ἡ τάλαινα παύεται γόων;
Τρο. Ζηλῶ σ'· ἐν ἀρχῇ πῆμα, κοὐδέπω μεσοῖ.
Παι. Ὦ μῶρος, εἰ χρὴ δεσπότας εἰπεῖν τόδε,
Ὡς οὐδὲν οἶδε τῶν νεωτέρων κακῶν.
Τρο. Τί δ' ἔστιν, ὦ γεραιέ; μὴ φθόνει φράσαι.
Παι. Οὐδὲν, μετέγνων καὶ τὰ πρόσθ' εἰρημένα.
Τρο. Μὴ πρὸς γενείου κρύπτε σύνδουλον σέθεν·
Σιγὴν γὰρ, εἰ χρὴ, τῶνδε θήσομαι πέρι.
Παι. Ἤκουσά του λέγοντος (οὐ δοκῶν κλύειν,)
Πεσσοὺς προσελθὼν, ἔνθα δὴ παλαίτατοι
Θάσσουσι, σεμνὸν ἀμφὶ Πειρήνης ὕδωρ,
Ὡς τούσδε παῖδας γῆς ἐλᾶν Κορινθίας
Σὺν μητρὶ μέλλει τῆσδε κοίρανος χθονὸς
Κρέων·

ΣΧΟΛΙΑ.

57. Ὥσθ' ἵμερός μ' ὑπῆλθε) τὸ σχῆμα σολοικοφανὲς, διὰ τὴν ἐναλλαγὴν τῆς πτώσεως. οὕτω δέ φησι, πέπληγα τὴν ψυχὴν ὑπὸ τοῦ κακοῦ τοῦ κατὰ Μήδειαν, ὡς ἀφιέναι λόγους εἴς τε γῆν καὶ τὸν αἰθέρα, ἀποδυρομένη τὰς ἐκείνης τύχας. οὐρανὸν γὰρ λέγει νῦν τὸν αἰθέρα. οἱ δὲ συνοχούμενοι τῷ κακῷ, τῷ οὐρανῷ, ἢ τῷ ἡλίῳ, ἢ τινὶ ἄλλῳ θεῷ ἐξηγοῦνται τὰ καθ' ἑαυτοὺς πράγματα. Ἄλλως. μεμιμηνται τοὺς ἐν μεγάλαις δυστυχίαις ἐξεταζομένους. οὗτοι γὰρ σιωπᾶν τὰς συμφορὰς μὴ δυνάμενοι, καὶ λέγειν ἀνθρώποις φοβούμενοι, οὐρανῷ, ἢ ἡλίῳ, ἢ γῇ, ἢ θεοῖς ἄλλοις διηγοῦνται. 60. Ζηλῶ σε) ἠθικῶς. ὡς εἰ εἶπεν, μακάριος εἶ τοιαύτην διάνοιαν ἔχων. Ἄλλως. θαυμάζω σε, πῶς οὐκ ἔγνωκας. ἄρτι γὰρ ἀρχὴν εἴληφε τὸ κακὸν, καὶ οὐδὲ εἰς μεσότητα προῆλθε.

Quomodo ſine te ſola Medæa relinqui vult?
Nut. O ſenex comes liberorum Jaſonis,
" Fidelibus miniſtris calamitati ſunt dominorum
" Res adverſæ, & animos afficiunt.
Ego enim eò perveni doloris,
Ut mihi venerit deſiderium terræ & cœlo
Dicere accedenti huc, Medææ infortunia.
Pæd. Nondum ergo ceſſat à luctu miſera?
Nut. Laudo te: malum inchoatum eſt, necdum eſt in medio.
Pæd. O ſtultam, ſi licet hoc dicere de dominis,
Ut nihil novit de recentioribus malis.
Nut. Quid verò eſt, ô ſenex? nè graveris dicere.
Pæd. Nihil; pœnitet me & priora dixiſſe.
Nut. Nè celes conſervam tuam per barbam:
Nam reticebo ea, ſi opus erit.
Pæd. Audivi quendam dicentem, (cùm non viderer audire,)
Accedens ad locum ubi luditur calculis, ubi natu grandes
Sedent, ad ſacram aquam Pirenes;
Quòd liberos hos è terrâ Corinthiâ ejicere
Velit cum matre dominus hujus terræ
Creon.

ΣΧΟΛΙΑ.

ἄλλε, τουτέστιν ἀπέχει τοῦ πεπαῦσθαι τὸ κακόν. ἐν ἤθει δὲ εἴρηται, οἷον μεμηνυμένος εἰ τοιαύτην διάνοιαν ἔχων. τὸ γὰρ κακὸν οὐ μόνον οὐ λήγει, ἀλλ' οὐδὲ μεσάζει, οἷον ἀκμάζει. τὸ δὲ μεσοῖ, τρίτης συζυγίας. 67. Ἤκουσά του) ἤκουσα φησὶ τινὸς λέγοντος τῶν ἀπακουστῶν, προσποιούμενος μὴ ἀκούειν. 68. Πεσσοὺς προσελθὼν) ἐπεὶ ἀπὸ τῶν ἐν τοῖς τόποις ὠνόμαζον τοὺς τόπους. πεσσοὺς γὰρ νῦν, τοὺς τόπους τῶν κυβευτῶν, ὡς ὄψον τὸ μύρον, ἔνθα ταῦτα συνήθως ἐστίν. ὅπου φησὶν εἰθισμένοι εἰσὶ πεσσεύειν, προσελθὼν ἤκουσα, ἀντὶ τοῦ προσελθοῦσα. καὶ τὸ οὐ δοκῶν, ἀντὶ τοῦ οὐ δοκοῦσα. 69. Πειρήνης ὕδωρ) Πειρήνη κρήνη ἐν Κορίνθῳ, ἣν Ἀσωπὸς εὗρεν, Ὠκεανοῦ παῖς, χαριζόμενος Σισύφῳ τῷ Κορινθίῳ σπανίζοντι ὕδατος, ὅτι αὐτῷ Αἰγίνης τῆς θυγατρὸς τὴν ὑπὸ Διὸς ἐμήνυσεν ἁρπαγήν.

76. Πα-

Κρέων· ὁ μὲν τοι μῦθος εἰ σαφὴς ὅδε
Οὐκ οἶδα· βουλοίμην δ' ἂν οὐκ εἶναι τόδε.
Τρο. Καὶ ταῦτ' Ἰάσων παῖδας ἐξανέξεται
Πάσχοντας, εἰ καὶ μητρὶ διαφορὰν ἔχει;
Παι. « Παλαιὰ καινῶν λείπεται κηδευμάτων.
Κοὐκ ἔστ' ἐκεῖνος τοῖσδε δώμασιν φίλος.
Τρο. Ἀπωλόμεσθ' ἄρ', εἰ κακὸν προσοίσομεν
Νέον παλαιῷ, πρὶν τόδ' ἐξηντληκέναι.
Παι. Ἀτὰρ σύ γ' (οὐ γὰρ καιρὸς εἰδέναι τάδε
Δέσποιναν) ἡσύχαζε, καὶ σίγα λόγους.
Τρο. Ὦ τέκν', ἀκούεθ' οἷος εἰς ὑμᾶς πατήρ·
Ὄλοιτο μὲν μή, δεσπότης γὰρ ἔστ' ἐμός,
Ἀτὰρ κακός γ' ὢν εἰς φίλους ἁλίσκεται.
Παι. Τίς δ' οὐχὶ θνητῶν ἄρτι γινώσκεις τόδε,
« Ὡς πᾶς τις αὑτὸν τοῦ πέλας μᾶλλον φιλεῖ,
« Οἱ μὲν δικαίως, οἱ δὲ καὶ κέρδους χάριν,
« Εἰ τούσδε γ' εὐνῆς οὕνεκ' οὐ στέργει πατήρ;
Τρο. Ἴτ', (εὖ γὰρ ἔσται) δωμάτων εἴσω, τέκνα.
Σὺ δ' ὡς μάλιστα τούσδ' ἐρημώσας ἔχε,
Καὶ μὴ πέλαζε μητρὶ δυσθυμουμένῃ.

Ἤδη

ΣΧΟΛΙΑ.

76. Παλαιὰ καινῶν) τὸ διὰ τὸν Πελίου θάνατον ἐκβεβλῆσθαι Θετταλίας ὑπὸ Ἀκάστου τοῦ παιδὸς Πελίου, ἢ τὸ καταλειφθῆναι αὐτὴν ὑπὸ Ἰάσονος, ὃ καὶ μᾶλλον. νέον δὲ τὸ ἐκβληθῆναι τῆς Κορίνθου. τὸ δὲ ἐξηντληκέναι ἀντὶ τοῦ πεπαῦσθαι, ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τοῖς πλοίοις ἀντλούντων. 77. Κοὐκ ἔστ' ἐκεῖνος) Ὅμηρος ἐπὶ τῆς γυναικὸς ἔλαβε, Κείνου βούλεται οἶκον ὀφέλλειν, ὅς κεν ὀπυίοι. ἔξωθεν δὲ τὸ ἔστι, καὶ οὐκ ἔστιν ἐκεῖνος τοῖσδε φίλος δώμασι. 85. Τίς δ' οὐχὶ θνητῶν) οὕτως ἀναγνωστέον, τίς δ' οὐχὶ θνητῶν. καὶ στικτέον. εἶτα ἀπὸ ἄλλης ἀρχῆς, ἄρτι γινώσκεις τόδε. διὸ καὶ μετὰ τοῦ [illegible] καταπλέον, οἷον τίς οὐκ ἔστι κακὸς εἰς φίλους. εἶτα τὸ ἄρτι γινώσκεις τόδε, οἷον ἄρτι ἔγνωκας, ὅτι ἑαυτοὺς μᾶλλον φιλοῦσιν, ἢ τοὺς πέλας.

οἱ

Creon. Hic tamen ſermo an verus ſit,
Haud ſcio : equidem vellem hoc non ſic eſſe.
Nut. Et patietur Jaſon hæc liberis *ſuis*
Accidere, etiam ſi cum matre diſſidium habeat?
" *Pæd.* Veteres novis cedunt affinitatibus.
Et ille non eſt amicus his ædibus.
Nut. Actum eſt igitur de nobis, ſi addemus malum
Novum veteri, priuſquam hoc exantlavimus.
Pæd. At tu (non enim commodum eſt hæc ſcire
Dominam) quieſce, & retice *hos* ſermones.
Nut. O liberi, audite, qualis in vos *ſit* pater:
Non *precor* quidem ut pereat; eſt enim dominus meus;
Sed tamen impius in amicos invenitur.
Pæd. Quis verò mortalium jam non noviſti hoc,
" Quod quiſque ſe ipſum magis quàm proximum amet,
" Alii quidem juſtè, alii verò etiam quæſtûs gratiâ,
" *Quid mirum ig.* ſi hos etiam *novi* connubii cauſâ non diligat pater?
Nut. Ite intrà domum, liberi, (bene enim erit.)
Túque tene hos quàm longiſſimè abductos,
Neque adducas ad matrem mœſtam.

Nam

ΣΧΟΛΙΑ.

οἱ δὲ ὑποκεῖσθαι τοῦτο ἀγνοήσαντες, τὸ τῆς ἀντιδιαστολῆς μετατεθείκασιν, εἰς τό, τίς δ' οὐχὶ θνητῶν τοῦτο γινώσκει σαφῶς. τῇ δὲ διανοίᾳ ταύτῃ καὶ ἐν Κρεσφόντῃ κέχρηται οὕτως. Ἐκεῖνο γὰρ πέπονθ', ὅπερ ἅπαντες βροτοί, Φιλῶν μάλιστ' ἐμαυτὸν οὐκ αἰσχύνομαι. 87. Οἱ μὲν δικαίως) περισσὸς ὁ στίχος περιέσκεπται, ὁ τὴν ἐπεξεργασίαν περιέχων. καὶ ὅτι προκειμένου ἑνικοῦ τοῦ τίς ἐπήνεγκε τὸ οἱ μέν. καὶ ὁ πρότερος δὲ σεσημείωται, ὅτι παροιμιώδης. 89. Ἴτ', εὖ γὰρ ἔσται) τὸ ἑξῆς ἴτε δωμάτων εἴσω τέκνα. τὸ δὲ εὖ γὰρ ἔσται, εὐχομένη λέγει. τουτέστιν ἐπὶ καλῷ δὲ ἀποβαίη εἰσελθεῖν ὑμᾶς. 90. Ἐρημώσας ἔχε) χωρίσας τῆς μητρὸς αὐτοὺς ἀπόκρυψον.

92. Ταυ-

Ἤδη γὰρ εἶδον ὄμμά νιν ταυρουμένην,
Τοῖσδ' ὥς τι δρασείουσαν· οὐδὲ παύσεται
Χόλου, σάφ' οἶδα, πρὶν κατασκῆψαί τινα·
Ἐχθρούς γε μέντοι, μὴ φίλους δράσειέ τι.

Ἀνάπαιστοι.

Μή. Δύστηνος ἐγὼ, μελέα τε πόνων.
Ἰώ μοι μοι, πῶς ἂν ὀλοίμαν;
Τρο. Τόδ' ἐκεῖνο· φίλοι παῖδες, μάτηρ
Κινεῖ κραδίαν, κινεῖ δὲ χόλον.
Σπεύσατε θᾶσσον δώματος εἴσω,
Καὶ μὴ πελάσητ' ὄμματος ἐγγὺς,
Μηδὲ προσέλθητ', ἀλλὰ φυλάσσε-
σθ' ἄγριον ἦθος, στυγεράν τε φύσιν
Φρενὸς αὐθάδους.
Ἴτε νῦν, χωρεῖθ' ὡς τάχος εἴσω.
Δῆλον δ' ἐξ ἀρχῆς ἐξαιρόμενον
Νέφος οἰμωγῆς, ὡς τάχ' ἀνάψει –
" Μείζονι θυμῷ· τί ποτ' ἐργάσεται
" Μεγαλόσπλαγχνος, δυσκατάπαυστος
" Ψυχὴ, δηχθεῖσα κακοῖσιν.
Μή. Αἶ αἶ· ἔπαθον τλάμων, ἔπαθον μεγάλων

Ἄξι

ΣΧΟΛΙΑ.

92. Ταυρουμένην) ἀγριουμένην, καὶ διὰ τοῦ βλέμματος τὸ ὀργίλον ἐπιδεικνῦσαν, οἷον ὡς ταῦρος θυμικὸν καὶ φοβερὸν ὁρῶσαν, ἄστοργον, καὶ οὐχὶ μειλιχικόν. 93. Δρασείουσαν) ἀντὶ τοῦ δράσουσαν. ἔστι δὲ Ἀττικόν. καὶ Σοφοκλῆς ἐν Αἴαντι, Ὦ δέσποτ' Αἶαν, τί ποτε δρασείεις φρενί. 94. Κατασκῆψαι) δὲ ἀντὶ τοῦ ἐπισκῆψαι. ἀπὸ τοῦ κεραυνοῦ τοῦ σκηπτοῦ, οἷον κεραυνῶσαι. 97. Ἰώ μοι μοι) ἀσύμφωνα ταῦτ' ἐστὶ τοῖς ὑπὸ τοῦ πρεσβύτου εἰρημένοις, ὅτι ἄφωνος λέγεται καθῆσθαι, καὶ ἐν αὐτῷ δὲ τῷ προλόγῳ τὸ μαχόμενόν ἐστι. Μήδεια δ' ἡ δύστηνος ἠτιμασμένη βοᾷ μὲν ὅρκους,

καὶ

Nam jam vidi eam oculis efferari,
Et aliquid patrare cupientem adversus hos: neque desistet
Ab irâ, benè scio, priusquam fulmine feriat aliquem.
Utinam tamen inimicis, non amicis aliquid faciat.

Medea.

Infelix ego & ærumnosa propter labores,
Heu me, me, quomodo peream?

Nut. Hoc illud est; chari liberi, mater
Movet cor, movet bilem.
Festinate celeriter intra ædes,
Neque veniatis propiùs in conspectum,
Nec accedatis, sed cave-
te sævum impetum, & horribilem naturam
Animi contumacis.
Ite jam, procedite quàm celerrimè intro,
Certum enim *est* ex *hoc* initio elevatam
Nubem luctus, quod mox incandescet
" Majori furore: quid tandem faciet
" Iracundus, & implacabilis
" Animus, malis punctus?

Med. Heu, heu, passa sum misera, passa sum quæ magnis

Digna

ΣΧΟΛΙΑ.

καὶ τὰ ἑξῆς. Κεῖται δ' ἄσιτος σῶμ' ὑφεῖσ' ἀλγηδόσι. ταῦτα λέγει ἔνδοθεν, καὶ οὐκ ἐν φανερῷ. ἡ δὲ φωνὴ μόνη ἐξάκουστος γίνεται. 106. Δῆλον δ' ἐξ ἀρχῆς) δῆλον γάρ ἐστιν ἀπὸ τῆς ἀρχῆς τῆς οἰμωγῆς, ὅτι ἀνάψει. ἢ οὕτως, τοῦτο γὰρ τὸ ἐξ ἀρχῆς ἐξαιρόμενον νέφος τῆς οἰμωγῆς δηλονότι, σκηπτοῦ δίκην ἐγκατασκῆψαι τινὶ, καὶ μέγα τι κακὸν κατεργάσασθαι. ἐὰν δὲ γράφηται ἀνάξει, οἷον ἐπιπολὺ ἀνάξει τὰ τῆς ὀργῆς, οἷον ἄνω ἄξει, εἰς ὕψος ἀνατενεῖ, ὅ ἐστιν αὐξήσει τὸν θυμόν. ἐξ οὗ πάλιν δῆλον, ὡς αὐξανομένη ἐπιπολὺ ἡ ὀργὴ πάντως δεινόν τι ἐργάσεται.

116. Τὶ

Ἄξι' ὀδυρμῶν. ὦ κατάρατοι
Παῖδες ὄλοισθε στυγερᾶς ματρὸς
Σὺν πατρὶ, καὶ πᾶς δόμος ἔρροι.
Τρο. Ἰώ μοι μοι, ἰὼ τλήμων.
Τί δέ σοι παῖδες πατρὸς ἀμπλακίας
Μετέχουσι; τί τούσδ' ἔχθεις; οἴμοι
Τέκνα, μή τι πάθηθ' ὡς ὑπεραλγῶ.
" Δεινὰ τυράννων λήματα, καί πως
" Ὀλίγ' ἀρχόμενοι, πολλὰ κρατοῦντες
" Χαλεπῶς ὀργὰς μεταβάλλουσι.
" Τὸ γὰρ εἰθίσθαι ζῆν ἐπ' ἴσοισι,
" Κρεῖσσον ἔμοιγ' οὖν, εἰ μὴ μεγάλως
" Ὀχυρῶς τ' εἴη καταγηράσκειν.
" Τῶν γὰρ μετρίων, πρῶτα μὲν εἰπεῖν,
" Τοὔνομα νικᾷ, χρῆσθαί τε μακρῷ
" Λῷστα βροτοῖσι. τὰ δ' ὑπερβάλλον-
" τ', οὐδένα καιρὸν δύναται θνατοῖς·

" Μεί-

ΣΧΟΛΙΑ.

116. Τί δέ σοι παῖδες) τί τούσδε μισεῖς οὐκ ὄντας αἰτίους; λέγει δὲ τοὺς παῖδας, Μέρμερον καὶ Φέρητα. 120. Ὀλίγ' ἀρχόμενοι) ἀντὶ τοῦ ἐξ ὀλίγου καὶ βραχέος ἀρχόμενοι τοῦ θυμοῦ, καὶ ἐπιπολὺ τούτου κρατοῦντες. τὸ γὰρ πολλὰ ἀντὶ τοῦ ἐπιπολύ. ἔχομεν δὲ καὶ τὴν ἔννοιαν παρ' Ὁμήρῳ, Εἴ περ γάρ τι χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ· καὶ, Θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων. δύναται δὲ τὸ ὀλίγ' ἀρχόμενοι, ἀντὶ τοῦ οὐδ' ὅλως ἀρχόμενοι, ἀλλ' εἰς τὸ ἐναντίον, αὐτοὶ πολλῶν κρατοῦντες. πέφυκε δ' ἐξουσία ἐπαίρειν ἀεὶ τοῖς ἀνθρώποις τὸν λογισμόν. 122. Τὸ γὰρ εἰθίσθαι) ὁ γὰρ ἀντὶ τοῦ δέ. τὸ δὲ ζῆν ἐπίσης, ἀντὶ τοῦ μετὰ ἰσότητος, καὶ μὴ τυραννίδι κρεῖσσον, ἔδει φησὶ πάντας ἀνθρώπους μηδένα μηδενὸς ὑπερέχειν τῆς συμμετρίας, καὶ μὴ ἐπιθυμεῖν· τοῦτο μέγιστον ἀνθρώποις καὶ λυσιτελέστατον. 124. Ὀχυρῶς τ' εἴη) ἀντὶ τοῦ μετρίως καὶ ἀσφαλῶς, ὡς τῆς συμμετρίας τὸ ἀσφαλὲς τῆς παραμονῆς ἐχούσης. τῆς δὲ ὑπερβολῆς μεγάλας καὶ τὰς ἐκπτώσεις ἐχούσης, ὡς ἐπάγει, ἀμφότερα δὲ λέγεται καὶ ἰσχυρῶς, καὶ ὀχυρῶς. Ἄλλως. αἱρετὸν μὲν φησὶ τὸ εὐδαιμονεῖν. εἰ δὲ μὴ ἐνδέχεται ἀεὶ καὶ μέχρι γήρως εὐτυχεῖν, κρεῖσσον

τὸ

Digna sunt lamentis. ô execrandi
Liberi funestæ matris, pereatis
Cum patre, & tota domus pereat.
Nut. Heu me me, heu me miseram!
Quid verò tibi filii patris peccata
Participant? cur hos odisti? hei mihi
Liberi, quàm metuo nè quid vobis accidat.
" Vehementes *sunt* regum impetus, & quodammodo
" Ex parvo inchoantes, multum invalescentes,
" Difficulter iras mutant.
" Nam assuefactum esse ad vivendum moderatè,
" Melius mihi *videtur*, si non magnificè
" Tutóque liceat consenescere.
" Nam, (ut hoc primum dicam,) moderatè viventium
" Nomen vincit; & uti eo, longè
" Optimum *est* hominibus. Sed immodera-
" ta nullo tempore valent hominibus:
" Ma-

ΣΧΟΛΙΑ.

τὸ ζῆν ἐπίσης, ὅ ἐστιν ἐν μεσότητι, τῇ ἴσῃ ἀπεχούσῃ εὐτυχίας καὶ ἀτυχίας. ὁ τοιοῦτος γὰρ βίος κρείσσων, εἰ μόνιμος. 125. Πρῶτα μὲν) αὐτὸ γάρ φησι καθ' ἑαυτὸ, τὸ τῆς συμμετρίας ὄνομα, καὶ τῇ πᾶν προσφορᾷ μόνη νικᾷ, καὶ εὐφημότερόν ἐστι. λέγει δὲ ὁ σοφὸς, Πᾶν μέτρον ἄριστον. ἐπὶ δὲ ὑπερβολῆς, μηδὲν ἄγαν. 127. Τὸ γὰρ λῷστα) ἀντὶ τοῦ λῷστον, ὅ ἐστι βέλτιστον. πληθυντικὸν ἀντὶ ἑνικοῦ. τὸ χρῆσθαι ἐν τῇ συμμετρίᾳ, εἰς ὅλον τὸν χρόνον βέλτιον. κἀγὼ οὖν φησι τῆς μεγάλης καὶ ὑπερβαλλούσης εὐτυχίας τὴν συμμετρίαν προκρίνω. ἐν ταύτῃ γὰρ, τὸ εἰ μὴ μεγάλως. ἀντὶ τοῦ εἰ μὴ μεγάλῃ καὶ ὑπερβαλλούσῃ εὐτυχίᾳ, τὸ ἀσφαλέστερον. 127. Τὰ δ' ὑπερβάλλοντ' οὐδένα) αἱ δὲ ὑπερβολαί φησιν ἀσθενεῖς καὶ οὐ βέβαιοι τοῖς ἀνθρώποις, τῇ ἀρχαίᾳ μεταβολῇ, οὐδ' εἰ γεγόνασι τὴν ἀρχὴν νομιζόμεναι. ὁ γὰρ τὴν συμμετρίαν ἔχων, εἰ καὶ πέσοι ταύτης τρόπον τινὰ, οὐδεμίαν δοκεῖ πεπονθέναι παραλλαγήν. ἔπειτα τοῖς μὲν ὑπερβολὴν ἔχουσι, φθόνος παρακολουθεῖ· τοῖς δ' οὔ. διὸ ἐπιπολὺ παραμένει ἡ συμμετρία. τὸ δὲ ὅταν ὀργισθῇ, ἰδιωτικώτερον εἴρηκεν. ἔδει γὰρ εἰπεῖν, ὅταν χολωθῇ.

« Μείζους δ' ἄτας, ὅταν ὀργισθῇ
« Δαίμων, οἴκοις ἀπέδωκεν.
Χο. Ἔκλυον φωνάν, ἔκλυον δὲ βοὰν
Τᾶς δυστάνου Κολχίδος.
Οὐδέ πω ἤπιος. ἀλλ', ὦ γεραιὰ
Λέξον· ἐπ' ἀμφιπύλου γὰρ ἔσω
Μελάθρου βοὰν ἔκλυον.
Οὐδὲ συνήδομαι, γύναι,
Ἄλγεσι δώματος,
Ἐπεὶ μὴ φίλα κέκραται.
Τρο. Οὐκ εἰσὶ δόμοι· φροῦδα τάδ' ἤδη.
Ὁ μὲν γὰρ ἔχει δῶμα τυράννων,
Ἡ δ' ἐν θαλάμοις τάκει βιοτὰν
Δέσποινα, φίλων οὐδενὸς οὐδὲν
Παραθαλπομένα φρένα μύθοις.
Μή. Αἶ αἶ· διά μου κεφαλᾶς φλὸξ οὐρανία
Βαίη. τί δέ μοι ζῆν ἔτι κέρδος;
Φεῦ, φεῦ· θανάτῳ καταλυσαίμαν,
Βιοτὰν στυγερὰν προλιποῦσα.
Χο. Ἄϊες, ὦ Ζεῦ, καὶ γᾶ, καὶ φῶς,
Ἰαχάν, οἵαν ἁ δύστανος μέλπει νύμφα;
Τίς σοι ποτὲ τᾶς ἀπλήστου
Κοίτας ἔρως, ὦ ματαία,
Σπεύσει θανάτου τελευτάν;

Μη-

ΣΧΟΛΙΑ.

133. Οὐδέπω ἤπιος) ἔοικε φησὶν ἡ Μήδεια, μηδέπω πεπραΰνθαι. 134. Ἀμφίπυλον) τὸ ἔχον δύο πύλας, καὶ εἰσόδους, μίαν μὲν τὴν αὐθεντικὴν, ἑτέραν δὲ ἣν Ὅμηρος λέγει ὀρσοθύρην· ἐγὼ οὖν φησὶν ἐπὶ τοῦ ἀμφιπύλου οὖσα, ἤκουσα φωνῆς ἔσω τοῦ μελάθρου. 138. Ἐπεί μοι φίλον) τὸ οἴκημα φησὶ τετέλεσται ἐμοὶ φίλον οἷον ὑπάρχει, οὐκ εἰσὶ δόμοι, οἷον τὸ κατεστραμμένον ὁ οἶκος, ἠφάνισται. ἀπὸ δὲ ἀρσενικοῦ, εἰς οὐδέτερον μετέστη. Φροῦ-

δα

" Majores enim calamitates, quando irascitur
" Deus, afferunt familiæ.
Cho. Audivi vocem, audivi clamorem
Infelicis Colchidis.
Nec adhuc *est* placata. Sed, ô vetula
Dicito : nam intra biforem
Domum, clamorem audivi.
Neque delector, ô mulier,
Luctibus domûs;
Quia non grata *sunt ea quæ* fiunt.
Nut. Non sunt ædes : evanuerunt hæc jam.
Ille sc. *Jason* enim tenet domum principum,
Hæc sc. *Med.* verò tabefacit vitam in thalamis
Domina, nullius amicorum quicquam
Verbis lenita animo.
Med. Heu, heu, *utinam* flamma cœlestis per meum caput
Eat! Quid enim mihi lucri *est* amplius vivere?
Heu, heu, divertam ad mortem,
Relictâ odiosâ vitâ.
Cho. Audivisti, ô Jupiter, & terra, & lux,
Qualem vocem infelix concinat sponsa?
Quænam tibi tandem insatiabilis
Thori cupiditas, ô stulta,
Accelerabit mortis finem?

Nè

ΣΧΟΛΙΑ.

διὰ γὰρ τῶνδε, τὰ οἰκήματα λέγει. 144. Φλὸξ οὐρανία βαίη) οἷον κεραυνωθείην, κεραυνοβοληθείην. φλόγα γὰρ οὐρανίαν τὸν κεραυνὸν λέγει. 148. Ἄϊες, ὦ Ζεῦ) τὸ ἄϊες ὁ Δίδυμος πρὸς τὰς τοῦ χοροῦ φησὶ λέγεσθαι ὡς ἠκούσατε, καὶ οὐ πρὸς τὸν Δία. ἐν ἤθει οὖν τὸ Ζεῦ, καὶ γᾶ, καὶ φῶς. τοῦτο δὲ Ἀπολλόδωρος τῆς Μηδείας φησίν. ἀπὸ δὲ τοῦ ἰαχὰν τοῦ χοροῦ ἵν' ἔχῃ λόγον, τὸ κἀπιβοᾶται θέμιν εὐκταίαν, Ζῆνά τε, τοὺς δ' ὑποκειμένους συγχέειν. 150. Τίς σοί ποτε) τὸ μέγεθος θαυμάζει τοῦ ἔρωτος. τίς ἄρα φησὶν οὗτος ὁ ἔρως, ὁ τῆς ἀκορέστου ταύτης κοίτης, ὃς σπεύδει θάνατον ἐπιπέμψαι. ἄπλητον δὲ λέγει τὴν κοίτην, ἐπεὶ δέον καταφρονητικῶς φέρειν, καὶ μισεῖν τὸν Ἰάσονα συνελθόντα. ἡ δὲ καὶ οὕτως κνίζεται, ὅτι μὴ σύνεστιν αὐτῇ. 152. Τὸ δὲ σπεύσει θανάτου τελευτάν) ἀντὶ τοῦ ἐπείξει, καὶ ἐμβαλεῖ σοι θάνατον.

153. Μη-

Μηδὲν τόδε λίσσου.
Εἰ δὲ σὸς πόσις
Καινὰ λέχη σεβίζει,
Κείνῳ τόδε μὴ χαράσσου.
Ζεύς σοι τάδε συνδικήσει.
Μὴ λίαν τάκου,
Ὀδυρομένα σὸν εὐνέταν.
Μή. Ὦ μεγάλα Θέμι, καὶ πότνι' Ἄρτεμι,
Λεύσσεθ' ἃ πάσχω, μεγάλοις ὅρκοις
Ἐνδησαμένα τὸν κατάρατον
Πόσιν; ὅν ποτ' ἐγὼ νύμφαν τ' ἐσίδοι-
μ' αὐτοῖς μελάθροις διακναιομένους·
Οἵ γέ με πρόσθεν τολμῶσ' ἀδικεῖν.
Ὦ πάτερ, ὦ πόλις, ὧν ἀπενάσθην
Αἰσχρῶς, τὸν ἐμὸν κτείνασα κάσιν.
Τρο. Κλύεθ', οἷα λέγει, κἀπιβοᾶται
Θέμιν εὐκταίαν, Ζῆνά θ', ὃς ὅρκων
Θνατοῖς ταμίας νενόμισται;

Οὐκ

ΣΧΟΛΙΑ.

153. Μηδὲν τόδε λίσσου) μὴ λίσσου φησίν, ὦ Μήδεια, τὸ θανεῖν. εἰ δὲ ὁ σὸς ἀνὴρ ἠθέτησε τοὺς ὅρκους, ἐκείνῳ γενέσθαι λίσσου τόδε, δηλονότι τὸ κεραυνωθῆναι καὶ ἀποθανεῖν. 156. Κείνῳ τόδε) τουτέστιν ἐκείνῳ τόδε τὸ ἁμάρτημα μὴ λογίζου. καὶ δι' ἐλπίδος ἔχε τοὺς θεοὺς ἀπαιτήσειν αὐτὸν τιμωρίαν. 158. Μὴ λίαν τάκου) σὺ φησὶ μὴ χαλέπαινε, μηδὲ θυμοῦ. συνδίκῃ δέ, ἀντὶ τοῦ σὺν τῷ δικαίῳ, ἐπεξελεύσεται. 167. Κτείνασα κάσιν) Τιμαχίδας ἐπὶ τὰ πρόχειρα, πᾶσιν ἐνεχθείς, τὸν Ἄψυρτον φησὶ λέγειν αὐτήν, τοῦ Εὐριπίδου μήτε ἐνταῦθα, μήτε ἐν τῷ Αἰγεῖ δηλώσαντος τὸν Ἄψυρτον ὀνόματι. ὁ δὲ Φερεκύδης διὰ τοῦ ξ' ὀνομάζειν αὐτόν. Δικαιογένης δὲ ἐν τῇ Μηδείᾳ Μετάποντιον αὐτὸν ὀνομάζειν. ἀνῃρῆσθαι δὲ αὐτόν, οἱ μὲν ὑπὸ Μηδείας, οἱ δὲ ὑπὸ Ἀργοναυτῶν. Λέων δὲ ὁ ῥήτωρ οὐ σφαγῆναι, ἀλλὰ διαφθαρῆναι αὐτὸν φαρμάκοις. 169. Θέμιν εὐκταίαν) τῶν διαβεβοημένων ἐστὶ ζητημάτων καὶ τοῦτο, πῶς ἡ μὲν Μήδεια τὴν Θέμιν καὶ τὴν Ἄρτεμιν βοᾶται. ἡ δὲ πρεσβῦτις, ἀντὶ τῆς Ἀρτέμιδος τὸν Δία φησὶν αὐτὸν ἐπιμαρτύρεσθαι. Ἀπολλό-

δωρος

Nè hoc preceris.
Quòd ſi tuus maritus
Colit novum lectum,
Illi nè hoc *gravius* imputes:
Jupiter hæc ulciſcetur pro te.
Nè nimis tabeſcas,
Plorans tuum maritum.
Med. O magna Themis, & reverenda Diana,
Videtis, quæ patior? quæ magno juramento
Obligavi execrandum
Maritum? Quem *utinam* aliquando ego, & ſponſam vide-
am in ædibus diſcerptos,
Qui me prius audent injuriâ afficere.
O pater, ô civitas, à quibus diſceſſi
Turpitèr, occiſo meo fratre.
Nut. Auditis, quæ dicit, & *ut* invocat
Themidem, faventem votis, & Jovem, qui juramentorum
Cuſtos hominibus exiſtimatur?

Non

ΣΧΟΛΙΑ.

Ὀρθῶς μὲν οὖν φησὶν ὁ Ταρσεὺς, τῆς ἀμφιβολίας αἰτίους εἶναι τοὺς ὑποκριτὰς, συγχέοντας τὰ χορικὰ τοῖς ὑπὸ Μηδείας λεγομένοις. Δεῖ δὲ τὴν διαστολὴν γεγονέναι μὲν, ἐκ τοῦ τὴν Μήδειαν ἅπαντα ταῦτα λέγειν, αἲ αἲ διά μου κεφαλῆς φλὸξ οὐρανία βαίη, ἕως τοῦ, ἀΐεις ὦ Ζεῦ, καὶ γᾶ, καὶ φῶς· τὰ δὲ ἑξῆς τοῦ χοροῦ προσάψαι. οὕτω γὰρ ἐχούσης τῆς διαστολῆς, ὡς αὐτῆς φησὶ τῆς Μηδείας διαῤῥήδην προσκαλέσασθαι τὸν Δία, τὰ ἑξῆς τὸν χορὸν λέγειν, ἰαχὰν οἵαν ἁ δύστανος μέλπει νύμφα. εἰ δὲ μὴ, γελοῖον δοκεῖ εἶναι τῆς Μηδείας καταρωμένης ἑαυτῇ, τὸν χορὸν λέγειν, ἀΐεις ὦ Ζεῦ, καὶ γᾶ, καὶ φῶς. λελύσθαι οὖν τὴν ἀπορίαν εἰκότως, τὴν πρεσβῦτιν ἔνδοθεν κατηκοῦσαι τῆς Μηδείας, καὶ λέγειν, κλύεθ' οἷα λέγει. ὁ δὲ Δίδυμος φησὶν, ὅτι διὰ τοῦ λέγειν διά μου κεφαλῆς φλὸξ οὐρανία βαίη, ἐπικαλεῖται τὸν Δία. τίς γὰρ εἶχεν αὐτῇ ἐπιπέμψαι τὸν κεραυνὸν, εἰ μὴ ὁ Ζεύς; εἰ καὶ ἡ πρεσβῦτις μὴ πάντων ὧν ἡ Μήδεια ἀπεκαλέσατο ἐμνήσθη, οὐ παράδοξον. ἠρκέσθη γὰρ τοῖς σεμνοτάτοις. οἱ δὲ φασὶ λείπειν, τὸ ὄμνυμι Ζῆνα καὶ Θέμιν.

171. Ἐν

Οὐκ ἔστιν, ὅπως ἔν τινι σμικρῷ
Δέσποινα χόλον καταπαύσει.
Χο. Πῶς ἂν ἐς ὄψιν τὰν ἁμετέραν
Ἔλθοι, μύθων τ' αὐδαθέντων
Δέξαιτ' ὀμφάν;
Εἴπως βαρύθυμον ὀργὰν,
Καὶ λῆμα φρενῶν μεθείη.
Τρο. Μήτοι τόγ' ἐμὸν πρόθυμον
Φίλοισιν ἀπέστω.
Χο. Ἀλλὰ βᾶσά νιν δεῦρο πόρευσον οἴκων
Ἔξω, φίλα, καὶ τάδ' αὔδα·
Σπεῦσον, πρίν τι κακῶσαι τοὺς εἴσω.
Πένθος γὰρ μεγάλως τόδ' ὁρμᾶται.
Τρο. Δράσω τάδ'. ἀτὰρ φόβος εἰ πείσω
Δέσποιναν ἐμάν.
Μόχθου δὲ χάριν τήνδ' ἐπιδώσω·
Καίτοι τοκάδος δέργμα λεαίνης
Ἀποταυροῦται δμωσὶν, ὅταν τις
Μῦθον προσφέρων πέλας ὁρμαθῇ.
" Σκαιοὺς δὲ λέγων, κοὐδέν τι σοφοὺς
" Τοὺς πρόσθε βροτοὺς, οὐκ ἂν ἁμάρτοις·
" Οἵτινες ὕμνους ἐπὶ μὲν θαλίαις,
" Ἐπί τ' εἰλαπίναις, καὶ παρὰ δείπνοις

" Εὔ-

ΣΧΟΛΙΑ.

171. Ἔν τινι σμικρῷ) λείπει κακῷ· ἀλλὰ δηλονότι μέγα καταπραξαμένη κακὸν, παύσεται τῆς ὀργῆς. 173. Πῶς ἂν ἐς ὄψιν) πῶς φησὶ συντυχοῦσα αὐτῇ διαλεχθείην, καὶ πῶς τῶν παρ' ἐμοῦ ῥηθησομένων λόγων τὴν φωνὴν δέξαιτο. ὀμφὴν γὰρ νῦν τὴν φωνὴν λέγει, ἢ τὴν ὁμιλίαν, καὶ οὐχὶ τὴν κληδόνα. 178. Μήτοι τό γ' ἐμὸν) ἡ ἐμὴ παροῦσα προθυμία, μὴ ἐκτὸς τῶν φίλων ἀπέστω. 184. Ἀτὰρ φόβος εἰ πείσω) ἀλλ' εἰ φοβερὸν καὶ δυσχερὲς πεῖσαι τὴν ἐμὴν δέσποιναν θυμουμένην ἐνταῦθα προσελθεῖν, ὅμως ἐγὼ τὴν δὲ σοὶ τὴν χάριν καταθήσω, καὶ εἰσελθοῦσα καλέσω αὐτὴν, ὑπὲρ τοῦ μὴ μοχθεῖν καὶ ἀδημο-

νεῖν

Non fieri poteſt, ut in aliquâ parvâ re
Domina iram ſedet.

Cho. Quomodo in conſpectu noſtrum
Veniat, & dictorum verborum
Vocem accipiat?
Si fortè acerbam iram,
Et impetum animi remittat.

Nut. Meum certè ſtudium non
Deerit amicis.

Cho. Sed vade, & eam huc adducito domum
Extra, ô chara, & hæc dicito:
Propera, priuſquam aliquid mali faciat iis, qui
intus ſunt.
Nam luctus hic valdè incitatur.

Nut. Faciam hæc. Sed metuo ut perſuadeam
Dominam meam:
Laboris tamen gratiam hanc *vobis* præſtabo.
Quanquam leænæ, quæ recens peperit, aſpectu
Efferatur in famulos, quùm quis
Accedit propè collocuturus.
" Lævos autem dicens & nihil ſapientes
" Homines, qui ante *nos* fuerunt, non erraveris:
" Qui hymnos in feſtivitatibus,
" Et conviviis & cœnis

" In-

ΣΧΟΛΙΑ.

νεῖν σε ἔσωθεν καὶ προσδεχομένην. 186. Μόχθου δὲ χάριν) ὑπὸ τοῦ μόχθου, οὗ περὶ ἡμᾶς ἔχεις. τὸ δὲ χάριν, καὶ ἀπὸ κοινοῦ. 187. Καίτοι τοκάδος) λείπει τὸ ἐχούσας. καίτοι φησὶν ἡ δέσποινα δεινὸν ὁρᾷ, τοῖς τολμῶσιν αὐτῇ πλησιάζειν, ἐχούσας λεαίνης τετοκυίας τὸ βλέμμα, καὶ ὅμως οὕτως ἐχούσης αὐτῆς θυμοῦ, εἰ σὴν χάριν εἰσελεύσομαι. τοῦτο γὰρ ἀπὸ κοινοῦ. 188. Ἀποταυροῦται) ἀντὶ τοῦ ταυρηδὸν σχηματίζεται τὸ πρόσωπον, ὡς σχῆμα μὲν ἔχειν λεαίνης. σχηματίζεται δὲ τὸ πρόσωπον, ὁμοίως ταύρῳ θυμουμένῳ. Ἀποταυροῦται) οὕτω φησὶν ἀποβλέπει εἰς ἡμᾶς ὀργίλως, ὡς λέαινα ὀργισθεῖσα τῶν τέκνων αὐτῆς. 192. Θαλίαις) θυσίαις, εἰλαπίναις, ἑορταῖς, λέγει δὲ τὴν παροινίαν.

« Εὔροντο, βίου τερπνὰς ἀκοάς.
« Στυγίους δὲ βροτῶν οὐδεὶς λύπας
« Εὕρετο μούσῃ καὶ πολυχόρδοις
« Ὠιδαῖς παύειν, ἐξ ὧν θάνατοι,
« Δειναί τε τύχαι σφάλλουσι δόμους.
« Καί τοι τάδε μὲν κέρδος ἀκεῖσθαι
« Μολπαῖσι βροτούς. ἵνα δ' εὔδειπνοι
« Δαῖτες, τί μάτην τείνουσι βοάν;
« Τὸ παρὸν γὰρ ἔχει τέρψιν ἀφ' αὑτοῦ
« Δαιτὸς πλήρωμα βροτοῖσιν.
Χο. Ἰαχὰν ἄϊον πολύστονον γόων.
Λιγυρὰ δ' ἄχεα μογερὰ βοᾷ
Τὸν ἐν λέχει προδόταν, κακόνυμφον.
Θεοκλυτεῖ δ' ἄδικα παθοῦσα,
Τὰν Ζηνὸς ὁρκίαν Θέμιν,
Ἅ νιν ἔβασεν
Ἑλλάδ' ἐς ἀντίπορον
Δι' ἅλα νύχιον,
Ἐφ' ἁλμυρὰν πόντου

Κλῃδ'

ΣΧΟΛΙΑ.

195. Στυγίους βροτῶν) τὴν λύπην θεραπεύειν δι' ᾠδικῶν κέρδος ἐστὶ, καὶ ὠφέλεια. καίτοι τὸ ἀκεῖσθαι καὶ θεραπεύειν τὰς λύπας τῶν ἀνθρώπων, κέρδος ἐστὶν καὶ ὠφέλεια. τίς δὲ χρεία ἐν συμποσίῳ τρέφειν ὕμνους, ὅπου καὶ χωρὶς τῶν ὕμνων αὐτὴ ἡ παρουσία τῶν συμποτῶν τέρψιν ἔχει. 197. Ἐξ ὧν θάνατοι) ἐξ ὧν λυπῶν αἱ δειναὶ συμφοραὶ, πταίειν καὶ ἀποτυγχάνειν ποιοῦσι τοὺς δόμους. 201. Τί μάτην) τίς γὰρ ἐκεῖ χρεία μουσικῆς, αὐτῶν τῶν ἀπὸ θοίνης τερπόντων; τείνουσι δὲ βοὰν, ἀντὶ τοῦ ᾄδουσι μετὰ τόνου. καὶ γὰρ εὐωχία ἱκανή ἐστιν εἰς τὸ τέρψαι τοὺς ἀνθρώπους. 205. Λιγυρὰ δ' ἄχεα) ἀντὶ τοῦ λιγυρῶς καὶ ὀξέως τὰ ἄχεα φησὶν ἡ μογερὰ Μήδεια βοᾷ. 208. Τὰν Ζηνὸς ὁρκίαν Θέμιν) ταῦτα τοῖς ἀξιοῦσιν ὑπὸ τῆς Μηδείας διὰ τῆς Θέμιδος προσειλῆφθαι τὸν Δία, συμπρεπέστερα. οἱ γοῦν προσυπομνηματισάμενοι γράφουσιν οὕτως. δῆλα) τὰ

λέγει

" Invenerunt, vitæ jucundas auditu voluptates.
" Horribiles autem mortalium nemo mœrores
" Invenit quomodo Musicâ & vario nervorum
" Cantu ſedare poſſimus, ex quibus cædes,
" Et graves caſus, evertunt domos.
" Atqui *in rebus* his maxima utilitas eſſet mederi
" Hominibus cantu: ubi verò *ſunt* læta
" Convivia, quid fruſtrà intendunt vocem?
" Præſens enim præbet voluptatem per ſe
" Convivii abundantia mortalibus.

Cho. Audivi clamorem cum multis gemitibus lamentationum:
Miſeros verò, & triſtes dolores clamat
Jaſonem connubii proditorem, malúmque ſponſum.
Invocat autem Deos injuriis affecta,
Et Themidem, *filiam* Jovis, quæ eſt cuſtos juris-jurandi,
Quæ ipſam traduxit
In Græciam è regione ſitam *Colchidis*,
Per mare nocturnum,
Supra ſalſas ponti

Im-

ΣΧΟΛΙΑ.

λέγειν Ζηνὸς ὁρκίαν Θέμιν βοηθῆσαι τοῖς προκειμένοις, ὅτι διὰ τὸ Θέμιδος τὸν Δία ἐπικαλεῖτο, διὰ τὸ εἶναι Διὸς τὴν Θέμιν· λέγει οὖν ὅτι τῇ παρέδρῳ τῷ Διῒ δικαιοσύνῃ, ἤγουν τοῖς ταύτης ὅρκοις πιστεύσασα, ἔπραξεν ἃ ἔπραξεν· ὁρκίαν δὲ αὐτὴν εἶπεν, ὡς τῶν ὅρκων ἔφορον, καὶ συνθηκῶν πρύτανιν. ἥτις Θέμις αὐτὴν τὴν Μήδειαν καὶ διαβῆναι πεποίηκεν εἰς τὴν Ἑλλάδα, διὰ τὴν ἀντίπορον τῆς Σκυθίας. ἀντίπορον δὲ τὴν ἐναντίαν κατὰ τὸν πόρον, ἢ κατὰ τὸν τόπον. ἡ μὲν γὰρ ἐν τοῖς δυτικοῖς κεῖται ἡ Ἑλλάς· ἡ δὲ Σκυθία ἐν ταῖς ἀνατολαῖς. πῶς δὲ ἡ Θέμις διαβῆναι ἐποίησε τὴν Μήδειαν; ὅτι τοῖς ὅρκοις πιωθεῖσα ἠκολούθησεν Ἰάσονι. 211. Δι' ἅλα νύχιον Ἐφ' ἁλμυρὰν πόντου) ἀντὶ τοῦ δι' ἁλμυρᾶς, περιττευούσης τῆς ἐπὶ προθέσεως. ἢ τὸ ἁλμυρᾶς, πρὸς τὸ ἑξῆς συναπτέον, τουτέστι διεβίβασεν αὐτὴν δι' ἁλὸς εἰς τὴν Ἑλλάδα, διὰ τὴν ἁλμυρὰν τοῦ πόντου κλῇδα. λέγει δὲ τὸ στενὸν, ὅθεν καὶ κλεῖδα τὸ στενὸν ἐκεῖνο ὀνόμασιν, παρὰ

τὸ

Κλῇδ' ἀπέραντον.

ΣΧΟΛΙΑ.

τὸ ὥσπερ κλεῖδα εἶναι τοῦ προκειμένου πόντου. ἀπὸ γὰρ τοῦ στενοῦ, ἐπὶ τὸν πόντον ἐξιᾶσι. νύχιον δὲ λέγει τὴν θεὸν, ὡς ἑξῆς ἐπάγει. ὥστε καὶ ἄνω

ΜΗΔΕΙΑ, ΚΡΕΩΝ, ΧΟΡΟΣ.

Ἰαμβοί.

Μή. Κορίνθιαι γυναῖκες, ἐξῆλθον δόμων,
Μή μοί τι μέμψησθ'. " οἶδα γὰρ πολλοὺς βροτῶν
" Σεμνοὺς γεγῶτας, τοὺς μὲν ὀμμάτων ἄπο, 216
" Τοὺς δ' ἐν θυραίοις· οἱ δ' ἀφ' ἡσύχου ποδὸς
" Δύσκλειαν ἐκτήσαντο, καὶ ῥαθυμίαν.
" Δίκη γὰρ οὐκ ἔνεστ' ἐν ὀφθαλμοῖς βροτῶν.

" Ὃς

ΣΧΟΛΙΑ.

214. Κορίνθιαι γυναῖκες) χρὴ νοεῖν, ὅτι κατὰ τὸ σιωπώμενον εἰσελθοῦσα ἡ γραῦς παρεκάλεσε τὴν Μήδειαν ἐξελθεῖν πρὸς τὰς ἀπὸ τοῦ χοροῦ. αὕτη οὖν ἐξελθοῦσα φησὶν, ἐξῆλθον πρὸς ὑμᾶς, ὦ γυναῖκες, ἵνα μή μοί τι μέμψησθε, ὡς δι' ὑπερηφανίαν μὴ προσελθούσῃ. Ἄλλως. Ὦ Κορίνθιαι γυναῖκες, ἐξῆλθον ἐκ τῶν δόμων, ἵνα μὴ μέμψησθέ μοι, καίτοι ἐπίσταμαι πολλοὺς τῶν ἀνθρώπων σεμνοὺς γεγῶτας, τοὺς μὲν ὀμμάτων ἄπο, τοὺς δ' ἐν θυραίοις, οἷον ὑπερηφάνους νομιζομένους, τοὺς μὲν ἀπὸ τοῦ χωρίζεσθαι καὶ ἄποθεν τῶν ὀμμάτων εἶναι, τοὺς δὲ διὰ τὸ προσέρχεσθαι, καὶ συνεχῶς ἐπιφέρεσθαι. ἐξ οὗ τὸ ἀπανταχόθεν ἐπίφθονον καὶ εὐδιάβολον τῶν ἀνθρώπων σημαίνει, ὅτι εἰς μηδὲν ἀρέσκον). εἶτα πάλιν κατὰ τούτων ἐπιφέρει, ὅτι καὶ οἱ ἀφ' ἡσύχου ποδὸς, καὶ ἐν ἐρημίᾳ τὰ ἑαυτῶν πράττοντες, δύσκλειαν κτῶνται, καὶ ἀργίαν, οἷον καὶ οὗτοι διαβάλλονται) ὑπὲρ τούτου. 216. Σεμνοὺς γεγῶτας) πολλοὶ γάρ φησι τῶν ἀνθρώπων, διὰ τὸ κεχωρίσθαι, καὶ μὴ ὁμιλεῖν πᾶσιν, ἀλαζόνες καὶ ὑπερήφανοι ἔδοξαν εἶναι. οἱ δὲ ἐκ τῶν ἐναντίων, συνεχῶς φαινόμενοι. Ὀμμάτων ἄπο) ἀντὶ τοῦ κεχωρισμένους καὶ πόρρωθεν ὄντας, ἐν κεκρυμμένοις ἀπὸ τῆς τῶν ὀφθαλμῶν καταστάσεως, τοῦτο δὲ οὐκ οἰκεῖον τῆς

ἐπι-

Immensi angustias.

ΣΧΟΛΙΑ.

διὰ τῆς Θέμιδος τὸν Δία ἐπικαλεῖται. ἡ Θέμις δὲ αὐτὴν φησὶ διὰ νυκτὸς πεφευγέναι.

MEDÆA, CREON, CHORUS.

Med. MUlieres Corinthiæ, exivi è domo,
Nè reprehendatis me: “ novi enim multos homines,
“ Qui clari fuerunt, alios quidem *procul* à conspectu, 216
“ Alios verò foris: alii verò ex eo, quod quieverunt,
“ Comparaverunt *sibi* infamiam, & opinionem ignaviæ.
“ Justitia enim non inest in oculis hom. i. e. *ut hic justi dignoscantur.*

“ Quis-

ΣΧΟΛΙΑ.

ἐπιφερομένοις. 217. Τοὺς δ' ἐν θυραίοις) τοὺς ἐν τοῖς οἴκοις τῶν ἑτέρων συνεχῶς φαινομένους, παρὰ τὸ Ἰσοκρατικὸν, τὰς ἐντεύξεις μὴ ποιουμένους. Οἱ δ' ἀφ' ἡσύχου) ἡσύχιον βίον ἐπανῃρημένοι, ἀντὶ τοῦ φανούμενοι. μηδὲν δὲ πράττοντες, ἀλλ' ἡσυχίαν ἄγοντες. ἄλλοι δὲ ἐπὶ ἡσυχίας ἰδιοπραγμονοῦντες, ὑπόνοιαν ἔχον δυσκολίας καὶ ὀργίας. ῥαθυμίαν γὰρ τὴν ἀργίαν. οἱ ἡσύχιον βίον ἐπανῃρημένοι, δυσκλεεῖς μὲν ἐνομίσθησαν, σοφοὶ δὲ τὴν ψυχήν. 219. Δίκη γὰρ οὐκ ἔνεστιν ὀφθαλμοῖς βροτῶν) φησὶ γὰρ, ὅτι διὰ τοῦτο προσῆλθον πρὸς ὑμᾶς· καίτοι ἐπισταμένη, ὅτι καὶ τὸ ἐπιφοιτᾶν ἐπικίνδυνόν ἐστιν. ὅμως δ' οὖν, ἵνα μὴ δι' ἔργων, καὶ ἐπ' αὐτῆς τῆς ἀγνοίας γνωρίσητέ με, ἥτις εἰμί. οὐ γάρ φησιν ἐν ὀφθαλμοῖς ἀνδρῶν, καὶ ἐν τῇ ὄψει μόνῃ περί τινος δικαστοῦ κρίσις ἐστίν. ἢ ὅτι τὸ δίκαιον οὐκ ἀπὸ μόνης τῆς ὄψεως εὑρίσκεται. τὸ δὲ καθ' ἀλλήλον ἔτι μᾶλλον σαφὲς γίνεται, ὅτι ἡ δίκη οὐκ ἔστιν ἐν ὀφθαλμοῖς βροτῶν. οὐ δὲ δίκαιος οὗτος, ὃς πρὶν τὸ σπλάγχνον σαφῶς ἐκμαθεῖν τοῦ πέλας στυγεῖ ἀπὸ τῆς ὄψεως τινὰ, οὐδὲν ἠδικημένος ὑπ' αὐτοῦ. οὕτως Εἰρηναῖος. εἰς δὲ τὸ μή μοι τι μέμ-

« Ὅστις πρὶν ἀνδρὸς σπλάγχνον ἐκμαθεῖν σαφῶς,
« Στυγεῖ δεδορκὼς, οὐδὲν ἠδικημένος.
« Χρὴ δὲ ξένον μὲν κάρτα προσχωρεῖν πόλει·
« Οὐδ' ἀστὸν ᾔνεσ', ὅστις αὐθάδης γεγὼς,
« Πικρὸς πολίταις ἐστὶν ἀμαθίας ὕπο.
Ἐμοὶ δ' ἄελπτον πρᾶγμα προσπεσὸν τόδε,
Ψυχὴν διέφθαρκ'· οἴχομαι δὲ, καὶ βίου
Χάριν μεθεῖσα, κατθανεῖν χρῄζω, φίλαι.
Ἐν ᾧ γὰρ ἦν μοι πάντα γιγνώσκειν καλῶς,
Κάκιστος ἀνδρῶν ἐκβέβηχ' οὑμὸς πόσις.
« Πάντων δ' ὅσ' ἔστ' ἔμψυχα, καὶ γνώμην ἔχει,
« Γυναῖκές ἐσμεν ἀθλιώτατον φυτόν.
« Ἃς πρῶτα μὲν δεῖ χρημάτων ὑπερβολῇ
« Πόσιν πρίασθαι, δεσπότην τε σώματος
« Λαβεῖν· κακοῦ γὰρ τοῦδ' ἔτ' ἄλγιον κακόν,
« Κἀν τῷδ' ἀγὼν μέγιστος, ἢ κακὸν λαβεῖν,
« Ἢ χρηστόν· οὐ γὰρ εὐκλεεῖς ἀπαλλαγαὶ
« Γυναιξὶν, οὐδ' οἷόν τ' ἀνήνασθαι πόσιν.

« Εἰς

ΣΧΟΛΙΑ.

μεμφθῆτε, προσληπτέον ἔξωθεν τὸ ὅπως. αἰτίαν γάρ φησι τοῦ ἐξεληλυθέναι, ὅπως μὴ ὑπὸ αἰτίαν πέσῃ. Δίκη γὰρ οὐκ ἔνεστιν) διὰ τοῦτο δὲ συμβαίνει τὸ ἄλλοτε ἄλλως τοὺς ἀνθρώπους περὶ ἀλλήλων δοξάζειν, διὰ τὸ μὴ δύνασθαι ἐξ ὄψεως δοκιμάζειν ἑκάστου τὸν τρόπον, ὅπερ πάσχουσιν οἱ πολλοί. ἢ πρὶν τὸν τρόπον σαφῶς καταννοῆσαι, ἁπλῶς ἐκ τῆς τῶν ὀφθαλμῶν προσβολῆς μισοῦσι τὸν δεῖνα, οὐδὲν ἠδικημένοι πρὸς αὐτοῦ. 222. Χρὴ δὲ ξένον μὲν) προσήκει δὲ πάντα ξένον πρὸς τὰ τῆς πόλεως νόμιμα χωρεῖν, καὶ ἁρμόζειν ἑαυτὸν τοῖς ἤθεσι τῶν πολιτῶν. ὅθεν κἀγὼ πρόσειμι πρὸς ὑμᾶς, τὸ πρέπον τοῖς ἐπὶ ξένης πράττουσα. 226. Βίου χάριν) τὴν ἐν τῷ βίῳ ἡδονὴν, περιφραστικῶς αὐτὸ τὸ ζῆν. 227. Κατθανεῖν χρῄζω) τοῦτο ἐν ἤθει ἀναπεφώνηται. Κάκιστος ἀνδρῶν ἐν ᾧ ἦν μοι πάντα, κάκιστος ἀνδρῶν ἐκβέβηκεν. οἱ δ' ὑποκριταὶ οὐ συμπεριφερόμενοι τῷ τρόπῳ, λέγουσι γινώσκειν καλῶς. 232. Χρημάτων ὑπερβολῇ) χρημάτων λέγει τῶν εἰς τὴν φερνήν. τοῦτο δὲ ὁ Εὐριπίδης ἀπὸ τῆς καθ' αὐτὸν συνηθείας λέγει.

" Quisquis ante quam hominis animum manifestè cognoverit,
" Odit *semel* intuitus, nullâ injuriâ affectus, *is injustè facit.*
" Oportet autem hospitem valdè se accommodare civitati:
" Neque laudo civem qui contumax existens,
" Molestus est civibus propter imperitiam, *ac insolentiam.*
Mihi verò hæc res, quæ præter spem contigit,
Corrupit animum; perii verò, & vitæ
Voluptate omissâ, volo mori, amicæ.
In quo enim mihi erat omnia cognoscere probè *& fidere,*
Pessimus *omnium* hominum evasit ille meus maritus.
" Omnium autem, quæcunque sunt animata & mentem habent,
" *Nos* mulieres sumus miserrimum genus.
" Quas primùm quidem oportet maximis opibus
" Maritum emere, dominúmque corporis
" Accipere: malo hoc adhuc magis dolorificum *est* malum,
" Et in hoc maximum *est* periculum, aut malum accipere,
" Aut bonum. Non enim honesta *sunt* divortia
" Mulieribus, neque licet abdicare maritum.

Sed

ΣΧΟΛΙΑ.

λέγει. οἱ δὲ ἥρωες οὐχ οὕτως ἐποίουν τοὺς γάμους, ἀλλ' ἐκ τῶν ἐναντίων αὐτοὶ ἐδίδοσαν, καθάπερ καὶ αὐτὸς ἐν ἄλλοις παρίστησι. ὡς Ὅμηρος, Πρῶθ' ἑκατὸν βοῦς δῶκεν, ἔπειτα δὲ χίλια. ἔστι δὲ ἀναχρονισμός. οἱ γὰρ ἥρωες τὸ ἐναντίον παρεῖχον. 234. Κακοῦ γὰρ) κακὸν μὲν τὸ χρημάτων ὑπερβολῇ πρίασθαι. ἀλγεινότερον δὲ κακὸν, τὸ καὶ δεσπότην ἀνάγκης λαμβάνειν. 226. Οὐ γὰρ εὐκλεεῖς ἀπαλλαγαί) ὅτι κἂν κακὸν ᾖ, στέργειν δεῖ. οὐ γὰρ εὐκλεὲς γυναικὶ καταλιπεῖν τὸν οἰκεῖον ἄνδρα, ἀλλὰ ἀκλεές.

238. Εἰ

" Εἰς καινὰ δ' ἤθη καὶ νόμους ἀφιγμένην,
" Δεῖ μάντιν εἶναι, μὴ μαθοῦσαν οἴκοθεν,
" Ὅτῳ μάλιστα χρήσεται ξυνευνέτῃ.
" Κἂν μὲν τάδ' ἡμῖν ἐκπονουμέναισιν εὖ
" Πόσις ξυνοικῇ, μὴ βίᾳ φέρων ζυγόν,
" Ζηλωτὸς αἰών· εἰ δὲ μή, θανεῖν χρεών.
" Ἀνὴρ δ' ὅταν τοῖς ἔνδον ἄχθηται ξυνών,
" Ἔξω μολὼν ἔπαυσε καρδίας χόλον,
" Ἢ πρὸς φίλων τιν', ἢ πρὸς ἥλικας τραπείς·
" Ἡμῖν δ' ἀνάγκη πρὸς μίαν ψυχὴν βλέπειν.
" Λέγουσι δ' ἡμᾶς ὡς ἀκίνδυνον βίον
" Ζῶμεν κατ' οἴκους, οἱ δὲ μάρνανται δορί,
" Κακῶς φρονοῦντες. " Ὡς τρὶς ἂν παρ' ἀσπίδα
" Στῆναι θέλοιμ' ἂν μᾶλλον, ἢ τεκεῖν ἅπαξ.
Ἀλλ' οὐ γὰρ αὐτὸς πρὸς σὲ κἀμ' ἥκει λόγος.
Σοὶ μὲν πόλις θ' ἥδ' ἐστί, καὶ πατρὸς δόμοι,
Βίου τ' ὄνησις, καὶ φίλων συνουσία·
Ἐγὼ δ' ἔρημος, ἄπολις οὖσ', ὑβρίζομαι
Πρὸς ἀνδρός, ἐκ γῆς βαρβάρου λελῃσμένη.
Οὐ μητέρ', οὐκ ἀδελφόν, οὐδὲ συγγενῆ,
Μεθορμίσασθαι τῆσδ' ἔχουσα συμφορᾶς.
Τοσοῦτον οὖν σου τυγχάνειν βουλήσομαι,
Ἤν μοι πόρος τις, μηχανή τ' ἐξευρεθῇ
Πόσιν δίκην τῶνδ' ἀντιτίσασθαι κακῶν,

Τὸν

ΣΧΟΛΙΑ.

238. Εἰς καινὰ δ' ἤθη) τοῦτο πρῶτόν ἐστι τῇ πείξει τοῦ πράγματος τοῦ κατὰ νόμον τοῦ γάμου. πρότερον γάρ ἐστι τὸ τὴν παρθένον περὶ τῶν πραγμάτων ἐπιέναι πρὸς τὸν νυμφίον. εἶθ' οὕτως πειρᾶσθαι τοῦτο, εἴτε δεξιοῦ, εἴτε κακοῦ. καινὰ δ' ἤθη λέγει καὶ νόμους τοὺς περὶ τῷ ἀνδρί. νόμους δὲ λέγει τοὺς τῆς οἰκίας κανόνας. καὶ τρόπους, τὰ ἤθη καὶ τοὺς νόμους τῶν ἀνδρῶν. 242. Βίᾳ φέρων) μὴ βίαν ἡγούμενος, μηδὲ ἀνάγκην τὴν συμβίωσιν.

244. Ὅταν

" Sed venientem ad novos mores & leges,
" Vatem esse oportet, (quia non cognovit domi)
" Quem maximè sit habitura virum.
" Et si nobis horum satagentibus probè,
" Cohabitaverit maritus, non invitus ferens jugum,
" Beata est vita: sin minùs, satius est mori.
" Vir verò cùm dolet propter res domesticas,
" Foras egressus sedat cordis bilem,
" Conversus aut ad aliquem amicum, aut coætaneum:
" Sed nos oportet spectare ad unam animam.
" Dicunt autem quòd nos periculorum immunem vitam
" Vivamus domi, ipsi verò pugnent hastâ,
" Malè sentientes: " quia ter ad clypeum
" Stare malim, quàm semel parere.
Sed enim non eadem ad te & me pertinet oratio:
Tibi enim est hæc urbs & paterna domus,
Vitæque commoditas, & amicorum congressus:
Ego verò deserta, exul quum sim, injuriâ afficior
A marito, ex agro barbaro abrepta.
Neque matrem, neque fratrem, neque cognatum
Habens, ad quem transfretem ex hac calamitate:
Tantum igitur cupio à te consequi,
Si mihi via aliqua, & ratio inveniri possit,
Quâ maritum jure ulciscar pro his malis,
Illum-

ΣΧΟΛΙΑ.

244. Ὅταν τοῖς ἔνδον) προσελθὼν τῳ παραμυθήσαιτο. 252. Κἄμ᾽ ἥκει λόγος) οὐχὶ περὶ σοῦ ταῦτα λεχθείη. οὐ γὰρ ὁμοίας ἔχεις ἐμοὶ τύχας. 256. Λελῃσμένη) ἀντὶ τοῦ λεληϊσμένη. ἀπείληπται γάρ. ἢ ὥσπερ δεινοπαθοῦσα τοῦτο λέγει, ὡς προσδοκήσασα μὴ σύνοικον ἕξειν τὸν Ἰάσονα· δεινότερα δὲ αἰχμαλώτου πάσχουσα. 258. Μεθορμίσασθαι) λείπει τὸ ὡς, ὥστε μεθορμίσασθαι. τὸ δὲ ἑξῆς, οὐ μητέρα, οὐκ ἀδελφοὺς, οὐχὶ συγγενῆ ἔχουσαν πρὸς τὸ καταφυγοῦσαν πρός τινα τούτων μεταβληθῆναι τῆς συμφορᾶς. ἢ μεταφορὰ ἀπὸ τῶν μεθορμιζόντων εἰς τοὺς εὐξενωτέρους τόπους.

264. Κακὴ

Τὸν δόντα τ' αὐτῷ θυγατέρ', ἥν τ' ἐγήματο,
« Σιγᾶν. Γυνὴ γὰρ, τἄλλα μὲν φόβου πλέα,
« Κακὴ δ' ἐς ἀλκὴν, καὶ σίδηρον εἰσορᾶν·
« Ὅταν δ' ἐς εὐνὴν ἠδικημένη κυρῇ,
« Οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα.
Χο. Δράσω τάδ'· ἐνδίκως γὰρ ἐκτίσῃ πόσιν
Μήδεια· πενθεῖν δ' οὔ σε θαυμάζω τύχας.
Ὁρῶ δὲ καὶ Κρέοντα τῆσδ' ἄνακτα γῆς
Στείχοντα, καινῶν ἄγγελον βουλευμάτων.
Κρ. Σὲ τὴν σκυθρωπὸν, καὶ πόσει θυμουμένην
Μήδειαν, εἶπον τῆσδε γῆς ἔξω περᾶν
Φυγάδα, λαβοῦσαν δισσὰ σὺν σαυτῇ τέκνα,
Καὶ μή τι μέλλειν, ὡς ἐγὼ βραβεὺς λόγου
Τοῦδ' εἰμὶ, κοὐκ ἄπειμι πρὸς δόμους πάλιν,
Πρὶν ἄν σε γαίας τερμόνων ἔξω βάλω.
Μή. Αἶ, αἶ· πανώλης ἡ τάλαιν' ἀπόλλυμαι.
Ἐχθροὶ γὰρ ἐξιᾶσι πάντα δὴ κάλων,
Κοὐκ ἔστιν ἄτης εὐπρόσοιστος ἔκβασις.

Ἐρή-

ΣΧΟΛΙΑ.

264. Κακὴ δ' ἐς ἀλκὴν) ἀντὶ τοῦ ἀσθενής. ὁ δὲ λόγος, πᾶσα μὲν γυνὴ δειλοτάτη ἐστὶν ἐν τοῖς ἄλλοις ἅπασι, καὶ ἀσθενής· οὐδὲ ὅσον γυμνὸν ἰδεῖν ξίφος καρτεροῦσα. ὅταν δὲ εἰς κοίτην ἀδικηθῇ, τολμηροτάτη γίνεται. 268. Πενθεῖν δ' οὔ σε θαυμάζω) οὐ θαυμάζω σε ἐπὶ τῷ πενθεῖν τὰς τύχας, δικαίως γὰρ πενθεῖς. 273. Δισσὰ σὺν αὐτῇ τέκνα) Παρμενίσκος γράφει κατὰ λέξιν οὕτως. τὰς δὲ Κορινθίας οὐ βουλομένας ὑπὸ βαρβάρου καὶ φαρμακίδος γυναικὸς ἄρχεσθαι, αὐτήν τε ἐπιβουλεῦσαι, καὶ τὰ τέκνα αὐτῆς ἀνελεῖν ἑπτὰ μὲν ἄρρενα, ἑπτὰ δὲ θήλεα. Εὐριπίδης δὲ δυσὶ μόνοις φησὶν αὐτὴν κεχρῆσθαι. ταῦτα δὲ διωκόμενα καταφυγεῖν εἰς τὸ τῆς ἀκραίας Ἥρας ἱερὸν, καὶ ἐπὶ τὸ ἱερὸν καθίσαι. Κορινθίους δὲ αὐτῶν οὐδὲ οὕτως ἀπέχεσθαι, ἀλλ' ἐπὶ τοῦ βωμοῦ πάντα ταῦτα ἀποσφάξαι. λοιμοῦ δὲ γινομένου εἰς τὴν πόλιν, πολλὰ σώματα ὑπὸ τῆς νόσου διαφθείρεσθαι. μαντευομένοις δὲ αὐτοῖς, χρησμῳδῆσαι τὸν θεὸν ἱλάσκεσθαι, τὸ τῶν Μηδείας τέκνων ἄγος, ὅθεν Κορινθίοις μέχρι τῶν καιρῶν τῶν καθ' ἡμᾶς καθ' ἕκαστον ἐνιαυτὸν ἑπτὰ κούρους καὶ ἑπτὰ κούρας τῶν ἐπιση-

μοτά-

lumque, qui dedit ipsi *suam* filiam, & *Glaucam*, quam duxit,
t taceas. Nam mulier alioqui est plena timore,
gnaváque ad prælium, & ad intuendum ferrum:
d quando est injuriâ affecta, in matrimonio,
on est alia mens crudelior.
Faciam hæc: nam justè ulcisceris maritum,
ledæa: non miror autem te lugere *istam* fortunam.
d video Creontem, dominum hujus terræ
enientem, nuncium novorum consiliorum.
Te torvam, & iratam marito
ledæam, jubeo exire ex hâc terrâ
xtorrem, assumptis tecum duobus pueris,
t nihil cunctari: quia ego autor edicti
us sum, neque redibo domum,
riusquam ejecero te è finibus hujus terræ.
l. Heu, heu, prorsus misera perii.
imici enim emittunt jam omnem rudentem *adversus me*,
eque est effugium commodum hujus mali.

Sed

ΣΧΟΛΙΑ.

των ἀνδρῶν ἐναπενιαυτίζειν τῷ τῆς θεᾶς τεμένει, καὶ μετὰ θυ-
λαίσκειαν τὴν ἐκείνων μιάνσιν, καὶ τὴν δι᾽ ἐκείνους γενομένην τῆς
ὀργήν. Δίδυμος δὲ ἐναντιοῦται, καὶ παρατίθεται τὰ Κρεωφύλου
ὕτως, τὴν γὰρ Μήδειαν λέγει διατρίβουσαν ἐν Κορίνθῳ τὸν
ντα τότε τῆς πόλεως Κρέοντα ἀποκτεῖναι φαρμάκοις. δείσασαν
ς φίλους καὶ τοὺς συγγενεῖς αὐτοῦ φυγεῖν εἰς Ἀθήνας, τοὺς δὲ
ἐπεὶ νεώτεροι ὄντες οὐκ ἠδυνήθησαν ἀκολουθεῖν, καθεῖναι ἐπὶ τὸν
ὸν τῆς ἀκραίας Ἥρας, νομίσασαν τὸν πατέρα αὐτῶν φροντιεῖν τῆς
ρίας αὐτῶν. τοὺς δὲ Κρέοντος οἰκείους ἀποκτείναντας αὐτούς, δια-
λόγους, ὅτι ἡ Μήδεια οὐ μόνον τὸν Κρέοντα, ἀλλὰ καὶ τοὺς ἑαυτῆς
δας ἀπέκτεινε. γεγονέναι δὲ παραπλήσιον μυθεύεται καὶ περὶ τὸν Ἀθω-
278. Ἐχθροὶ γὰρ ἐξιᾶσι) οἱ ἐχθροὶ κελοδρομοῦσι καθ᾽ ἡμῶν, καὶ
λυται πάντα τρόπον πρὸς ἡμᾶς. ἀπὸ μεταφορᾶς τῶν κελοδρομούν-
καὶ χαλώντων πρὸς τὸ πνεῦμα τοὺς ἀρτέμονας. 279. Εὐπρόσοι-
) εὐεπιβάλλοντος, καὶ ῥᾳδία πρὸς τὸ διαφυγεῖν αὐτήν.

Ἐρήσομαι δὲ, καὶ κακῶς πάσχουσ' ὅμως,
Τίνος μ' ἕκατι γῆς ἀποστέλλεις, Κρέον;
Κρ. Δέδοικά σ' (οὐδὲν δεῖ παραμπίσχειν λόγους)
Μή μοί τι δράσῃς παῖδ' ἀνήκεστον κακόν.
Ξυμβάλλεται δὲ πολλὰ τοῦδε δείματος.
Σοφὴ πέφυκας, καὶ κακῶν πολλῶν ἴδρις·
Λυπῇ δὲ λέκτρων ἀνδρὸς ἐστερημένη.
Κλύω δ' ἀπειλεῖν, ὡς ἀπαγγέλλουσί μοι,
Τὸν δόντα, καὶ γήμαντα, καὶ γαμουμένην,
Δράσειν τι. ταῦτ' οὖν πρὶν παθεῖν, φυλάξομαι.
" Κρεῖσσον δέ μοι νῦν πρός σ' ἀπεχθέσθαι, γύναι,
" Ἢ μαλθακισθένθ', ὕστερον μέγα στένειν.
Μή. Φεῦ, φεῦ·
Οὐ νῦν με πρῶτον, ἀλλὰ πολλάκις, Κρέον,
" Ἔβλαψε δόξα, μεγάλα τ' εἴργασται κακά.
" Χρὴ δ' οὔποθ', ὅστις ἀρτίφρων πέφυκ' ἀνὴρ,
" Παῖδας περισσῶς ἐκδιδάσκεσθαι σοφούς.
" Χωρὶς γὰρ ἄλλης, ἧς ἔχουσιν, ἀργίας,
" Φθόνον πρὸς ἀστῶν ἀλφάνουσι δυσμενῆ.
" Σκαιοῖσι μὲν γὰρ καινὰ προσφέρων σοφὰ,
" Δόξεις ἀχρεῖος κοὐ σοφὸς πεφυκέναι·

Τῶν

ΣΧΟΛΙΑ.

281. Ἀποστέλλεις) ἀπάγεις, ἐξεδέξαντο δὲ κατὰ ἀναστροφὴν ἀπὸ γῆς στέλλεις. 282. Δέδοικα σ') τὸ ἑξῆς δέδοικα, μή μοί τι δράσῃς παῖδα. Παραμπίσχειν) κρύπτειν, φυλάσσεσθαι, ἤτοι φυλάσσειν, περιστέλλειν, ἀποκρύπτειν. 289. Δράσειν τι) κακοποιήσειν. Καὶ τὸ μαλθακισθέντα ἀντὶ τοῦ ἀμελῶς προσενεχθέντα, ἢ μαλθαχθέντα τοῖς λόγοις. 293. Ἔβλαψε δόξα) ἀντὶ τοῦ, ἡ δόξα μου βλάπτει με. σὺ γὰρ νομίζων με σοφὴν ἀπελαύνεις με δεδοικώς. 296. Ἧς ἔχουσιν ἀργίας) τὸ ἧς ἔχουσιν ἀργίας εἶπεν, ὡς οὐχ ὡς τῷ ὄντι ἀργῶν ὄντων τῶν σοφῶν. προφανὴς γάρ ἐστιν, ὅτι μέγιστος πόνος περὶ τὴν φιλοσοφίαν. καὶ Ἡσίοδος, Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν· ἀλλ' ὡς πολλῶν δοξαζόντων οὐκ ὀρθῶς, ἀργοὺς εἶναι τοὺς σοφούς. οἱ

σοφοὶ

Sed quanquam malè tractor, tamen dicam:
Cur me, Creon, ejicis ex hâc terrâ?
Cre. Metuo te (nihil opus est involvere sermones)
Nè quod insanabile malum facias *mea* filiæ.
Congruunt autem multa cum hoc timore.
Es callida, & multorum malorum perita:
Doles verò quòd orbata sis thalamo mariti *tui*:
Audio insuper *te* minari, ut mihi nunciant,
Et socero, & sponso, & nuptæ
Te aliquid facturam. Hæc igitur cavebo, antequam patiamur. [odium tuum incurrere,
Multò enim satius est mihi, mulier, nunc in
Quam delenitum, postea valdè gemere.
Med. Heu, heu!
Non mihi nunc primùm, sed sæpe, ô Creon,
" Nocuit existimatio, & magna mala attulit.
" Sed oportet haudquaquam eum qui sanæ mentis est vir,
" Liberos *suos* nimium docere ut sapiant.
" Præter enim aliam, quam habent, ignaviam,
" Invidiam apud cives *sibi* conciliant malevolam.
" Apud stultos enim proferens aliquid novum & sapiens,
" Videberis inutilis & non sapiens esse:

" At

ΣΧΟΛΙΑ.

σοφοὶ ὦν φησὶν πρὸς τὸ δόξαν ἀργίας ἔχειν, καὶ φθονεῖσθαι) ὑπὸ τῶν ἄλλων ἀνθρώπων. ὅθεν φησὶ καλῶς ἔχειν κελεύω, μὴ χρῆναι εἰς ἄκρον παιδεύσεως ἥκειν τινά, ἀλλὰ καὶ τούτων ἐκτὸς εἶναι. τοῦτο δὲ οὐ δογματίζων ὁ ποιητής φησιν, ἀλλ' ἁρμοζόμενος πρὸς τὸ ὑποκριτικὸν ἦθος, ἐπεὶ δοκεῖ ἡ Μήδεια σοφίας ἔχουσα δύναμιν βλάπτεσθαι. ἐναντίοις, ὁ σοφός, φησὶ, καθ' ἑκάτερον ἀδικεῖται. ὑπὸ μὲν γὰρ τῶν ἀπαιδεύτων οὐ σοφὸς εἶναι νομίζεται. τοῖς δὲ ἐλλογίμοις λυπηρὸς εἶναι καταφαίνεται, ὅταν τούτων κρείττων νομισθῇ. τὸ δὲ δοκούντων οὐκ ἐπὶ ἀμφιβόλου κεῖται, ἀλλ' ἐπὶ τῇ τῶν τι οὐχ ὑπαρχόντων, ἢ δοκούντων, ἢ καὶ πρὸς εἰσβολὴν τῶν δοκούντων ἐλλογίμων, εἰ τῇ ἀληθείᾳ ἐλλόγιμοί εἰσι διὰ τὸ νοσεῖν τὸν φθόνον, ὃ οὐ πρὸς σοφοῦ. 297. Ἀλφάνουσιν) εὑρίσκουσιν. ἀπὸ τοῦ ἄλφα στοιχείου.

‘ Τῶν δ' αὖ δοκούντων εἰδέναι τι ποικίλον,
“ Κρείσσων νομισθεὶς ἐν πόλει, λυπρὸς φανῇ.
Ἐγὼ δὲ κ' αὐτὴ τῆσδε κοινωνῶ τύχης.
Σοφὴ γὰρ οὖσα, τοῖς μὲν εἰμ' ἐπίφθονος,
Τοῖς δ' ἡσυχαία, τοῖς δὲ θατέρου τρόπου,
Τοῖσδ' οὖν προσάντης· εἰμὶ δ' οὐκ ἄγαν σοφή.
Σὺ δ' οὖν φοβῇ με, μή τι πλημμελὲς πάθῃς.
Οὐχ ὧδ' ἔχει μοι, μὴ τρέσῃς ἡμᾶς, Κρέον,
Ὥστ' εἰς τυράννους ἄνδρας ἐξαμαρτάνειν.
Σὺ γὰρ τί μ' ἠδίκηκας; ἐξέδου κόρην,
Ὅτῳ σε θυμὸς ἦγεν· ἀλλ' ἐμὸν πόσιν
Μισῶ· σὺ δ' (οἶμαι) σωφρονῶν ἔδρας τάδε.
Καὶ νῦν τὸ μὲν σὸν οὐ φθονῶ καλῶς ἔχειν.
Νυμφεύετ', εὖ πράσσοιτε· τήνδε δὲ χθόνα
Ἐᾶτέ μ' οἰκεῖν· καὶ γὰρ ἠδικημένοι
“ Σιγησόμεσθα, κρεισσόνων νικώμενοι.
Κρ. Λέγεις ἀκοῦσαι μάλθακ'· ἀλλ' εἴσω φρενῶν
Ὀρρωδία μοι, μή τι βουλεύσῃς κακόν,
Τοσῷδε γ' ἧσσον, ἢ πάρος, πέποιθά σοι.
“ Γυνὴ γὰρ ὀξύθυμος, ὡς δ' αὔτως ἀνήρ,

“ Ῥάων

ΣΧΟΛΙΑ.

300. Τῶν δ' αὖ δοκούντων) τῶν δοκούντων, φησὶν, εἰδέναι τὶ, κρείσσων νομισθεὶς, ἐπαχθὴς ἔσῃ. ὅθεν συμβαίνει καὶ παρὰ τοῖς ἀπαιδεύτοις ἐπαχθῆ εἶναι, διὰ τὸ μὴ προσίεσθαι αὐτούς· καὶ παρὰ τοῖς συνετοῖς ὁμοίως, ἕνεκα τοῦ διαφέρειν δοκεῖν αὐτῶν, ἐπίφθονον καὶ λυπηρὸν γίνεσθαι. 303. Ἐπίφθονος) ζηλωτὴ τοῖς εἰδόσι, φθονουμένη. ἡσυχαία δὲ ἀνόητος, ἄχρηστος. 304. Θατέρου τρόπου) ἢ πρὸς τὸ ἡσυχαία, ἵν' ᾖ συνετὴ, ἢ πρὸς τὸ τοῖς μὲν εἰμ' ἐπίφθονος, ὅ ἐστιν ἐπίμεμπτος παρὰ τοῖς ἀπαιδεύτοις καὶ ἀμαθέσι νομιζομένη. 305. Προσάντης) ἐναντία εἰμὶ τοῖς ἀπαιδεύτοις, ἐπεὶ οὐκ ἄγαν σοφή. 318. Τοσῷ δ' ἧσσον) τοσούτῳ δὲ φησιν, ὅσῳ γλυκεῖα μέν εἰσι τῷ λόγῳ, ἄλλα δὲ φρονεῖς, τοσούτῳ μᾶλλον ἀπιστότερος τυγχάνω, ἢ πρὶν τοῦ λόγου σου τούτων ἀκοῦσαι. 319. Γυνὴ γὰρ ὀξύθυμος) πᾶσα γὰρ, φησὶν, ὀξύθυμος.

" At contra illis, qui videntur variam aliquam cognitionem habere,
" Præstantior si existimeris, in civitate, molestus videberis.
Ego verò ipsa quoque particeps sum hujus fortunæ.
Nam cùm sim sapiens, aliis quidem sum invisa,
Aliis verò ignava, aliis verò aliis moribus *prædita videor*,
Aliis adversa, *& difficilis:* tamen non sum nimis sapiens.
Tu igitur metuis me nè quid mali patiaris.
Non sic *se res* habet mecum, nè metuas, Creon,
Ut in viros principes delinquam. [nos,
Tu enim quâ injuriâ me affecisti? elocâsti filiam *ei*,
Cui te animus *ut dares* impulit: Sed meum maritum
Odi: tu autem, ut opinor, sapientèr hæc fecisti.
Et nunc non invideo, quòd res tuæ præclarè se habeant:
Despondete, benè sit vobis: sed jam in hâc terrâ
Sinite me habitare: quamvis enim injuriâ simus affecti,
" Tacebimus, à potentioribus victi.
Cre. Dicis auditu mollia: sed in animo
Mihi *est* pavor, nè quid mali moliaris,
Et tanto minùs, quàm antea, confido tibi.
" Nam mulier quæ citò irascitur, similitèr & vir,
" Faci-

ΣΧΟΛΙΑ.

μος γυνὴ, ὁμοίως δ᾽ ἂν καὶ ἀνὴρ, εὐμαρέστερον ἂν φυλαχθείη, ἢ ὁ κρύπτων τὴν ὀργήν. τοὺς μὲν γὰρ φανερῶς ὀργιζομένους εὐμαρῶς προορώμενοι φυλάττεσθαι· τοὺς δὲ ἐν ἀφανεῖ κρύπτοντας τὴν μῆνιν, οὐχ οἷόν τε διὰ τὸ ἀπροόπτον. καὶ σὲ οὖν φησὶ σιωπηλὴν οὖσαν, οὐκ εὐμαρὲς φυλάξασθαι.

« Ῥᾷον φυλάσσειν, ἢ σιωπηλὸς σοφός.
Ἀλλ' ἔξιθ' ὡς τάχιστα, μὴ λόγους λέγε·
Ὡς ταῦτ' ἄραρε, κοὐκ ἔχεις τέχνην, ὅπως
Μενεῖς παρ' ἡμῖν, οὖσα δυσμενὴς ἐμοί.
Μή. Μὴ πρός σε γονάτων, τῆς τε νεογάμου κόρης.
Κρ. Λόγους ἀναλοῖς· οὐ γὰρ ἂν πείσαις ποτέ.
Μή. Ἀλλ' ἐξελᾷς με, κοὐδὲν αἰδέσῃ λιτάς;
Κρ. Φιλῶ γὰρ οὐ σὲ μᾶλλον, ἢ δόμους ἐμούς.
Μή. Ὦ πατρίς, ὥς σου κάρτα νῦν μνείαν ἔχω.
Κρ. Πλὴν γὰρ τέκνων, ἔμοιγε φίλτατον πολύ.
Μή. Φεῦ, φεῦ· βροτοῖς ἔρωτες ὡς κακὸν μέγα.
Κρ. Ὅπως ἂν (οἶμαι) καὶ παραστῶσιν τύχαι.
Μή. Ζεῦ, μὴ λάθοι σε, τῶνδ' ὃς αἴτιος κακῶν.
Κρ. Ἕρπ' ὦ ματαία, καί μ' ἀπάλλαξον πόνων.
Μή. Πονοῦμεν ἡμεῖς, κοὐ πόνων κεχρήμεθα.
Κρ. Τάχ' ἐξ ὀπαδῶν χειρὸς ὠσθήσῃ βίᾳ.
Μή. Μὴ δῆτα τοῦτό γ'· ἀλλά σ' αἰτοῦμαι, Κρέον.
Κρ. Ὄχλον παρέξεις, ὡς ἔοικας, ὦ γύναι.
Μή. Φευξούμεθ'· οὐ τοῦθ' ἱκέτευσα σου τυχεῖν.

Κρ.

ΣΧΟΛΙΑ.

320. Ῥᾷον φυλάσσειν) ἀντὶ τοῦ φυλαχθῆναι καὶ τηρηθῆναι. ἐνεργητικὸν ἀντὶ παθητικοῦ. τοῦτο δὲ ἔθος ὡς ἐπιτοπλεῖστον τοῖς Ἀττικοῖς. λέγει δὲ σιωπηλός. Ἄλλως. Ῥᾷον ἐστὶ φυλάττεσθαι φησὶν ὀξύθυμος ἀνήρ. ὡσαύτως δὲ καὶ γυνή. φανεροὶ γάρ εἰσι, καὶ πάντα ἐκχέουσιν ὀργιζόμενοι. ὁ δὲ σιωπηλὸς, δυσπαραφύλακτός ἐστιν, ἐν ἑαυτῷ κρύπτων καὶ καιροφυλακῶν τὴν ὀργήν. 324. Μὴ πρός σε) μέμφονται τὸν Εὐριπίδην, ὅτι πεποίηκε τὴν Μήδειαν, ἐξ ὧν λέγει τῷ Κρέοντι, ὡς ἐπιμελῶς ἔχει πρὸς τὴν νύμφην. 331. Ὅπως ἂν οἶμαι) ἐπεὶ καθόλου ἡ Μήδεια τὸν ἔρωτα κακὸν ἀπεφήνατο, ἐπεισήγαγεν ὁ Κρέων τοῦτο ἀναιρῶν, καὶ φησὶν, ὁ ἔρως οὐκ ἀεὶ κακός, ἀλλ' ὡς ἂν ἄγηται ὑπὸ ταῖς τύχαις. πολλοὶ γὰρ ἐρασθέντες ἔτυχον. βλασφημεῖ δὲ τὸν ἔρωτα ἡ Μήδεια, ἐπεὶ καὶ ἐρασθεῖσα τοῦ Ἰάσονος, ἐξέστη τῆς ἐλπίδος· οὗτος δὲ φησὶ μὴ καθόλου μέμφου τοὺς ἔρωτας. ἔσθ' ὅτε γὰρ ἀγαθόν τι ποιοῦσιν, ἔσθ' ὅτε δὲ κακὸν, ὡς ἂν ἡ τύχη παραγένοιτο. 334. Πονοῦμεν ἡμεῖς) ἐπεὶ εἶπεν ὁ Κρέων, καὶ

μ·

" Facilius cavetur, quàm taciturnus sapiens.
Proinde exi quàm celerrimè; nè facias *multa* verba:
Quia hoc decretum est, neque habes artem, ut
Apud nos maneas, cùm sis mihi infesta.
Med. Ne per genua, & filiam tuam recens nuptam.
Cre. Consumis verba: nunquam enim persuaseris *me*.
Med. Expelles igitur me, neque revereberis Litas, i. e. *Preces?*
Cre. Non enim mihi charior es meâ domo.
Med. O patria, quàm valde nunc tuî recordor.
Cre. Præter liberos enim *est* mihi longè charissima.
Med. Heu, heu, quàm magnum malum hominibus est amor!
Cre. Perinde, puto, ut tulerit fortuna.
Med. Jupiter, non lateat te is, qui autor est horum malorum.
Cre. Vade, ô vana, & libera me curis.
Med. Nos laboramus, neque indigemus *aliis* miseriis.
Cre. Citò extruderis violentèr manu famulorum.
Med. Nequaquam ita: sed rogo te, Creon.
Cre. Negotium facesses, ut videris, ô mulier.
Med. Fugiam: non hoc te rogo, ut impetrem *ne discedam*.

Cre.

ΣΧΟΛΙΑ.

μ' ἀπάλλαξον πόνων· φησὶ, ποίων πόνων; ἐγὼ γὰρ εἰμὶ ἐν πόνοις οὖσα, καὶ οὐκ ὀφείλουσα ἄλλους πόνους ἀνέχεσθαι ἐφ' οἷς ἔχω, ἀλλ' οὐκ ἐν ἀπάσαις κακῶν. σὺ γὰρ οὐ πονεῖς, ἐ ἐν κακοῖς τυγχάνεις. ἐπεὶ δὲ εἶπεν ὁ Κρέων καί μ' ἀπάλλαξον πόνων; ἐγὼ γὰρ εἰμὶ ἡ ἐν πόνοις οὖσα, καὶ οὐκ ὀφείλω ἄλλους πόνους ἀναδέχεσθαι πόνοις, ἐφ' οἷς ἔχω· ὥστε μή τι ἀπελαυνέ με τῆς Κορινθίων, καὶ τοῦτόν μοι προσθῇς τὸν πόνον ἐφ' οἷς ἔχω. ἱκανῶς γὰρ ἔχω πόνων τό τε πατρίδος ἐστερημένη, καὶ νῦν τὸν ἄνδρα ἀπολέσασα διὰ τὴν σὴν θυγατέρα. ὥστε τὸ πονοῦμεν ἡμεῖς διασταλτικῶς εἶπεν. οἷον ἐγὼ πονῶ, τοιαῦτα δεινὰ πεπονθυῖα· σὺ δὲ οὐ, μηδὲν χαλεπὸν ὑποστάς.

Κρ. Τί δ' οὖν βιάζῃ, κοὐκ ἀπαλλάσσῃ χθονός;
Μή. Μίαν με μεῖναι τήνδ' ἔασον ἡμέραν,
Καὶ ξυμπεράναι φροντίδ', ᾗ φευξούμεθα,
Παισίν τ' ἀφορμὴν τοῖς ἐμοῖς, ἐπεὶ πατὴρ
Οὐδὲν προτιμᾷ μηχανήσασθαι τέκνοις.
Οἴκτειρε δ' αὐτούς· καὶ σύ τοι παίδων πατὴρ
Πέφυκας. εἰκός δ' ἐστὶν εὔνοιάν σ' ἔχειν.
Τοὐμοῦ γὰρ οὔ μοι φροντὶς, εἰ φευξούμεθα·
Κείνους δὲ κλαίω συμφορᾷ κεχρημένους.
Κρ. Ἥκιστα τοὐμὸν λῆμ' ἔφυ τυραννικόν.
Αἰδούμενος δὲ, πολλὰ δὴ διέφθορα.
Καὶ νῦν ὁρῶ μὲν ἐξαμαρτάνων, γύναι,
Ὅμως δὲ τεύξῃ τοῦδε. προὐννέπω δέ σοι,
Εἴ σ' ἡ 'πιοῦσα λαμπὰς ὄψεται θεοῦ,
Καὶ παῖδας ἐντὸς τῆσδε τερμόνων χθονὸς,
Θανῇ· λέλεκται μῦθος, οὐ ψευδὴς ὅδε.
Νῦν δ' εἰ μένειν δεῖ, μίμν' ἐφ' ἡμέραν μίαν·
Οὐ γάρ τι δράσεις δεινὸν, ὧν φόβος μ' ἔχει.

Ἀνάπαιστοι.

Χο. Δύστανε γύναι,
Φεῦ, φεῦ· μελέα τῶν σῶν ἀχέων.
Ποῖ ποτε τρέψῃ; τίνα προξενίαν,
Ἢ δόμον, ἢ χθόνα σωτῆρα κακῶν
Ἐξευρήσεις;
Ὡς εἰς ἄπορόν σε κλύδωνα θεὸς,
Μήδεια, κακῶν ἐπόρευσε.

Ἰα-

ΣΧΟΛΙΑ.

342. Παισίν τ' ἀφορμὴν) ἣν ἡμεῖς προβολὴν καλοῦμεν εἰς τὸ ζῆν, οἱ Ἀττικοὶ ἀφορμὴν καλοῦσιν. 345. Εἰκὸς δ' ἐστὶν εὔνοιάν σ' ἔχειν) οὐδὲν φησὶ ἀπεικὸς πατέρα σε ὄντα εὔνοιαν καὶ στοργὴν ἔχειν, ἣν ἂν τρέποι πατὴρ πρὸς παῖδας. ὅθεν οἰκτείρει μὲ, εἰδὼς

αὐτῇ

Cre. Quid igitur resistis, & non discedis è terrâ?
Med. Concede mihi, ut possim tantum hunc diem manere,
Et perficere deliberationem, quâ fugiam,
Et viaticum meis liberis: quandoquidem pater
Nihil curat *vitæ subsidium* parare liberis.
Miserare igitur illos; nam & tu pater liberorum
Es. Consentaneum autem est te habere benevolentiam.
Non enim de me sum sollicita, quòd in exilium simus ituri:
Illorum verò calamitatem, quâ premuntur, lugeo.
Cre. Animus meus minimè est tyrannicus:
Sed verecundiâ victus, multa perdidi.
Et nunc video quidem *me* peccare, mulier,
Attamen consequêris hoc. sed prædico tibi,
Si te postera lux Dei viderit,
Et liberos *tuos* intra fines hujus terræ,
Morieris: dictus est sermo hic, neque irritus [erit.
Nunc igitur si oportet manere, mane ad unum diem:
Non enim facies aliquid mali eorum, quæ metuo.

Chorus.

Infelix mulier,
Heu, heu! misera *es* ob tuos dolores.
Quonam te vertes? quod hospitium,
Aut quam domum terrámve, quæ liberet *te his* malis,
Invenies?
Quam te Deus in difficilem tempestatem
Malorum duxit, Medæa.

Me-

ΣΧΟΛΙΑ.

αὐτὴ ἡ πεῖρα τὴν πρὸς τὰ φίλτατα διάθεσιν. 356. Οὐ γάρ τι δράσεις) Δίδυμος μετὰ τοῦτον φέρει τὸ Σιγῇ δόμους εἰσβᾶσ', ἵν' ἔστρωται λέχος, καὶ μέμφονται τοῖς ὑποκριταῖς ὡς ἀχρείως αὐτὸν πράττουσιν. 364. Καὶ

Ἰαμβοί.

Μή. Κακῶς πέπρακται πανταχῇ· τίς ἀντερεῖ;
Ἀλλ' οὔτι ταύτῃ ταῦτα, μὴ δοκεῖτέ πω.
Ἔτ' εἴσ' ἀγῶνες τοῖς νεωστὶ νυμφίοις,
Καὶ τοῖσι κηδεύσασιν οὐ σμικροὶ πόνοι.
Δοκεῖς γὰρ ἄν με τόνδε θωπεῦσαί ποτ' ἂν,
Εἰ μή τι κερδαίνουσαν ἢ τεχνωμένην;
Οὐδ' ἂν προσεῖπον, οὐδ' ἂν ἡψάμην χεροῖν·
Ὁδ' εἰς τοσοῦτον μωρίας ἀφίκετο,
Ὥστ', ἐξὸν αὐτῷ τἄμ' ἑλεῖν βουλεύματα
Γῆς ἐκβαλόντι, τήνδ' ἀφῆκεν ἡμέραν
Μεῖναί μ', ἐν ᾗ τρεῖς τῶν ἐμῶν ἐχθρῶν νεκροὺς
Θήσω, πατέρα τε, καὶ κόρην, πόσιν τ' ἐμόν.
Πολλὰς δ' ἔχουσα θανασίμους αὐτοῖς ὁδοὺς,
Οὐκ οἶδ' ὁποίᾳ πρῶτον ἐγχειρῶ, φίλαι·
Πότερον ὑφάψω δῶμα νυμφικὸν πυρὶ,
Ἢ θηκτὸν ὤσω φάσγανον δι' ἥπατος,
Σιγῇ δόμους εἰσβᾶσ', ἵν' ἔστρωται λέχος.
Ἀλλ' ἕν τί μοι προσάντες, εἰ ληφθήσομαι
Δόμους ὑπερβαίνουσα, καὶ τεχνωμένη,
Θανοῦσα θήσω τοῖς ἐμοῖς ἐχθροῖς γέλων.

Κρά-

ΣΧΟΛΙΑ.

364. Κακῶς πέπρακται) πανταχῇ. τίς ἀντερεῖ) ἀντὶ τοῦ, οὕτω φανερῶς καὶ ἐναργῶς δυστυχοῦμεν, καὶ ἐν κακοῖς ἐσμὲν, ὡς μηδένα δύνασθαι ἀντιλέγειν, ὅτι οὐχ οὕτως ἔχομεν δυστυχίας. 365. Ἀλλ' οὔτι ταύτῃ ταῦτα) ἀλλ' οὐχὶ κατὰ τοῦτο τὸ μέρος φησὶ κακῶς ἔχειν τὰ καθ' ἡμᾶς, καθὸ πεισθεὶς ἡμῖν ἀπῆλθε Κρέων. τὸ ταύτῃ οὖν ἀντὶ τοῦ κατὰ ταύτην τὴν ὁδὸν, καὶ τοῦτον τὸν τρόπον ταῦτα καλῶς πέπρακται. ἢ τὸ ταυτὰ ὀξυτόνως, τουτέστιν ἀλλὰ κατὰ τοῦτο τὸ μέρος, καθὸ πεισθεὶς ἀπῆλθεν, οὐ ταυτὰ τὰ πράγματα, ἀλλὰ καλλίονα. ἀμφότερα δὲ εἰς ταυτὸ ἀναστρέφουσιν. Ἄλλως. τὸ ταῦτα μὲν πῆ μὲν προπερισπᾶται, πῆ δὲ ὀξύνεται. ὅ ἐστιν, ἀλλὰ κατὰ τοῦτο τὸ μέρος, καθὸ πεισθεὶς ἀπῆλθεν Κρέων, οὐ ταῦτα τὰ πράγματα

Medea.

Ubique malè *mecum* agitur: quis contradicet?
Sed nequaquam hac via hæc *procedent*, nè putetis.
Reſtant adhuc alia certamina novis ſponſis,
Et non exigua mala affinibus.
Putas enim me hunc blandis verbis compellaturum fuiſſe unquam,
Niſi aliquid lucri captarem, aut machinarer?
Neque *ſanè* allocuta eſſem, neque attigiſſem manibus.
Ille verò eo ſtultitiæ pervenit,
Ut cùm poſſet ipſe evertere mea conſilia,
Si me ejeciſſet ex hâc terrâ, conceſſerit hoc die
Me manere, quo tres ex meis inimicis
Interficiam, patrem, puellam, & meum maritum.
Sed cùm habeam multas vias interficiendi eos,
Non ſcio quam primùm aggrediar, amicæ.
Utrum ſuccendam domum ſponſæ igni,
An adigam acutum enſem per hepar,
Clam ingreſſa domum, ubi lectus eſt ſtratus.
Sed unum quoddam eſt mihi obſtaculum, ſi deprehendar,
Ingreſſa domum & moliens *iſta*,
Morte meâ riſum præbebo meis inimicis.

Opti-

ΣΧΟΛΙΑ.

μείζω ἐστὶν, ἀλλὰ βελτίονα. 375. Πόσιν τ' ἐμὸν (πῶς ἐπαγγελλαμένη ἀνελεῖν τὸν Ἰάσονα οὐκ ἀνεῖλε; ἢ τάχα ἐπεὶ ἐλθὼν ὁ ἄγγελος μετὰ θάνατον Γλαύκης καὶ Κρέοντος, ἐθορύβησεν αὐτὴν λέγων χρῆναι τάχιστα φυγεῖν. ἔνθα καὶ φησὶ, Μήδεια φεῦγε. ὅθεν οὐκ ἔσχε σχολὴν τοῦτο ἐργάσασθαι. εὐθὺς οὖν καὶ ὁ Ἰάσων παραγίνεται) πρὸς αὐτήν. 379. Ἢ θηκτὸν) οὐδὲ καλῶς κεῖται. Δίδυμος σημειοῦται ὅτι κακῶς οἱ ὑποκριταὶ τιθέασιν ἐπὶ τοῦ β' τὸ σιγῇ δόμους εἰσβᾶσα, καύσω ἢ σφάξω αὐτούς. 381. Εἰ ληφθήσομαι) σοφοῦ ἐστὶ τὰ ἀντιπίπτοντα λύειν. 382. Τεχνωμένη) πρὸς τὸ ἐπελθεῖν μόνοις κοιμωμένοις.

384. Ἢ,

Κράτιστα τὴν εὐθεῖαν, ᾗ πεφύκαμεν
Σοφαὶ μάλιστα, φαρμάκοις αὐτοὺς κτανεῖν.
Εἶεν·
Καὶ δὴ τεθνᾶσι· τίς με δέξεται πόλις;
Τίς γῆν ἄσυλον, καὶ δόμους ἐχεγγύους
Ξένος παρασχὼν, ῥύσεται τοὐμὸν δέμας;
Οὐκ ἔστι. μείνασ᾽ οὖν ἔτι σμικρὸν χρόνον
Ἢν μέν τις ἡμῖν πύργος ἀσφαλὴς φανῇ,
Δόλῳ μέτειμι τόνδε καὶ σιγῇ φόνον·
Ἢν δ᾽ ἐξελαύνῃ ξυμφορά μ᾽ ἀμήχανος,
Αὐτὴ ξίφος λαβοῦσα, κεἰ μέλλω θανεῖν,
Κτενῶ σφε· τόλμης δ᾽ εἶμι πρὸς τὸ καρτερόν.
Οὐ γὰρ μὰ τὴν δέσποιναν, ἣν ἐγὼ σέβω
Μάλιστα πάντων, καὶ ξυνεργὸν εἱλόμην
Ἑκάτην, μυχοῖς ναίουσαν ἑστίας ἐμῆς,
Χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.
Πικροὺς δ᾽ ἐγώ σφιν καὶ λυγροὺς θήσω γάμους,
Πικρὸν δὲ κῆδος, καὶ φυγὰς ἐμὰς χθονός.
Ἀλλ᾽ εἶα· φείδου μηδὲν ὧν ἐπίστασαι,
Μήδεια, βουλεύουσα, καὶ τεχνωμένη.
Ἕρπ᾽ εἰς τὸ δεινόν· νῦν ἀγὼν εὐψυχίας.
Ὁρᾷς ἃ πάσχεις; οὐ γέλωτα δεῖ σ᾽ ὀφλεῖν
Τοῖς Σισυφείοις, τοῖς τ᾽ Ἰάσονος γάμοις,
Γεγῶσαν ἐσθλοῦ πατρὸς, Ἡλίου τ᾽ ἄπο·

Ἐπί-

ΣΧΟΛΙΑ.

384. Ἧι πεφύκαμεν) ᾗ μηχανῇ σοφαί ἐσμεν. κράτιστον δέ φησι φαρμάκοις αὐτοὺς κτανεῖν, κατὰ τὴν ὁδὸν ἐν ᾗ σοφαὶ πεφύκαμεν, μάλιστα δηλαδὴ τῇ τῶν φαρμάκων. 389. Οὐκ ἔστι) ἢ εὐθετιστῶς πρᾶξαί τι οὐκ ἔστιν, ἢ οὐκ ἔστι μοι φίλος οὐδεὶς ὁ μέλλων με ὑποδέχεσθαι καὶ κρύπτειν. 390. Πύργος ἀσφαλὴς) ἀντὶ τοῦ ὀχύρωμα σωτηρίας. καταχρηστικῶς δὲ τὴν σωτηρίαν πύργον ὀνόμασεν, παρὰ τοὺς ὑποδεδραμηκότας ὑπὸ πύργου ἐν τῷ πολέμῳ σώζεσθαι.

Optimum est rectâ *viâ ingredi*, quâ sumus
Callidæ maximè, venenis eos necandi.
Esto:
Et jam sint mortui: quæ me civitas excipiet?
Quis terram tutam, & domum servantem pro-
Præbens hospes liberabit meum corpus? [missa,
Nemo est. Igitur manens adhuc exiguum tempus,
Siquidem aliqua *salutis* turris tuta nobis appa-
ruerit,
Aggrediar hanc cædem dolo & clàm.
Si verò calamitas inevitabilis me exagitet,
Ego correpto gladio, etiamsi mihi morien-
dum sit,
Occidam eos: vado autem ad extremam au-
daciam.
Non enim per dominam, quam ego colo
Omnium maximè, & adjutricem elegi
Hecaten, quæ habitat in angulis larium meorum,
Aliquis ex eis gaudens, dolore afficiet meum
animum:
Ego autem faciam ipsis nuptias acerbas & tristes,
Et acerbam affinitatem & exilium meum ex
hâc terrâ.
Age verò, nulli *arti* eorum quæ scis, parcas,
Medæa, deliberans, & machinans.
Vade ad atrox facinus: nunc *est* certamen audaciæ.
Vides quæ patiaris? non oportet te derideri
A genere Sisyphi, & nuptiis Jasonis,
Quæ nata es ex præstanti patre, & à Sole:
Et

ΣΧΟΛΙΑ.

σφάξειαν. Ἄλλως. εἰ μὴ εὕρω ἰσχυρὰν καταφυγὴν, σιωπῇ μετέρχομαι φαρμάκοις τὸν φόνον. ἐὰν δὲ ἐλαύνῃ με ἡ ἐξορία, τότε ξίφος λαβοῦσα κτενῶ σφε φανερῶς, εἰ καὶ ἐμοὶ συμβαίνει συναπολέσαι αὐτοῖς. 392. Ἀμήχανος) ὅ ἐστι μὴ παρέχουσα μηχανὴν, ὥστε τὸ καταγωνίσασθαι αὐτοὺς τοὺς ἐχθρούς. 407. Ἐπίστασαι δὲ) ἐπίστασαι δὲ μηχανάς μέν τινας, δι' ὧν αὐτοὺς φονεύσεις. εἰ δὲ μὴ ἤδεις, εἶχεν αὐτὸ τὸ αἴτιον ταῖς γυναιξὶν εὑρεσίκακον. 408. Γυ-

Ἐπίσασαι δέ. " Πρὸς δὲ καὶ πεφύκαμεν
" Γυναῖκες εἰς μὲν ἔσθλ' ἀμηχανώταται,
" Κακῶν δὲ πάντων τέκτονες σοφώταται.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ ά.

Χο. Ἄνω ποταμῶν ἱερῶν
Χωροῦσι παγαί,
Καὶ δίκα καὶ πάντα πάλιν στρέφεται.
Ἀνδράσι μὲν δόλιαι βουλαί· θεῶν
Δ' οὐκέτι πίστις ἄρηρε.
Τὰν δ' ἐμὰν εὔκλειαν ἔχειν βιοτὰν
Στρέφουσι φᾶμαι.
Ἔρχεται τιμὰ
Γυναικείῳ γένει·
Οὐκέτι δυσκέλαδος
Φάμα γυναῖκας ἕξει.

Ἀντιστροφὴ ά.

Μοῦσαι δὲ παλαιγενέων
Λήξουσιν ἀοιδᾶν,
Τὰν ἐμὰν ὑμνοῦσαι ἀπιστοσύναν. Οὐ

ΣΧΟΛΙΑ.

408. Γυναῖκες ἐσμὲν) ἀντὶ τοῦ εἰς μὲν τὰ ἀγαθὰ ἄποροι, καὶ οὐχ ἱκαναὶ ἐξευρεῖν τὸ αἴτιον· εἰς δὲ τὰ κακὰ εὔποροι καὶ ἱκαναί, καὶ ἐξευρετικαί. 410. Ἄνω ποταμῶν) θέλει εἰπεῖν, ὅτι ἀντέστραπται ἡ φύσις. οὐκέτι γὰρ δόλιαί εἰσιν αἱ γυναῖκες, ἀλλ' οἱ ἄνδρες. παροιμία δὲ τοῦτο, ἐπὶ τῶν εἰς τὸ ἐναντίον καὶ παρὰ τὸ προσῆκον μεταβαλλομένων πραγμάτων, οἷον ἀντέστραπται τὰ πράγματα, ὥστε δολίους μὲν καὶ ἐπιψόγους φαίνεσθαι τοὺς ἄνδρας, τὰς δὲ γυναῖκας εὐγνώμονας καὶ δικαίας. λέγει δὲ ταῦτα διὰ τὸν Ἰάσονα. ἀντεστράφη φησὶν ἡ τάξις, καὶ ἄνδρες μὲν δόλιοι καὶ ἄπιστοι γεγόνασιν, γυναῖκες δὲ αἱ πρώην διαβαλλόμεναι ἔνδοξοι καὶ πισταί. 415. Τὰν δ' ἐμὰν) τὸ ἑξῆς, τὰν δ' ἐμὰν βιοτὰν ἔχειν εὔκλειαν ὡς ὁ λό-

Et calles *aliquid*. " Præterea verò naturâ sumus
" *Nos* mulieres ad bona quidem ineptissimæ,
" Malorum verò omnium artifices peritissimæ.

ANTISTROPHICA.

Strophe 1.

Cho. 1. Sursum versùs fluminum sacrorum
Vadunt fontes,
Et jus & omnia retrò vertuntur.
Viris quidem dolosa *sunt* consilia: Deorum
Verò fides non ampliùs est rata.
Meam autem ad decus adipiscendum vitam,
Fama convertit.
Honos venit
Muliebri generi:
Non amplius infausta
Fama mulieres premet.

Antistrophe 1.

Musæ verò priscis
Desinent carminibus
Meam celebrare perfidiam. Ne-

ΣΧΟΛΙΑ.

ὁ λόγος ἀναστρέφεται, ὅτι ἄπιστοι μὲν οἱ ἄνδρες, πισταὶ δὲ αἱ γυναῖκες. καὶ ἐροῦσι πάντες τὸν ἡμέτερον βίον, τουτέστι τὴν γυναικείαν φύσιν εὐκλεεστέραν εἶναι. Τὰν δ' ἐμὰν εὔκλειαν) ἐκ τῶν κατὰ τὴν Μήδειαν ἀδικημάτων, ἐπελεύσονται τιμαὶ τῷ γυναικείῳ γένει, ἀνδρῶν ἀδίκων ἀποδειχθέντων, τῶν δὲ γυναικῶν ἔμπαλιν δικαίων. οὐκ ἔτι γὰρ ῥηθήσεται τὸ, οὐ δεῖ πιστεύειν γυναικί. καθόλου γὰρ λέγεται, ὅτι ἀντέστραπται τὰ πράγματα, διὰ τὸ δολίους μὲν καὶ ἐπιβούλους φαίνεσθαι τοὺς ἄνδρας, τὰς δὲ γυναῖκας εὐγνώμονας καὶ δικαίας. ταῦτα δὲ λέγει διὰ τὸν Ἰάσονα. 423. Ὑμνεῦσαι) ἐστὶ κακοῦ τὸ ὑμνεῦσαι. λοιπὸν δὲ φησὶν αἱ μοῦσαι, αἱ τοὺς παλαιγενεῖς ἄνδρας τοὺς σοφοὺς παρορμήσασαι διασύρειν τὸ γυναικεῖον ἔθνος, λήξουσι τῶν ἀοιδῶν τῶν καθ' ἡμᾶς, ἐν αἷς ὡς ἄπιστοι διαβεβλήμεθα. τουτέστιν οὐκέτι τοῖς ποιηταῖς ἐμποδίσουσι τὸ καθ' ἡμῶν τι λέγειν. ἢ μοῦσαι παλαιγενέων, τὰ ποιήματα τῶν πάλαι σοφῶν ποιητῶν, τουτέστι τὰ δὲ εἰρημένα τοῖς πάλαι σοφοῖς καθ' ἡμῶν, ἐστὶν οἷς ποιήμασι διαβεβλήμεθα, ταῦτα σχολάσει, καὶ λῆρος εἶναι νομισθήσεται. ἐν' ἢ τὸ λήξουσιν, ἀντὶ τοῦ παύσουσι καὶ ἀφανισθήσονται.

424. Οὐ

Οὐ γὰρ ἐν ἁμετέρᾳ γνώμᾳ λύρας
Ὤπασε θέσπιν ἀοιδὰν
Φοῖβος ἁγήτωρ μελέων. ἐπεὶ ἀντάχησ' ἂν ὕμνον
Ἀρσένων γέννᾳ.
Μακρὸς δ' αἰὼν ἔχει
Πολλὰ μὲν ἁμετέραν
Ἀνδρῶν τε μοῖραν εἰπεῖν.

Στροφὴ β'.

Σὺ δ' ἐκ μὲν οἴκων πατρίων ἔπλευσας
Μαινομένᾳ κραδίᾳ, διδύμους ὁρίσασα πόντου
Πέτρας· ἐπεὶ δὲ ξένᾳ
Ναίεις χθονὶ, τᾶς ἀνάνδρου
Κοίτας ὀλέσασα λέκτρον,
Τάλαινα, φυγὰς δὲ χώρας ἄτιμος ἐλαύνῃ.

Ἀντιστροφὴ β'.

Βέβακεν ὅρκων χάρις, οὐδέ τ' αἰδὼς
Ἑλλάδι τᾷ μεγάλᾳ μίμνει,
Αἰθερία δ' ἀνέπτα.
Σοὶ δ' οὔτε πατρὸς δόμοι,
Δύστανε, μεθορμίσασθαι
Μόχθων, παρὰ τῶνδε λέκτρων,
Ἀλλὰ βασίλεια κρείσσων δόμοισιν ἐπέστα.

ΙΑΣΩΝ,

ΣΧΟΛΙΑ.

424. Οὐ γὰρ ἐν ἁμετέρᾳ) οὐ καθ' ἡμετέραν φησὶ γνώμην, οὐδὲ ὡς ἡμῖν ταῖς γυναιξὶν ἀρέσκει, ἐδωρήσατο τοῖς ἀνδράσιν ἐξ ἀρχῆς ὁ Ἀπόλλων τὸ δύνασθαι λέγειν. εἰ δὲ γὰρ καὶ τῇ γυναικείᾳ φύσει τοῦτο δεδωρῆσθαι. καὶ πάχ' ἂν πολλαὶ ἢ ποιήτριαι γενόμεναι, ἑαυτὰς μὲν ὑμνήσαμεν, τοὺς ἄνδρας δὲ ἐψέγομεν. καὶ τὸ ἐν ἡμετέρᾳ γνώμῃ, ἀντὶ τοῦ γυναικείᾳ φύσει οὐ δέδωκεν ὁ Ἀπόλλων, ἤτοι ἡμῖν ταῖς γυναιξὶν, τὸ δύνασθαι λέγειν.

Neque enim in mentibus noſtris lyræ
Divinum carmen dedit
Phœbus, dux carminum: quo-
niam contrà ceciniſſem hymnum *in*
Genus maſculinum.
Longa autem ætas habet
Multa contra noſtram,
Et virorum partem dicere.

Strophe 2.

Tu autem navigâſti ex domo patriâ
Furenti animo, gemi-
na maris metiens
Saxa: in peregrinâ verò
Terrâ habitas, vidui
Cubilis amiſſo lecto.
Miſera exulque terrâ *hac* ignominioſa pelleris.

Antiſtrophe 2.

Abiît gratia jurisjurandi, neque amplius pudor
Manet in magnâ Græciâ,
Evolavit autem in ætherem.
Tibi autem non *eſt* paterna domus,
O miſera, ut ad eam appellas, *teque recipias*
Ex miſeriis hujus thalami;
Sed regina potentior domui præeſt.

JASON,

ΣΧΟΛΙΑ.

λέγειν. τὸ αὐτὸ δὲ δηλοῦται. Ἄλλως. οὐ γὰρ ἐν ἡμετέρᾳ γνώμῃ τὴν τῆς λύρας θέσπιν ἀοιδὴν ἐδωρήσατο Ἀπόλλων, οὐ δυναταί ἐσμεν ἡμεῖς αἱ γυναῖκες ποιήματα γράφειν· ἐπεὶ τάχα ἂν αἱ γυναῖκες ἀντεκωμῴδουν τοὺς ἄνδρας, τὴν δὲ ἑαυτῶν φύσιν ἐπῄνουν, κατὰ τὸν τοῦ λέοντος μῦθον. Λέων γὰρ ἰδὼν λέοντα ὑπὸ ἀνδρὸς ἀγχόμενον ἐν γραφῇ, εἶπεν, καὶ ἡμεῖς εἰ ᾔδειμεν γράφειν, ἢ πλάσσειν, ἔμπαλιν ἂν οἱ ἄνθρωποι ἐτίθεντο ἀγχόμενοι ὑπὸ λεόντων. 426. Ἐπεὶ ἀντάχησ' ἂν) ταῦτα καὶ εἰς τὰ Ἡσιόδου καὶ Ὁμήρου, Ὃς δὲ γυναικὶ πέποιθε, καὶ Ἐπεὶ οὐκ ἔτι πισταὶ γυναιξί. συμβήσεται δὲ τὰ μετὰ ταῦτα πολλῷ χρόνῳ τάς τε γυναῖκας καθειπεῖν τῶν ἀνδρῶν, καὶ τοὺς ἄνδρας κατὰ τῶν γυναι-

κῶν, καὶ οὐκ ἔτι μόναι γυναῖκες βλασφημηθήσονται). ἢ οὕτως. οἱ ὕμνοι τῶν μελῶν ἀντήχησαν ἂν πρὸς τοὺς ἄνδρας, ἀντικωμῳδήσαντο καὶ ἀντιδιέβαλλον ἄν, εἰ ὁ Ἀπόλλων ἐδωρήσατο ταῖς γυναιξὶ τὸ λέγειν. 431. Μοῖραν) τὴν ἡμῶν μοῖραν, καὶ τῶν ἀνδρῶν. μοῖραν δὲ, τὴν μερί-

---

ΙΑΣΩΝ, ΜΗΔΕΙΑ, ΧΟΡΟΣ, ΑΙΓΕΥΣ.

Ἰαμβοί.

Ἰά. Οὐ νῦν κατεῖδον πρῶτον, ἀλλὰ πολλάκις,
" Τραχεῖαν ὀργὴν, ὡς ἀμήχανον κακόν.
Σοὶ γὰρ παρὸν γῆν τήνδε καὶ δόμους ἔχειν,
Κούφως φερούσῃ κρεισσόνων βουλεύματα,
Λόγων ματαίων οὕνεκ' ἐκπεσῇ χθονός.
Κἀμοὶ μὲν οὐδὲν πρᾶγμα, μὴ παύσῃ ποτὲ
Λέγουσ' Ἰάσων ὡς κάκιστος ἔστ' ἀνήρ.
" Ἃ δ' εἰς τυράννους ἐστί σοι λελεγμένα,
" Πᾶν κέρδος ἡγοῦ ζημιουμένη φυγῇ.
Κἀγὼ μὲν αἰεὶ βασιλέων θυμουμένων
Ὀργὰς ἀφῄρουν, καί σ' ἐβουλόμην μένειν·
Σὺ δ' οὐκ ἀνίεις μωρίας, λέγουσ' ἀεὶ
Κακῶς τυράννους· τοιγὰρ ἐκπεσῇ χθονός.
Ὅμως δὲ κἀκ τῶνδ' οὐκ ἀπειρηκὼς φίλοις
Ἥκω, τὸ σόν γε προσκοπούμενος, γύναι.
Ὡς μήτ' ἀχρήμων σὺν τέκνοισιν ἐκπέσῃς,

Μήτ'

ΣΧΟΛΙΑ.

449. Κρεισσόνων) κρατούντων, κρατεῖ γὰρ γυναικὸς ὁ ἀνήρ, καὶ κατὰ τοῦτο κρείττων ἐστὶν, ὑποτεταγμένην ἔχων τὴν γυναῖκα. κρεισσόνων οὖν, ἀντὶ τοῦ κρείττονος, πληθυντικὸν ἀντὶ τοῦ ἑνικοῦ, ἐπὶ αὐτοῦ τοῦ Ἰάσονος. 451. Κἀμοὶ μὲν) κἀμοὶ μὲν φησὶν οὐδὲν μέλλει περὶ ὧν σὺ λέγεις κατ' ἐμοῦ· ὑπὲρ ὧν δὲ κατὰ τοῦ βασιλέως τετόλμηκας εἰπεῖν, ἀγάπα φυγῇ ζημιουμένη, καὶ μὴ μείζονι κακῷ περιπίπτουσα. οἷον ἐπικερδὲς ἡγοῦ, τὸ φυγῇ ζημιωθῆναι μόνον, καὶ μὴ μείζονι περιπεσεῖν αἰκίᾳ, διὰ τὰ εἰς τοὺς τυράννους εἰρημένα σοι δύσφημα.

459. Ὅμως

δα, ἀντὶ τοῦ συμβαίνει καθ' ἀλλήλων εἰπεῖν ἄνδρας καὶ γυναῖκας τοῦ χρόνου. 434. Ὀρίσασα) ἀντὶ τοῦ διαστείλασα καὶ διεξελθοῦσα τὰς Συμπληγάδας. ἤτοι διαπλεύσασα καὶ διελθοῦσα. παρ' ὅσον δύο τινῶν ὑποκειμένων, ὁ μέσον γενόμενος ἑκάτερον ὁρίζει. καὶ Ἡρόδοτος δίξεις, δεξιᾷ μὲν ὁρίζων. ἀεὶ γὰρ ὁ μέσον τινῶν γενόμενος, διορίζει τὸ μὲν ἔνθεν, τὸ δὲ ἔνθεν.

JASON, MEDÆA, CHORUS, ÆGEUS.

Jas. NON nunc primùm animadverti, sed sæpè,
" Aspera ira quam sit intractabile malum.
Tibi enim cùm liceret hanc terram & domum incolere,
Levitèr *&* *æquo animo* ferenti potentiorum con- [silia,
Propter inania verba ejiciêris ex *hâc* terrâ.
Ego quidem nihil curo, etiamsi nunquam desinas
Dicere, quàm malus vir sit Jason.
At *ob* dicta tibi quæ sunt male in Reges,
Putes magnum esse lucrum, quòd *tantùm* exilio puniris.
Ego quidem semper ab iratis dominis
Iram abstuli, & volebam te manere:
Tu verò non remittis stultitiam, semper dicens
Convicia dominis: itaque expellêris ex hâc terrâ.
Ego tamen nè propter hæc quidem defessus amicorum gratiâ,
Venio, prospecturus tibi, ô mulier,
Nè sine viatico cum liberis expellaris,

Ne-

ΣΧΟΛΙΑ.

459. Ὅμως δὲ) ὅμως δὲ καίπερ βλασφημησάσης με, καὶ κακῶς διατεθειμένης περὶ ἐμὲ καὶ σέ, καὶ μελλούσης ἐκβάλλεσθαι τῆς πόλεως, οὐχ ὑπερηφανῶ ἀλλ' ἦλθον πρὸς σέ, οὐ παντελῶς ἀπεγνωκὼς τὴν πρὸς σὲ φιλίαν.

Μήτ' ἐνδεὴς του. « Πόλλ' ἐφέλκεται φυγὴ
« Κακὰ ξὺν αὐτῇ. καὶ γὰρ εἰ σύ με στυγεῖς,
Οὐκ ἂν δυναίμην σοὶ κακῶς φρονεῖν ποτε.
Μη. Ὦ παγκάκιστε, (τοῦτο γάρ σ' εἰπεῖν ἔχω
Γλώσσῃ μέγιστον εἰς ἀνανδρίαν κακόν)
Ἦλθες πρὸς ἡμᾶς, ἦλθες, ἔχθιστος γεγὼς
Θεοῖς τε, κἀμοί, παντί τ' ἀνθρώπων γένει;
« Οὔτοι θράσος τόδ' ἐστίν, οὐδ' εὐτολμία,
« Φίλους κακῶς δράσαντ' ἐναντίον βλέπειν·
« Ἀλλ' ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
« Πασῶν, ἀναίδει'. εὖ δ' ἐποίησας μολών.
Ἐγώ τε γὰρ λέξασα, κουφισθήσομαι
Ψυχήν, κακῶς σε, καὶ σὺ λυπήσῃ κλύων.
Ἐκ τῶν δὲ πρώτων πρῶτον ἄρξομαι λέγειν;
Ἔσωσά σ', ὡς ἴσασιν Ἑλλήνων ὅσοι
Ταυτὸν συνεισέβησαν Ἀργῷον σκάφος,
Πεμφθέντα ταύρων πυρπνόων ἐπιστάτην
Ζεύγλῃσι, καὶ σπεροῦντα θανάσιμον γύην.
Δράκοντά θ', ὃς πάγχρυσον ἀμφέπων δέρας,
Σπείραις ἔσωζε πολυπλόκοις, ἄϋπνος ὤν,
Κτείνασ', ἀνέσχον σοὶ φάος σωτήριον.
Αὐτὴ δὲ πατέρα καὶ δόμους προδοῦσ' ἐμοὺς,
Τὴν Πηλιῶτιν εἰς Ἰωλκὸν ἱκόμην, Σὺν

ΣΧΟΛΙΑ.

465. Ὦ παγκάκιστε, τοῦτο γάρ σ' εἰπεῖν ἔχω) τοῦτο γὰρ εἰπεῖν ἔχω σοι μέγιστον κακὸν διὰ τὴν ἀσθένειαν τὴν ἐμήν. γυνὴ γάρ εἰμι καὶ ἀσθενής, μὴ δυναμένη χερσὶν ἐπιτιμωρήσασθαι. διὸ τῇ διὰ τοῦ στόματος κατηγορίᾳ κολάζω σε. ἢ εἰς ἀντὶ τοῦ διά, δι' ἀνανδρίαν. τοῦτο δέ φησιν, ὡς μὴ δυνηθέντος αὐτοῦ χωρὶς αὐτῆς ἀνύσαι τὸν ἆθλον. οὗτος γὰρ ὁ Ἰάσων, ἀποσταλεὶς παρὰ τοῦ Πελίου, ἀνεῖλε τὸ χρυσοῦν δέρας ἀπὸ τῶν Κόλχων, διὰ φαρμάκων τινῶν τῆς Μηδείας, ὡς ἐρασθείσης αὐτοῦ. 466. Εἰς ἀνανδρίαν) ἤτοι ὡς θυμουμένη, ἄνανδρον αὐτὸν ἀποκαλεῖ. τῶν γὰρ λοιδορουμένων οἰκεῖον καὶ τὰ μὴ προσόντα πολλάκις προφέρειν. ὀνειδίζει δὲ αὐτῷ ἀσθένειαν, ὡς μὴ δυνηθέντι ἄνευ αὐτῆς ἀνύσαι τοὺς ἄθλους. 470. Φίλους κακῶς) κακῶς φίλους δράσαντα, ἐναν-

Neque indigeas aliquâ re. "Exilium trahit multa
" Mala secum. Quamvis enim tu me oderis,
Non possem tibi malè unquam velle.
Med. O pessime omnium (hoc enim tibi possum dicere
Linguâ summum convicium in tuam ignaviam)
Venisti ad nos, venisti, qui es invisus
Diis, & mihi, & universo humano generi?
Ista non est audacia, neque fortitudo,
Intueri coràm amicos, quos injuriâ affeceris:
Sed gravissimus inter homines morborum
Omnium *est* impudentia. Benè tamen fecisti
Ego enim levabor animo, dicens [quòd veneris.
Tibi convicia, & tu dolebis audiens *ea*.
Sed à quibus primis, primum incipiam dicere?
Servavi te (ut nôrunt quicunque Græcorum
Conscenderunt eandem navim Argo)
Missum ut regeres tauros spirantes flammas
Jugis, & seminares letale arvum:
Et dracone, qui circundans aureum vellus,
Servabat multiplicibus voluminibus, *ipse* pervi-
Occiso, attuli tibi lucem salutarem. [gil existens,
Ipsa verò prodito patre, & domo meâ,
Peliotidem ad Iolcum veni, Te-

ΣΧΟΛΙΑ.

ἐναντίον βλέπειν. τίνες δὲ ἐπιλαμβάνονται) Εὐριπίδου, ὡς κακῶς· τὸ γὰρ θράσος ἔδει μᾶλλον εἰπεῖν θάρσος. διαφέρει δὲ, ὡς ἀρετὴ κακίας. τὸ μὲν γὰρ ἐπὶ κακοῦ καὶ ῥιψοκινδύνου τάσσεται, τὸ δὲ ἐπὶ ἀγαθοῦ· ὅθεν οἱ ἀγαθοὶ αὐτὸ διώρισαν οὕτως, ὅτι θάρσος μὲν τὸ τῆς ψυχῆς παράστημα μετὰ λογισμοῦ, θράσος δὲ ἡ ἀλόγιστος τόλμη. 475. Ἐκ τῶν δὲ πρώτων) ἀπὸ τῶν πρώτων δὲ εὐεργεσιῶν ἀποκατάρξομαι νυνί. πρῶται δὲ αἱ ἐπὶ Σκυθίας, ὅτε Ἰάσων παρὰ τοῦ Αἰήτου, ἐκτελέσαι τοῦτον τὸν ἆθλον κελευσθεὶς, τοῖς σιδηραῖς ζεύγλαις, τοὺς πυρίπνους ζεῦξαι βόας. καὶ σπεῖραι τοὺς δρακοντείους ὀδόντας, δι' αὐτῆς τοῦτο ἐξετέλεσεν. 476. Ἔσωσά σ' ὡς ἴσασιν) πλεονάζει ὁ στίχος τῷ σ'. ὅθεν καὶ ὁ Πλάτων ἐν ταῖς ἑορταῖς φησὶν, ἔσωσας ἐκ τῶν σιγμάτων Εὐριπίδου. καὶ Εὔβουλος, ἐν δ' ἔσωσας ὡς ἴσασί σοι. καὶ παρθενεύσης ἐξῆν μοι χαίρειν Καὶ τοῖς ἐμοῖσιν ἀγγέλουσι πήμασι Τὰ σίγματα συλλέξαντες, ὡς αὐτοὶ σοφοί.

Σὺν σοὶ πρόθυμος μᾶλλον ἢ σοφωτέρα.
Πελίαν τ' ἀπέκτειν', ὥσπερ ἄλγιστον θανεῖν
Παίδων ὑπ' αὐτοῦ· πάντα τ' ἐξεῖλον φόβον.
Καὶ ταῦθ' ὑφ' ἡμῶν, ὦ κάκιστ' ἀνδρῶν, παθὼν,
Προὔδωκας ἡμᾶς, καινὰ δ' ἐκτήσω λέχη,
Παίδων γεγώτων· εἰ γὰρ ἦσθ' ἄπαις ἔτι,
Συγγνωστ' ἂν ἦν σοι, τοῦδ' ἐρασθῆναι λέχους.
Ὅρκων δὲ φροῦδη πίστις· οὐδ' ἔχω μαθεῖν
« Ἢ θεοὺς νομίζεις τοὺς τότ' οὐκ ἄρχειν ἔτι,
« Ἢ καινὰ κεῖσθαι θέσμι' ἀνθρώποις τανῦν,
« Ἐπεὶ σύνοισθά γ' εἰς ἔμ' οὐκ εὔορκος ὤν.
Φεῦ δεξιὰ χεὶρ, ἧς σὺ πόλλ' ἐλαμβάνου,
Καὶ τῶνδε γονάτων, ὡς μάτην κεχρῴσμεθα
Κακοῦ πρὸς ἀνδρὸς, ἐλπίδων δ' ἡμάρτομεν.
Ἄγ', ὡς φίλῳ γὰρ ὄντι σοι κοινώσομαι,
Δοκοῦσα μέν τι πρός γε σοῦ πράξειν καλῶς,
Ὅμως δ', ἐρωτηθεὶς γὰρ αἰσχίων φανῇ·
Νῦν ποῖ τράπωμαι; πότερα πρὸς πατρὸς δόμους,
Οὓς σοὶ προδοῦσα, καὶ πάτραν, ἀφικόμην;
Ἢ πρὸς ταλαίνας Πελιάδας; καλῶς γ' ἂν οὖν
Δέξαιντό μ' οἴκοις, ὧν πατέρα κατέκτανον.
Ἔχει γὰρ οὕτω· τοῖς μὲν οἴκοθεν φίλοις
Ἐχθρὰ καθέστηχ'· οὓς δέ μ' οὐκ ἐχρῆν κακῶς
Δρᾶν,

ΣΧΟΛΙΑ.

485. Σὺν σοὶ πρόθυμος μᾶλλον ἢ σοφωτέρα) ἀντὶ τοῦ ἐρῶσα μᾶλλον τῷ πρός σε νικωμένη, ἢ μετὰ λογισμοῦ τι πράττουσα. 487. Πάντα δ' ἐξεῖλον) ἀντὶ τοῦ ἐπόρθησα. ἐὰν δὲ φόβον γὰρ ἐξεῖλον, ἀντὶ τοῦ διέφθειρα καὶ ἠφάνισα. 500. Δοκοῦσα μέν τι) ἀντὶ τοῦ οὐδὲν προσδοκῶσα πράξειν καλῶς. ταῦτα δὲ ἐν ἤθει προσενεκτέον, φέρε δὴ ὡς φίλῳ σοι διαλέχθω· καί τοι προσδοκῶσα τι πράξειν καλὸν, καὶ διαλεγομένη καὶ οὐδὲν ὠφελήσοντί με, ὅμως ἐρωτήσω· οὕτω γὰρ ἂν πικροτέρως ἐλεγχθείης, οὐδὲν ἔχων πρὸς ἔπος ἀποκρίνασθαι. διαστίζειν δὲ δεῖ κατὰ ἀνάγνωσιν

Tecum promptior quàm sapientior.
Et occidi Peliam eo genere mortis, quod est miserrimum,
Per ejus filias: omnemque *tibi* metum exemi.
His tamen *beneficiis* à me affectus, ô pessime mortalium,
Prodidisti me, novósque comparâsti lectos,
Cùm habeas liberos: si enim sine liberis adhuc fuisses,
Ignoscendum tibi esset, quòd hunc amâsses lectum.
Sed evanida est fides jurisjurandi: neque possum scire,
" An existimes Deos qui tunc regnârunt, non amplius regnare:
" An verò putes nova jura constituta esse hominibus nunc;
" Quia tibi conscius es in me perjurus quòd sis.
Hei dexteram manum, quàm tu sæpè apprehendisti,
Et hæc genua mea, quàm frustra sumus pollutæ
Ab improbo marito, spéque frustratæ!
Age verò; colloquar enim tecum tanquam cum amico,
Ut videar aliquo à te affecta beneficio,
Tu tamen interrogatus videberis turpior.
Quò me nunc vertam? an ad domum patris,
Et Patriam, quibus tibi proditis, *huc* veni:
An ad miseras filias Peliæ? scilicet illæ benè
Me reciperent *in* suas ædes, quarum patrem interfeci.
Sic enim *se res* habet: amicis quidem domesticis
Sum invisa: quibus verò me non oportebat malè
Facere,

ΣΧΟΛΙΑ.

ἀνάγνωσιν τὸ τί. οὐκ δὲ τ' ὑποκείσεως ἐμφαίνει τὸ εἰδέν τι· πυθητικὸν δὲ ὑπόκειται δηλοῖ τὸ τί. καί τοι γέ τι δεικνῦσα πράξειν πειρᾷ σε.

Δρῶν, σοὶ χάριν φέρουσα, πολεμίους ἔχω.
Τοιγάρ με πολλαῖς μακαρίαν Ἑλληνίδων
Ἔθηκας ἀντὶ τῶνδε· θαυμαστὸν δέ σε
Ἔχω πόσιν, καὶ πιστὸν, ἡ τάλαιν' ἐγώ.
Εἰ φεύξομαι δὲ γαῖαν ἐκβεβλημένη,
Φίλων ἔρημος, σὺν τέκνοις μόνη μόνοις,
Καλόν γ' ὄνειδος τῷ νεωστὶ νυμφίῳ,
Πτωχοὺς ἀλᾶσθαι παῖδας, ἥ τ' ἔσωσά σε.
" Ὦ Ζεῦ, τί δὴ χρυσοῦ μὲν, ὃς κίβδηλος ᾖ,
" Τεκμήρι' ἀνθρώποισιν ὤπασας σαφῆ,
" Ἀνδρῶν δ', ὅτῳ χρὴ τὸν κακὸν διειδέναι,
" Οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι;
Χο. " Δεινή τις ὀργὴ καὶ δυσίατος πέλει,
" Ὅταν φίλοι φίλοισι συμβάλωσ' ἔριν.
Ια. Δεῖ μ', ὡς ἔοικε, μὴ κακὸν φῦναι λέγειν,
Ἀλλ' ὥστε νηὸς κεδνὸν οἰακοστρόφον,
Ἄκροισι λαίφους κρασπέδοις ὑπεκδραμεῖν
Τὴν σὴν στόμαργον, ὦ γύναι, γλωσσαλγίαν.
Ἔγωγ', ἐπειδὴ καὶ λίαν πυργοῖς χάριν,
Κύπριν νομίζω τῆς ἐμῆς ναυκληρίας
Σώτειραν εἶναι θεῶν τε κἀνθρώπων μόνην.
Σοὶ δ' ἔστι μὲν νοῦς λεπτός· ἀλλ' ἐπίφθονος

Λόγος

ΣΧΟΛΙΑ.

520. Δεινή τις ὀργὴ καὶ δυσίατος πέλει) ἡ συστοιχία τοῦ χοροῦ ἐστί· κατὰ δὲ τούτους ἤδη τὰ τῶν χορῶν ἠμαύρωται. τὰ μὲν γὰρ ἀρχαῖα διὰ τῶν χορῶν ἐπεπλεῖτο. ὅθεν ὁ Εὔπολις φησὶ, τί χορὸς οὗτος, κλαίειν εἴπωμεν πυρρόμους, ἵν' ᾖ κατὰ ταῦτα ἰαμβεῖα. 524. Κρασπέδοις) περιφραστικῶς εἶπεν, ἀντὶ τοῦ παντὶ ἀρμένῳ. ὑπεκδραμεῖν δὲ, ἤγουν δεῖ με ὑπεκδραμεῖν τὴν σὴν γλωσσαλγίαν. καθάπερ κυβερνήτης τοῖς κρασπέδοις τοῦ λαίφους χρώμενος ἐκφεύγει. 527. Κύπριν νομίζω τῆς ἐμῆς) ἐγὼ νομίζω φησὶν ὑπὸ τῆς Ἀφροδίτης σεσῶσθαι, καὶ μόνην φησὶ τῶν ἄλλων ἀνθρώπων καὶ θεῶν ἰσχύειν. τοῦτο γάρ ἐστι, μόνην φησὶ τὴν Ἀφροδίτην σεσωκέναι αὐτὸν, καὶ οὐδένα ἄνθρωπον, οὐδὲ θεόν. τοῦτο δὲ

ψευδής.

Facere, eos tibi gratificans, inimicos habeo.
Ergo inter multas Græcas me beatam
Fecisti pro hisce beneficiis: egregium vero te
Et fidum maritum habeo infelix ego.
Si verò fugiam expulsa ex hâc terra,
Sola cum solis liberis, orbata amicis,
Præclara verò gloria *erit tibi* novo sponso,
Mendicos errare filios *tuos*, & *me*, quæ te servavi.
" O Jupiter, quare auri quidem, quod sit adulterinum
" Clara signa hominibus dedisti,
" Sed quo oporteat discerni malum virum,
" Nullum signum inest corpori?
Cho. " Gravis quædam ira & ægrè sanabilis est,
" Quando amici incipiunt contendere cum amicis.
Ia. Oportet me non segnem esse in dicendo, ut videtur,
Sed velut navis prudentem gubernatorem
Summis oris veli subterfugere
Tuam effrænem loquacitatem, ô mulier.
Ego, postquam valdè exaggeras *tuum* beneficium,
Existimo meæ navigationis Venerem
Servatricem esse solam inter homines deosque.
Tibi verò est quidem mens subtilis: at invidiosa *erit mihi*

Oratio

ΣΧΟΛΙΑ.

ψευδῆς. φαίνεται γὰρ τὴν Ἥραν προστάτιν ἐσχηκώς, ἐξ αὐτῆς ὅλως καὶ ὑπὸ ταύτης παρορμηθεὶς ἐπὶ τὸν ἆθλον, ὑφ' ἧς εἰκὸς αὐτὸν σεσῶσθαι, ἵνα τὸν Πελίαν φονεύσῃ ἐχθρὸν ὄντα τῆς Ἥρας. ἔτι δὲ ἡ Ἀθηνᾶ, ἡ κινδυνευοῦσαν τὴν ναῦν προσαραχθῆναι ταῖς πέτραις ἀνεσώσατο. 529. Ἐπίφθονος) ὑπὸ φθόνου κατεχόμενος ὁ λόγος οὗτος. λέγει δὲ τὸν ἔρωτα σεσωκέναι με. ἐρασθεῖσα γὰρ αὐτοῦ ἡ Μήδεια, ἔσωσεν αὐτόν. δύναται δὲ καὶ οὕτως νοηθῆναι, καὶ ἐπίφθονος ὁ λόγος ῥηθῆναι. τουτέστι κινεῖ μοι φθόνον ὁ λόγος. ἀλαζονεύσομαι φησὶν ὑπὲρ ἐμαυτοῦ, ὅτι ὁ ἔρως σου ἠράσθης μου σέσωκέ με. Ἄλλως. ἐμὸς ὁ λόγος φησὶ λεπτὸς μὲν, ἐπίφθονος δὲ, τουτέστι φθονηθησόμενος.

Λόγου διελθεῖν, ὡς Ἔρως σ' ἠνάγκασε
Πόνων ἀφύκτων τοὐμὸν ἐκσῶσαι δέμας·
Ἀλλ' οὐκ ἀκριβῶς αὐτὰ θήσομαι λίαν.
Ὅπῃ γὰρ οὖν ὤνησας, οὐ κακῶς ἔχει.
Μείζω γε μέντοι τῆς ἐμῆς σωτηρίας
Εἴληφας, ἢ δέδωκας, ὡς ἐγὼ φράσω.
Πρῶτον μὲν Ἑλλάδ' ἀντὶ βαρβάρου χθονὸς
Γαῖαν κατοικεῖς, καὶ δίκην ἐπίστασαι,
Νόμοις τε χρῆσθαι, μὴ πρὸς ἰσχύος χάριν.
Πάντες δέ σ' ᾔσθοντ' οὖσαν Ἕλληνες σοφὴν
Καὶ δόξαν ἔσχες· εἰ δὲ γῆς ἐπ' ἐσχάτοις
Ὅροισιν ᾤκεις, οὐκ ἂν ἦν λόγος σέθεν.
« Εἴη δ' ἔμοιγε μήτε χρυσὸς ἐν δόμοις,
« Μήτ' Ὀρφέως κάλλιον ὑμνῆσαι μέλος,
« Εἰ μὴ 'πίσημος ἡ τύχη γένοιτό μοι.
Τοσαῦτα μέν σοι τῶν ἐμῶν πόνων πέρι
Ἔλεξ'· ἅμιλλαν γὰρ σὺ προὔθηκας λόγων.
Ἃ δ' εἰς γάμους μοι βασιλικοὺς ὠνείδισας,
Ἐν τῷδε δείξω πρῶτα μὲν σοφὸς γεγώς,
Ἔπειτα σώφρων, εἶτα σοὶ μέγας φίλος,
Καὶ παισὶ τοῖς ἐμοῖσιν. ἀλλ' ἔχ' ἥσυχος.
Ἐπεὶ μετέστην δεῦρ' Ἰωλκίας χθονὸς,
Πολλὰς ἐφέλκων συμφορὰς ἀμηχάνους,
Τί τοῦδ' ἂν εὕρημ' εὗρον εὐτυχέστερον,
Ἢ παῖδα γῆμαι βασιλέως φυγὰς γεγώς;
Οὐχ, ᾗ σὺ κνίζῃ, σὸν μὲν ἐχθαίρων λέχος,
Καινῆς

ΣΧΟΛΙΑ.

μὴ δυνάμενος δὲ διαφυγεῖν πάντως τῆς ἰσχύος. ἐὰν γάρ τις ἀκριβῶς ἐξετάσῃ, ὁ ἔρως σε ἠνάγκασε τόξοις ἀφύκτοις τοὐμὸν ἐκσῶσαι δέμας. οἷον οὐκ εἰς χάριν τὴν ἐμὴν, ἀλλὰ κατὰ ἀνάγκην ταῦτα ἐπέπραξας. ἢ τῶν ἀφύκτων πόνων ἐξέσωσας τοὐμὸν σῶμα. ἢ οὕτως. ἢ σὺ μέν φησι συνεργεῖς, ἅτε δὴ λεπτοὶ καὶ ἄξιοι ἔχουσι τὸν νοῦν, ὅτι δὲ
Ἀφρο-

Oratio percurrere, quòd amor te coegerit
Laboribus inevitabilibus meum eripere corpus:
Sed non accurate nimis ista persequar.
Quà igitur *me* juvisti, benè *se res* habet.
Atqui servatione meî majora *beneficia*
Accepisti, quàm dederis, quemadmodum ego
jam dicam.
Primùm quidem pro barbarâ terrâ in Græcâ
Terrâ habitas, & scis jus,
Et legibus uti, non pro viribus agere.
Deinde omnes Græci senserunt te esse ingeniosam,
Et adepta es gloriam: si verò in extremis terræ
Finibus habitares, nulla fieret mentio tuî.
“ Mihi verò neque aurum sit domi,
“ Nec Orphei carmen sonare pulchrius velim,
“ Nisi illustris mihi contingat fortuna.
Atque hæc quidem tibi de meis laboribus
Dixi: certamen enim tu proposuisti verborum.
Cæterùm quæ mihi de nuptiis regiis objecisti,
In hoc monstrabo primum quidem quòd sim pru-
Deinde castus, deniq; tibi magnus amicus, [dens,
Et meis liberis. Sed mane quieta.
Postquam huc veni ex Iolcicâ terrâ, [lia,
Multa mecum trahens incommoda inexplicabi-
Quodnam consilium hoc melius potuissem invenire,
Quàm ducere filiam regis, cùm essem exul?
Non (ut tu *me* vellicas) odio quidem habens
tuum conjugium, Per-

ΣΧΟΛΙΑ.

Ἀφροδίτη με ἔσωσεν. ἀλλ' ὑπὸ φθόνου ὁ λόγος σοι ὑποφέρεται), ὡς ἐὰν ἀληθής, τὸ σὲ διὰ τὸν ἔρωτα σεσωκέναι με. 530. Λόγος διελθεῖν) ἀντὶ τοῦ παρελθεῖν καὶ εἰπεῖν. 532. Ἀλλ' οὐκ ἀκριβῶς) ἀλλ' οὐκ ἀκριβολογοῦμαι περὶ τούτου, ἀλλὰ δίδωμί σοι τῷ λόγῳ ὠφεληκέναι. καὶ ἐγὼ μὲν ὁμολογῶ, ὅτι ἔνθα μοι ὠφέλησας, καλῶς ἔχει. 533. Ἐπεὶ γὰρ ἂν ὤνησας) ἔνθα γάρ φησιν ὠφέλησας, οὐ κακῶς ἔχει. ἢ ὅτι ὠφέλησας· ὅθεν μεθίημι τὰς ἀποδείξεις τοῦ μηδὲν ὠφεληθῆναι παρὰ σοῦ, τοῦ πράγματος οὐ καλῶς ἔχοντος. 584 Εὐχέ-

Καινῆς δὲ νύμφης ἱμέρῳ πεπληγμένος,
Οὐδ' εἰς ἅμιλλαν πολύτεκνον σπουδὴν ἔχων·
Ἅλις γὰρ οἱ γεγῶτες, οὐδὲ μέμφομαι·
Ἀλλ' ὡς τὸ μὲν μέγιστον, οἰκοῖμεν καλῶς,
Καὶ μὴ σπανιζοίμεσθα, γιγνώσκων, ὅτι
“ Πένητα φεύγει πᾶς τις ἐκποδὼν φίλος,
Παῖδάς τε θρέψαιμ' ἀξίως δόμων ἐμῶν.
Σπείρας τ' ἀδελφοὺς τοῖσιν ἐκ σέθεν τέκνοις,
Εἰς ταυτὸ θείην, καὶ συναρτήσας γένος,
Εὐδαιμονοίην. σοί τε γὰρ παίδων τί δεῖ,
Ἐμοί τε λύει τοῖσι μέλλουσιν τέκνοις,
Τὰ ζῶντ' ὀνῆσαι· μῶν βεβούλευμαι κακῶς;
Οὐδ' ἂν σὺ φαίης, εἴ σε μὴ κνίζοι λέχος.
“ Ἀλλ' εἰς τοσοῦτον ἥκεθ', ὥστ' ὀρθουμένης
“ Εὐνῆς, γυναῖκες πάντ' ἔχειν νομίζετε·
“ Ἢν δ' αὖ γένηται ξυμφορά τις εἰς λέχος,
“ Τὰ λῷστα καὶ κάλλιστα, πολεμιώτατα
“ Τίθεσθε. χρῆν γὰρ ἄλλοθέν ποθεν βροτοὺς
“ Παῖδας τεκνοῦσθαι, θῆλυ δ' οὐκ εἶναι γένος·
“ Οὕτω δ' ἂν οὐκ ἦν οὐδὲν ἀνθρώποις κακόν.

Χο. Ἰᾶσον, εὖ μὲν τούσδ' ἐκόσμησας λόγους·
Ὅμως δ' ἔμοιγε, κεἰ παρὰ γνώμην λέγω,
Δοκεῖς προδοὺς σὴν ἄλοχον οὐ δίκαια δρᾶν.

Μη. Ἦ πολλὰ πολλοῖς εἰμι διάφορος βροτῶν·
“ Ἐμοὶ γὰρ ὅστις ἄδικος ὢν σοφὸς λέγειν
“ Πέφυκε, πλείστην ζημίαν ὀφλισκάνει.
“ Γλώσσῃ γὰρ αὐχῶν τἄδικ' εὖ περιστελεῖν,

“ Τολ-

Perculſus verò deſiderio novæ ſponſæ, [ſtudio:
Neque certatim numeroſæ ſobolis procreandæ
(Sufficiunt enim qui nati ſunt, nec *ideo* conqueror)
Sed quod maximum eſt, ut commodè viveremus,
Neque *rerum neceſſariarum* inopia laboraremus, ſciens quòd
" Pauperem omnes amici procul fugiunt:
Et ut liberos educarem, dignè familia mea. [tis,
Et gignens fratres his liberis ex te *mihi procrea-*
Eodem loco collocarem, & conjungens genus,
Beatiùs viverem. tibi enim pluribus liberis quid opus eſt,
Et mihi conducit futurorum liberorum cauſâ,
Eos qui vivunt juvare: an malè conſultavi?
Nè tu quidem diceres hoc, niſi te offenderent novæ nuptiæ.
" Sed eo venitis, ut cùm rectè ſe habet
" Conjugium, putetis *vos* mulieres omnia habere:
" Quòd ſi contrà calamitas aliqua inciderit in conjugium,
" *Etiam ea, quæ ſunt* optima & pulcherrima, inimiciſſima *vobis* [quopiam
" Ducitis. Oportebat autem homines aliundè
" Gignere liberos, neque eſſe genus muliebre:
" Sic enim homines nullum malum haberent.
Ch. Jaſon, pulchrè tu quidem ornaſti tuam cauſam:
Mihi tamen (etiamſi præter voluntatem *hoc* dicã)
Videris injuſtè feciſſe, quòd prodidiſti tuam uxorem. [libus:
Med. Profectò multùm à multis diſſentio morta-
" Mihi enim quiſquis injuſtus exiſtens, *tamen* ſapiens in dicendo
" Eſt, maximâ mulctâ dignus videtur.
" Nam cùm glorietur, ſe dicendo poſſe ornare injuſtas cauſas, " Au-

" Τολμᾷ πανουργεῖν· ἔστι δ' οὐκ ἄγαν σοφός.
Ὡς καὶ σὺ μὴ νῦν εἰς ἔμ' εὐσχήμων γένῃ,
Λέγειν τε δεινός· ἓν γὰρ ἐκτενεῖ σ' ἔπος·
Χρῆν σ', εἴπερ ἦσθα μὴ κακὸς, πείσαντά με
Γαμεῖν γάμον τόνδ', ἀλλὰ μὴ σιγῇ φίλων.
Ιά. Καλῶς γ' ἂν οὖν μοι τῷδ' ὑπηρέτεις λόγῳ,
Εἴ σοι γάμον κατεῖπον, ἥ τις οὐδὲ νῦν
Τολμᾷς μεθεῖναι καρδίας μέγαν χόλον.
Μή. Οὐ τοῦτό σ' εἶχεν, ἀλλὰ βάρβαρον λέχος
Πρὸς γῆρας οὐκ εὔδοξον ἐξέβαινέ σοι.
Ιά. Εὖ νῦν τόδ' ἴσθι, μὴ γυναικὸς οὕνεκα
Γῆμαί με λέκτρα βασιλέως, ἃ νῦν ἔχω.
Ἀλλ', ὥσπερ εἶπον καὶ πάρος, σῶσαι θέλων
Σὲ, καὶ τέκνοισι τοῖς ἐμοῖς ὁμοσπόρους
Φῦσαι τυράννους παῖδας, ἔρυμα δώμασι.
Μή. Μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος,
" Μήδ' ὄλβος, ὅστις τὴν ἐμὴν κνίζοι φρένα.
Ιά. Οἶσθ' ὡς μετεύξῃ, καὶ σοφωτέρα φανῇ;

Τὰ

ΣΧΟΛΙΑ.

584. Εὐσχήμων φανῇ) ἀντὶ τοῦ συσχηματίζων τοὺς λόγους. πρὸς τὸ συναρπάζειν ἐμὲ, τουτέστι κοσμίως τὸ λέγειν. τὸ δὲ μὴ νῦν κατὰ Ἀττικοὺς παρέλκεται. 591. Οὐ τοῦτό σ' εἶχεν) ἀντὶ τοῦ οὐ ταύτην ἔχων τὴν διάνοιαν ἐγήμας, οὐδὲ ἵνα τοῖς ἐμοῖς παισὶ τὸ ἀνενδεὲς τῆς τροφῆς παράσχῃς, καὶ τῆς ἐν τῇ πόλει οἰκήσεως τὸ ἀσφαλὲς, ἀλλ' αἰσχυνόμενος ἐπὶ τὸ βάρβαρον ἔχειν γυναῖκα. τοῦτο δὲ ἀποδέδωκε πρὸς ἐκεῖνο, ἔνθα φησὶν ὁ Ἰάσων, ἀλλ' ὡς τὸ μὲν μέγιστον οἰκοῖμεν καλῶς· καὶ τὰ ἑξῆς. 592. Οὐκ εὔδοξον) οἷον ἀδοξίαν ἦγε τὸ μέχρι γήρως βαρβάρῳ συνοικῆσαι, καὶ ἐσπούδασας Ἑλληνικοῖς γάμοις τὴν προτέραν ἁμαρτίαν καλύψαι. τουτέστιν εἴ μοι μέχρι γήρως συνῴκεις, ἀδοξία σοι προσετέθειτο, οἷον αἰσχύνην ἡγήσω διὰ τέλους ἀνὴρ βαρβάρου γυναικὸς καλεῖσθαι. 598. Λυπρὸς εὐδαίμων) ἀντὶ τοῦ λυπηρὸς κατὰ ἔλλειψιν τοῦ ή· ὡς καὶ τὸ δοῦλος δύνηλος ὤν, παρὰ τὴν δύην, ὃ σημαίνει τὴν ταλαιπωρίαν. Μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος) μέμφεται ἐν αὐτῆς τὴν εὐχήν. εἰ θέλεις φησὶ σοφωτέρα εἶναι, με-

τάθε

" Audet fallere: non eſt autem admodum ſapiens.
Sic & tu nè nunc apud me ſpecioſus ſis, *ſpecioſis verbis utaris*,
Et *nè ſis adeò* bonus orator: unum enim verbum occidet te.
Oportuit te, ſiquidem non feciſti malo animo, me priùs perſuaſâ,
Has nuptias contrahere, non autem clam amicis.
Ja. Præclarè verò mihi hâc in re tuam navâſſes operam,
Si tibi nuptias *iſtas antè* declarâſſem: quæ nè nunc quidem
Vis remittere magnam iracundiam animi.
Med. Non hoc te movit: ſed barbara conjux
Non ſatis glorioſa tibi in ſenectute fuiſſet.
Ja. Hoc itaque probè ſcias, non propter mulierem
Me duxiſſe filiam Regis, quam nunc habeo:
Sed ut antea dixi, *eam duxi,* volens ſervare
Te, & meis liberis fratres
Regios gignere, propugnaculum domûs.
Med. Nè contingat mihi vita ſplendidè miſerabilis,
" Neque divitiæ, quæ meum animum pungant.
Ja. Scíſne, quomodo hæc vertas vota, & ſapientior videaris?

Bona

ΣΧΟΛΙΑ.

Εὖχε τὴν σοφωτέραν εὐχήν, καὶ εὖξαι μηδέποτε τὸ χρηστόν σοι λυπηρὸν φαίνεσθαι. 599. Μή μοι ὄλβος, ὅστις) οὐκ ἄν φησιν εὐξαίμην τοιαύτην μοι εὐδαιμονίαν γενέσθαι, δι' ἧς ἂν ἔπειτα λυπηθείην, καθάπερ καὶ ὁ σὸς νῦν ὄλβος λυπεῖ τὴν ἐμὴν φρένα. οἷον οὐ βούλομαι εὐδαιμονίζεσθαι λυπουμένης κατὰ ψυχήν. τοῦτο δὲ εἶπε πρὸς τὸν Ἰάσονος λόγον ἀντιτεινομένη, παρ' ὅσον αὐτὸς ἔλεγεν ἐπὶ τῷ συμφέροντι αὐτῆς τε καὶ τῶν παίδων, εἰς τὸν γάμον προεληλυθέναι κατὰ τῆς Γλαύκης. 600. Οἶσθ' ὡς μετεύξῃ) τοῦτο κατ' ἐρώτησιν. οἶσθα φησίν, ὡς σε ἔδει μετεύξασθαι, ἵνα δόξῃς τὴν εὐχὴν φρονίμως ποιεῖσθαι; νῦν γὰρ εὐήθη λόγον εἴρηκας, ὥστε τὰ χρηστά σοι λυπηρὰ φαίνεσθαι, μηδὲ τὴν εὐτυχίαν νομίζεσθαι δυστυχίαν. Ἄλλως. οἶσθ' ὡς μετεύξῃ, καὶ τοῦτο ποιήσασα σοφωτέρα γένῃ. 606. Γα-

Τὰ χρηστὰ μή σοι λυπρὰ φαινέσθω ποτέ·
Μήδ' εὐτυχοῦσα, δυστυχὴς εἶναι δόκει.
Μή. Ὕβριζ', ἐπειδὴ σοὶ μὲν ἔστ' ἀποστροφή·
Ἐγὼ δ' ἔρημος τήνδε φευξοῦμαι χθόνα.
Ἰά. Αὐτὴ τάδ' εἵλου· μηδὲν ἄλλον αἰτιῶ.
Μή. Τί δρῶσα; μῶν γαμοῦσα, καὶ προδοῦσά σε;
Ἰά. Ἀρὰς τυράννοις ἀνοσίους ἀρωμένη.
Μή. Καὶ σοῖς ἀραία γ' οὖσα τυγχάνω δόμοις.
Ἰά. Ὡς οὐ κρινοῦμαι τῶνδέ σοι τὰ πλείονα.
Ἀλλ' εἴ τι βούλει παισὶν, ἢ σαυτῆς φυγῇ,
Προσωφέλημα χρημάτων ἐμῶν λαβεῖν,
Λέγ'· ὡς ἕτοιμος ἀφθόνῳ δοῦναι χερὶ,
Ξένοις τε πέμπειν σύμβολ', οἳ δράσουσί σ' εὖ.
Καὶ ταῦτα μὴ θέλουσα μωρανεῖς, γύναι·
Λήξασα δ' ὀργῆς, κερδανεῖς ἀμείνονα.
Μή. Οὔτ' ἂν ξένοισι τοῖσι σοῖς χρησαίμεθ' ἂν,
Οὔτ' ἄν τι δεξαίμεσθα, μήδ' ἡμῖν δίδου.
" Κακοῦ γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει.
Ἰά. Ἀλλ' οὖν ἐγὼ μὲν δαίμονας μαρτύρομαι,
Ὡς πάνθ' ὑπουργεῖν σοί τε καὶ τέκνοις θέλω·
Σοὶ δ' οὐκ ἀρέσκει τἀγαθ', ἀλλ' αὐθαδίᾳ
Φίλους ἀπωθῇ· τοιγὰρ ἀλγυνῇ πλέον.
Μή. Χώρει· πόθῳ γὰρ τῆς νεοδμήτου κόρης
Αἱρῇ, χρονίζων δωμάτων ἐξώπιος. Νύμ-

ΣΧΟΛΙΑ.

606. Γαμοῦσα καὶ προδοῦσα) σεσημείωται τὸ γαμοῦσα. θέλει δὲ εἰπεῖν, ἄρα τοιοῦτον ἔργον ποιήσασα. οὐ γὰρ ἐφ' ἑαυτῆς ἔλεγε, ἐπεὶ εἶπεν ἂν γαμουμένη, ἀλλὰ τὸν Ἰάσονος λόγον ἐφ' ἑαυτῆς μετέστρεψεν. γαμεῖ μὲν γὰρ ὁ ἀνὴρ, γαμεῖται δὲ ἡ γυνή. 609. Οὐ κρινοῦμαι) ἀντὶ τοῦ οὐκ ἀποκρινοῦμαι περὶ τῶν τοιούτων οὐδὲν πρὸς σὲ, μεθίημι δὲ τούτων τὰ πολλά. 613. Σύμβολα) οἱ ἐπιξενούμενοι τισὶν, ἀστράγαλον καταστέμνοντες, θάτερον μὲν αὐτοὶ κατεῖχον μέρος, θάτερον δὲ κατελίμπανον τοῖς ὑποδεξαμένοις· ἵνα εἰ δέοι πάλιν αὐτοὺς ἢ τοὺς ἐκείνων

Bona ne tibi molesta videantur unquam.
Nec, *cum sis satis* beata, te miseram putes.
Me. Insulta *mihi*, quandoquidem tibi quidem est re-
Ego verò deserta fugiam ex hâc terrâ. [fugium:
Ja. Tu ipsa hæc elegisti: nullum alium accusa.
Med. Quid faciens? num *alteri* nubens, aut pro-
dens te?
Ja. Imprecationes regibus impias imprecans.
Med. Et diris devota sum, *devoveor* in tuis ædibus:
Ja. 'Sed non litigabo tecum de his diutiùs.
Si verò vis pueris, aut exilio tuo aliquod
Subsidium de meâ pecuniâ accipere,
Dicito: quia sum paratus largâ manu dare,
Et mittere hospitibus tesseras; ut tibi bene fa-
Si hæc non vis, stulta es, ô mulier: [ciant.
Desistens verò ab irâ, lucraberis meliora.
Med. Neque tuis hospitibus utemur,
Neque quicquam accipiemus, neque *quicquam*
nobis des.
" Improbi enim viri dona juvamen non habent,
Ja. Ego tamen testor deos, [*nihil juvant.*
Quòd volo tibi liberisq; omnia suppeditare:
Tibi verò non placent bona: sed cum contumaciâ
Amicos repellis; quamobrem dolebis magis.
Med. Vade: amore enim novæ sponsæ [spectu.
Caperis, tempore longo absens domo ab illius con-
Duc

ΣΧΟΛΙΑ.

ἐκεῖνοι ἐπιξενοῦσθαι πρὸς ἀλλήλους, ἐπαγόμενοι τὸ ἥμισυ ἀστραγάλιον, ἀνενεοῦντο τὴν ξενίαν. Εὔβουλος Ξάνθῃ, Τί ποτ' ἐστὶν ἅπαντα διαπεπρισμένα ἡμίσεως; ἀκριβῶς ὥσπερ εἰς τὰ σύμβολα. οὕτως Ἑλλάδιος. 618. Κακοῦ γὰρ ἀνδρὸς) παροιμία ἐστὶν, Ἐχθρῶν ἄδωρα δῶρα, κοὐκ ὀνήσιμα. Σοφοκλῆς ἐν Αἴαντι μαστιγοφόρῳ. 624. Αἱρῇ) πορθῇ τῷ ἔρωτι. Ἐξώπιος) ἀντὶ τοῦ ἀφεστηκὼς αὐτῆς, ἔξω τῶν ὀφθαλμῶν τῆς κόρης ὤν, οὕτως ἔφη προσώπιος, ἀντὶ τοῦ προσενώπιος.

626. Ὡσὶ

Νύμφευ· ἴσως γὰρ, σὺν θεῷ δ' εἰρήσεται,
Γαμεῖς τοιοῦτον, ὥστε σ' ἀρνεῖσθαι, γάμον.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ ά.

Ἔρωτες ὑπὲρ μὲν ἄγαν
Ἐλθόντες, οὐκ εὐδοξίαν,
Οὐδ' ἀρετὰν παρέδωκαν
Ἀνδράσιν· εἰ δ' ἅλις ἔλθοι
Κύπρις, οὐκ ἄλλα θεὸς
Εὔχαρις οὕτω.
Μή ποτ', ὦ δέσποιν', ἐπ' ἐμοὶ
Χρυσέων τόξων ἐφείης
Ἱμέρῳ χρίσασ', ἄφυκτον οἰστόν.

Ἀντιστροφὴ ά.

« Στέργοι δέ με σωφροσύνα,
« Δώρημα κάλλιστον θεῶν.
Μηδέ ποτ' ἀμφιλόγους ὀρ-
γὰς, ἀκόρεστά τε νείκη
Θυμὸν ἐκπλήξασ' ἑτέ-
ροις ἐπὶ λέκτροις
Προσβάλοιμ'· ὦ δεινὰ Κύπρις,
Ἀπτολέμους εὐνὰς σεβίζου-
σ', ὀξύφρων κρίνοι λέχη γυναικῶν. Στρο-

ΣΧΟΛΙΑ.

626. Ὥστε σ' ἀρνεῖσθαι) ὥστε μεταμεληθῆναί σε ἐπὶ τῷ γάμῳ. 627. Ἔρωτες) τοῦτο ὁ χορὸς λέγει περὶ τῆς Μηδείας, ἐρώσης τοῦ Ἰάσονος, εὐχόμενος μὴ τοιοῦτον ἔχειν ἔρωτα. ἐκ γὰρ τῶν τοιούτων ἐρώτων ταραχαὶ τοῖς ἀνθρώποις συμβαίνουσιν. 633. Μηδέποτ' ὦ δέσποινα) τὸ ἑξῆς μηδέποτε, ὦ δέσποινα, ἐκ χρυσέων τόξων ἐπ' ἐμοὶ ἐφίης ἄφυκτον οἰστὸν ἱμέρῳ χρίσασα. μὴ ποιήσῃς τοιοῦτον ἔρωτα ἐμπεσεῖν εἰς ἐμὲ, ὦ Ἀφροδίτη, οἷον τῇ

Duc *eam:* fortassis enim (cum Deo autem dicetur)
Contrahes tale, ut tu sis negaturus, connubium,
sc. *pigebit apparasse nuptias.*

ANTISTROPHICA.

Strophe I.

Amores quidem nimiùm immoderati
Venientes, non bonum nomen,
Neque laudem *gloriamque* conciliant
Viris: si verò moderatè veniat
Venus, non *est* alia Dea
Æquè grata.
Nunquam, ô domina *Venus*, adversus me
Emittas ex aureis arcubus
Inevitabile telum, perunctum desiderio.

Antistrophe I.

" Pudicitia verò me delectet,
" Pulcherrimum donum Deorum.
Nunquam ambigua certa-
mina, & insatiabiles, *i. e. immodicas* rixas
Consternata animo propter ali-
ud conjugium,
Misceam: ô potens Venus,
Pacata conjugia co-
lens, acuto animo discerne thoros mulierum.

ΣΧΟΛΙΑ.

καὶ εἰς τὴν Μήδειαν. 639. Ἀκόρεστά τε νείκη) μηδὲ εἰς νείκη, μηδὲ εἰς ὀργὰς ἢ εἰς φιλονείκους λόγους, καὶ ὀργῆς κινητικούς. Νείκη) τὰ νείκη κατ' εὐθεῖαν πληθυντικὴν εἴρηται, τουτέστι τὰς μάχας καὶ τὰς φιλονεικίας ἀπαύστους. 643. Ἀπολέμους) ἐν τῷ εἶναι ἀπόλεμος. σεβίζουσα δὲ, προκρίνασα, προτιμῶσα. Ἄλλως, κρίνειε τὰ λέκτρα τῶν γυναικῶν. ἢ ὅτι σεβίζουσα τὰς ἀπολέμους

Στροφὴ β'.

Ὦ πατρὶς, ὦ δῶμά τ' ἐμὸν,
Μὴ δῆτ' ἄπολις γενοίμαν,
Τὸν ἀμηχανίας ἔχουσα
Δυσπέρατον αἰῶ-
ν' οἰκτρότατον ἀχέων.
Θανάτῳ θανάτῳ πάρος δαμείην,
« Ἁμέραν τάνδ' ἐξανύσασα. Μόχθων
« Δ' οὐκ ἄλλος ὕπερθεν,
« Ἢ γᾶς πατρίας στέρεσθαι.

Ἀντιστροφὴ β'.

Εἴδομεν, οὐκ ἐξ ἑτέρων
Μύθων ἔχομεν φράσασθαι.
Σὲ γὰρ οὐ πόλις, οὐ φίλων τις
Ὤικτειρε, παθοῦσαν
Δεινότατον παθέων.
« Ἀχάριστος ὄλοιθ', ὅτῳ πάρεστι
« Μὴ φίλους τιμᾶν, καθαρὰν ἀνοίξαν-
« τι κλῇδα φρενῶν·
« Κἀμοὶ φίλος οὐ ποτ' ἔσται.

Ἰαμβοί.

Αἰ. Μήδεια, χαῖρε· τοῦδε γὰρ προοίμιον
Κάλλιον οὐδεὶς οἶδε προσφωνεῖν φίλοις.
Μή. Ὦ χαῖρε, καὶ σύ, παῖ σοφοῦ Πανδίονος,
Αἰγεῦ.

ΣΧΟΛΙΑ.

εὐνὰς, ὅ ἐστι παρασκευάζουσα ἀπολέμους, ἤγουν ἀφιλονείκους. οἷον, τιμάτω δὲ ἡ Ἀφροδίτη τοὺς ἀπολέμους, καὶ ἐάτω αὐτοὺς στασιάζειν. ἢ ὀξύφρονα τὴν Ἀφροδίτην φησὶν, ἐπεὶ ὀξεῖς οἱ ἔρωτες αὐτῆς, καὶ ὑπόπτεροι. 651. Μόχθων οὐκ ἄλλος) τῶν μόχθων τῶν ἐν ἀνθρώποις οὐδεὶς ἄλλος μείζων, ἢ τὸ στέρεσθαι τῆς πατρίδος. μόχθων δὲ λέγει.

Strophe 2.

O patria, ô domus mea,
Nunquam fiam exul,
Habens paupertatis
Transactu difficilem vitam,
In acerbissimis doloribus.
Morte, morte priùs domer,
“ Hoc die confecto. Malum enim
“ Non *est* aliud majus,
“ Quàm solo patrio privari.

Antistrophe 2.

Vidimus, non ex alienis
Sermonibus *hæc* possumus referre.
Te enim neque civitas, neque aliquis amicorum
Miseratus est, quæ passa es
Gravissima mala.
“ Pereat invisus, qui non vult
“ Amicos colere, aperiens candidam
“ Clavem pectoris;
“ Nec mihi unquam erit amicus *talis*.

Ægeus.

Salve Medæa: hoc enim exordio [cos.
Pulchrius nemo novit *aliud* ad salutandum ami-
Med. Salve & tu, ô fili sapientis Pandionis,
Ægeu.

ΣΧΟΛΙΑ.

λέγει, τῶν συμφορῶν. Ὅμηρος ἐν τῷ ἐναντίῳ, Ὡς οὐδὲν γλύκιον ἧς πατρίδος, οὐδὲ τοκήων. τοῦτο δὲ αὐτὸ τὸ στέρεσθαι τῆς πατρίδος, ὅτι πάνδεινόν ἐστιν, αὐταῖς ὄψεσιν ὁρῶμεν ἐπὶ τῆς Μηδείας, καὶ οὐκ ἐξ ἀκοῆς τοῦτο μανθάνομεν. 665. Σοφοῦ Πανδίονος) εὐεπίφορός ἐστιν ὁ Εὐριπίδης εἰς τὸ λέγειν σοφὸς ἢ σοφή, πρὸς μηδὲν χρήσιμον παραλαμβάνων τὸ ὄνομα. καθὸ τί γὰρ σοφὸς ὁ Πανδίων γίνεται; οὐ γὰρ δὴ ἀνόμασαι τοιοῦτον αὐτοῦ τὸ ἔργον. ἀλλ' οὐδὲ πανουργίας ἐχόμενον, ὥστε διὰ τοῦτο λέγεσθαι αὐτὸν σοφόν· ἀλλ' ὥσπερ παραπληρώματι χρῆται τῇ λέξει.

Αἰγ. Πόθεν γῆς τῆσδ' ἐπιστροφᾷ πέδον;
Αἰ. Φοίβου παλαιὸν ἐκλιπὼν χρηστήριον.
Μή. Τί δ' ὀμφαλὸν γῆς θεσπιῳδὸν ἐστάλης;
Αἰ. Παίδων ἐρευνῶν σπέρμ', ὅπως γένοιτό μοι.
Μή. Πρὸς θεῶν, ἄπαις γὰρ δεῦρ' ἀεὶ τείνεις βίον;
Αἰ. Ἄπαιδές ἐσμεν, δαίμονός τινος τύχῃ.
Μή. Δάμαρτος οὔσης, ἢ λέχους ἄπειρος ὤν;
Αἰ. Οὐκ ἐσμὲν εὐνῆς ἄζυγες γαμηλίου.
Μή. Τί δῆτα Φοῖβος εἶπέ σοι παίδων πέρι;
Αἰ. Σοφώτερ', ἢ κατ' ἄνδρα συμβαλεῖν, ἔπη.
Μή. Θέμις δ' ἂν ἡμᾶς χρησμὸν εἰδέναι θεοῦ;
Αἰ. Μάλιστ', ἐπεί τοι καὶ σοφῆς δεῖται φρενός.
Μή. Τί δῆτ' ἔχρησε, λέξον, εἰ θέμις κλύειν.
Αἰ. Ἀσκοῦ με τὸν προὔχοντα μὴ λῦσαι πόδα.
Μή. Πρὶν ἂν τί δράσῃς, ἢ τίν' ἐξίκῃ χθόνα;
Αἰ. Πρὶν ἂν πατρῴαν αὖθις ἑστίαν μόλω.
Μή. Σὺ δ' ὡς τί χρῄζων, τήνδε ναυστολεῖς χθόνα;
Αἰ. Πιτθεύς τις ἔστι γῆς ἄναξ Τροιζηνίας.

Μή.

ΣΧΟΛΙΑ.

666. Αἰγεῦ. πόθεν) λέγουσι τὸν Αἰγέα εἰς Τροιζῆνα ἐληλυθέναι, διὰ τὸ δεδοικέναι πεζῇ ποιεῖσθαι τὴν πορείαν, Σίνιδος κατ' ἐκείνους τοὺς χρόνους ἐπιπολάζοντος. Νεόφρων δὲ εἰς Κόρινθον τὸν Αἰγέα φησὶ παραγενέσθαι πρὸς Μήδειαν, ἕνεκα τοῦ σαφηνισθῆναι αὐτῷ τὸν χρησμὸν ὑπ' αὐτῆς τῆς Μηδείας, γράφων οὕτως. Καὶ γάρ τιν' αὐτὸς ἤλυθον λύσιν μαθεῖν, Σοῦ πρὶν, θέλων γὰρ ὄσσαν, ἣν ἔχρησέ μοι Φοῖβου πρόμαντις, συμβαλεῖν ἀμηχανῶ. Οὐ γὰρ εἰς λόγους μολὼν γὰρ ἤλπιζον μαθεῖν. 668. Τί δ' ὀμφαλὸν γῆς) τὸ μέσον τῆς οἰκουμένης τὸ μαντικόν. ἐστάλης δὲ, ἐπεδήμησας, ἐνδημεῖς. 670. Δεῦρ' ἀεί) ἀντὶ τοῦ μέχρι νῦν ἄπαις ὑπάρχεις. τὸ δὲ ἀεὶ, ἀντὶ τοῦ ἕως τοῦ νῦν. σεσημείωται δὲ, ἐπεὶ τὸ δεῦρο χρονικὸν εἶπεν. ἢ οὕτως. ἀντὶ τοῦ ἕως χρόνου τούτου ἄπαις τυγχάνεις; τὸ δὲ ἀεὶ Εὐριπίδης ἐπὶ χρόνου τάσσει, ἀντὶ τοῦ ἕως τοῦ δεῦρο. νῦν δὲ ἐπὶ χρονικοῦ σημειώσαι. 673. Οὐκ ἐσμὲν εὐνῆς) πρώτην ἔχει Μελίτην τὴν Ὅπλητος, δευτέραν Χαλκιόπην τὴν Χαλκώδοντος, τρίτην τὴν Μήδειαν

677. Μάλιστ'.

Ægeu. unde accedis solum hujus terræ?

Æg. Relicto antiquo sacello Apollinis.

Med. Quare verò ad umbilicum terræ, ubi est oraculum, ivisti?

Æg. Quærens quomodo mihi contingat fatio liberorum.

Med. Per Deos, ergo sine liberis adhuc trahis vitam?

Æg. Sumus sine liberis, Genii alicujus invidiâ.

Med. Cùm habeas uxorem, an es sine uxore?

Æg. Non sumus lecti nuptialis expertes.

Med. Quid igitur dixit tibi Phœbus de liberis?

Æg. Obscuriora verba, quàm ut possit homo conjicere.

Med. Fásne autem nos scire oraculum Dei?

Æg. Maximè, quandoquidem & sapientis indiget mentis, *acutúmque postulat ingenium.*

Med. Quid igitur respondit? dicito, si fas *est* audire.

Æg. Nè ego prominentem utris solverem pedem.

Med. Priusquam quid facias, aut ad quam terram venias?

Æg. Priusquam patrios rursus *ad* lares venero.

Med. Tu verò quâ re indigens navigas in hanc terram?

Æg. Est quispiam Pittheus, rex terræ Trœzeniæ.

Med.

ΣΧΟΛΙΑ.

677. Μάλιστ', ἐπεί τοι) σοφωτέρας διανοίας χρείαν ἔχει τὰ ἤδη λεγόμενα ῥήματα. 679. Ἀσκοῦ με) χρησμὸς δοθεὶς τῷ Αἰγεῖ, οὗτός ἐστιν· Ἀσκοῦ τὸν προὔχοντα πόδα, μέγα φέρτατε λαῶν, Μὴ λῦσαι, πρὶν γουνὸν Ἀθηναίων ἀφικέσθαι. Ἀσκὸν οὖν τὴν γαστρός· Πόδα δὲ τὸ μόριον, παρόσον ὡς ὁ ποδεὼν τοῦ ἀσκοῦ προέχει. λέγει οὖν, ὅτι ἐχρήσέ μοι μὴ συνελθεῖν ἑτέρᾳ, πρὶν ἐπιβῆναι τῆς πατρίδος. τοῦτο γὰρ αἰνίττεται, ὅπερ αὐτὸς οὐ συνίησιν. ἀσκὸν τοίνυν λέγει τὸν περὶ τὴν γαστέρα τόπον. Ἀρχίλοχος, Καὶ πισεῖ δήνεσθαι ἐπ' ἀσκόν, μηροὺς τε μηροῖς. δήνεσιν λέγων, οἷα δρῶσαι τι. ποδεῶνα δὲ εἰώθασιν λέγειν, τὸ τοῦ ἀνδρὸς αἰδοῖον.

Μή. Παῖς, ὡς λέγουσι, Πέλοπος εὐσεβέστατος.
Αἰ. Τούτῳ θεοῦ μάντευμα κοινῶσαι θέλω.
Μή. Σοφὸς γὰρ ἀνὴρ, καὶ τρίβων τὰ τοιάδε.
Αἰ. Κἀμοὶ δὲ πάντων φίλτατος δορυξένων.
Μή. Ἀλλ' εὐτυχοίης, καὶ τύχοις ὅσων ἐρᾷς.
Αἰ. Τί γὰρ σὸν ὄμμα χρώς τε συντέτηχ' ὅδε;
Μή. Αἰγεῦ, κάκιστός ἐστί μοι πάντων πόσις.
Αἰ. Τί φής; σαφῶς μοι σὰς φράσον δυσθυμίας.
Μή. Ἀδικεῖ μ' Ἰάσων, οὐδὲν ἐξ ἐμοῦ παθών.
Αἰ. Τί χρῆμα δράσας; φράζε μοι σαφέστερον.
Μή. Γυναῖκ' ἐφ' ἡμῖν δεσπότιν δόμων ἔχει.
Αἰ. Ἦ που τετόλμηκ' ἔργον αἴσχιστον τόδε;
Μή. Σάφ' ἴσθ'· ἄτιμοι δ' ἐσμὲν οἱ πρὸ τοῦ
φίλοι.
Αἰ. Πότερον ἐρασθεὶς, ἢ σὸν ἐχθαίρων λέχος;
Μή. Μέγαν γ' ἔρωτα· πιστὸς οὐκ ἔφυ φίλοις.
Αἰ. Ἴτω νυν, εἴπερ ὡς λέγεις ἐστὶν κακός.
Μή. Ἀνδρῶν τυράννων κῆδος ἠράσθη λαβεῖν.
Αἰ. Δίδωσι δ' αὐτῷ τίς; πέραινέ μοι λόγον.
Μή. Κρέων, ὃς ἄρχει τῆσδε γῆς Κορινθίας.
Αἰ. Συγγνωστὰ μὲν γὰρ ἦν, σὲ λυπεῖσθαι, γύναι.
Μή. Ὄλωλα· καὶ πρός γ' ἐξελαύνομαι χθονός.
Αἰ. Πρὸς τοῦ; τόδ' ἄλλο καινὸν αὖ λέγεις κακόν.
Μή. Κρέων μ' ἐλαύνει φυγάδα τῆσδ' ἔξω χθονός.
Αἰ. Ἐᾷ δ' Ἰάσων; οὐδὲ ταῦτ' ἐπῄνεσα.

Αἰ.

ΣΧΟΛΙΑ.

686. Τρίβων ἐς τὰ τοιάδε) ἐντριβὴς ὤν, παρὰ τὸ τετριμμένος τοῦ τὰ τοιαῦτα λέγειν. τουτέστι τοὺς χρησμούς. 687. Δορυξένων) οἱ κατὰ τὸν πόλεμον πρὸς ἀλλήλους φιλίαν πεποιηκότες, ὡς Γλαῦκος καὶ Διομήδης. 693. Τί χρῆμα δράσας) σεσημείωται ὁ στίχος, ἐπεὶ καὶ ἐν πολλοῖς ἐστὶν,

ἄν

Med. Filius Pelopis, ut aiunt, piissimus.
Æg. Cum hoc Dei oraculum communicare volo.
Med. Est enim vir sapiens, & exercitatissimus in hujusmodi *rebus*.
Æg. Et mihi carissimus amicorum, quos in militiâ [paravi.
Med. Sed fortunatus sis, & consequaris quæ expetis.
Æg. Quare verò oculi tui & corpus ita contabuerunt?
Med. Ægeu, pessimus est mihi omnium maritus.
Æg. Quid ais? dic mihi apertè tuam tristitiam.
Med. Jason injuriâ me afficit, nullâ à me affectus.
Æg. Quo facinore facto? dic mihi apertiùs.
Med. Habet aliam uxorem præter me, dominam *hujus* domûs.
Æg. An igitur ausus est hanc turpissimam rem?
Med. Certò scias: nos v. qui antè eramus amici, inhonorati sumus.
Æg. Utrum *alterius* amore captus, an tuum exosus lectum?
Med. Magno sanè amore *captus*: fidelis non fuit [amicis.
Æg. Eat ergò, *i. e. valeat*, siquidem est malus, ut dicis.
Med. Cupivit accipere affinitatem regum.
Æg. Quis verò dat ei? perfice mihi sermonem.
Med. Creon, qui dominus est hujus terræ Corinthiacæ.
Æg. Ignoscendum igitur *tibi* est, quòd doles, ô [mulier.
Med. Perii; præter hoc etiam expellor ex hâc terrâ.
Æg. A quo? hoc aliud rursus novum narras malum.
Med. Creon me exulem expellit ex hâc terrâ.
Æg. Et permittit Jason? neque hæc quidem laudo.

Æg.

ΣΧΟΛΙΑ.

ὧν ἄρχει Μήδεια πρὸς τοῖς δόγμασι τυραννικοῖς. 705. Πρὸς τοῦ) πρὸς τίνος; 708. Καρ-

Μή. Λόγῳ μὲν οὐχὶ, καρτερεῖν δὲ βούλεται.
Ἀλλ' ἄντομαί σε τῆσδε πρὸς γενειάδος,
Γονάτων τε τῶν σῶν, ἱκεσία δὲ γίγνομαι,
Οἴκτειρον, οἴκτειρόν με τὴν δυσδαίμονα,
Καὶ μή μ' ἔρημον ἐκπεσοῦσαν εἰσίδῃς·
Δέξαι δὲ χώρᾳ καὶ δόμοις ἐφέστιον.
Οὕτως ἔρως σοὶ πρὸς θεῶν τελεσφόρος
Γένοιτο παίδων, καὐτὸς ὄλβιος θάνοις.
Εὕρημα δ' οὐκ οἶσθ', οἷον εὕρηκας τόδε·
Παύσω δέ σ' ὄντ' ἄπαιδα, καὶ παίδων γονὰς
Σπεῖραί σε θήσω· τοιάδ' οἶδα φάρμακα.
Αἰ. Πολλῶν ἕκατι τήνδε σοι δοῦναι χάριν,
Γύναι, πρόθυμός εἰμι· πρῶτα μὲν θεῶν,
Ἔπειτα παίδων, ὧν ἐπαγγέλλῃ γονάς.
Εἰς τοῦτο γὰρ δὴ φροῦδός εἰμι πᾶς ἐγώ.
Οὕτω δ' ἔχει μοι. σοῦ μὲν ἐλθούσης χθόνα,
Πειράσομαί σου προξενεῖν δίκαιος ὤν.
Τοσόνγε μέν τοι σοὶ προσημαίνω, γύναι,
Ἐκ τῆσδε μὲν γῆς οὔ σ' ἄγειν βουλήσομαι·
Αὐτὴ δ' ἐάνπερ εἰς ἐμοὺς ἔλθῃς δόμους,
Μενεῖς ἄσυλος, κοὐ σε μὴ μεθῶ ποτε.
Ἐκ τῆσδε δ' αὐτὴ γῆς ἀπαλλάσσου πόδα·
« Ἀναίτιος γὰρ καὶ ξένοις εἶναι θέλω.
Μή. Ἔσται τάδ'· ἀλλὰ πίστις εἰ γένοιτό μοι
Τούτων,

ΣΧΟΛΙΑ.

708. Καρτερεῖν) ἀντὶ τοῦ κρατεῖν καὶ ἀντέχειν· καὶ τὸν ἐγκρατῆ λέγουσι καρτερόν. Ἀρχίλοχος, Ἡ δ' Ἀσίη τε καρτερὴ μηλοτρόφος. φησὶν ὅτι τῷ λόγῳ μὲν παραιτεῖται, τῷ δὲ ἔργῳ οὐ θέλει κρατεῖν καὶ ἀντέχειν. 722. Εἰς τοῦτο γὰρ δὴ φροῦδός εἰμι) κατὰ τοῦτο τὸ μέρος τῆς παιδοποιΐας ἔρημός εἰμι. ἢ τὸ φροῦ-

Med. Verbis quidem non *permittit hoc:* sed *tamen reipsâ* pati vult.
Sed rogo te supplex per hanc genam,
Et tua genua, supplex jam *tibi* fio,
Miserere, miserere meî infelicis,
Neque me desertam *ac* ejectam aspicias:
Sed recipe *me* regione & domo *tua* hospitam.
Sic tibi amor à Diis fœcundus
Liberis fiat, & ipse beatus moriaris.
Lucrum autem non scis quantum inveneris hîc:
Faciam enim ut non ampliùs sis sine liberis, sed liberos
Procreare ut possis, efficiam: talia pharmaca novi.
Æg. Propter multa tibi hanc gratiam dare [deos,
Sum paratus, ô mulier. Primùm quidem propter
Deinde propter liberos, quorum generationem promittis.
Ad hoc enim ego jam prorsus sum ineptus.
Sic verò *utinam* habeam. Tu igitur ubi veneris *in Atticum* agrum,
Conabor te hospitio excipere, quia sum justus.
Tantum verò hoc tibi prædico, mulier;
Nolo quidem te ex hâc terrâ abducere:
Quòd si ipsa veneris in meam domum,
Manebis *ibi* tuta, neque dimittam te unquam.
Ex hoc verò agro tu ipsa discedens effer pedem:
Inculpabilis enim etiam apud hospites esse volo.
Med. Erunt hæc, *&* *ita fient:* sed si fides daretur mihi
Ho-

ΣΧΟΛΙΑ.

φροῦδον, ἀντὶ τοῦ πρόθυμον καὶ ἀσφαλίσαιν. ὅπως εἰς τὸ παῖδας ποιῆσαι, πάνυ ἐσπούδακα, καὶ πρόθυμός εἰμι. ἔστι δὲ κυρίως ὁ ἀπεσπουδακώς. 730. Ἀναίτιος) ἀνέγκλητος, ἄμεμπτος. οὐδὲ γὰρ βούλομαι φησὶ παρὰ τῶν περὶ τὸν Κρέοντα αἰτιαθῆναι, ὡς ἐγὼ αὐτός σε ἀπαγαγών. 734. Πελίου

Τούτων, ἔχοιμ' ἂν πάντα πρὸς σέθεν καλῶς.
Αἰ. Μῶν οὐ πέποιθας; ἢ τί σοι τὸ δυσχερές;
Μή. Πέποιθα· Πελίου δ' ἐχθρός ἐστί μοι δόμος,
Κρέων τε· τούτοις δ', ὁρκίοισι μὲν ζυγεὶς,
Ἄγουσιν οὐ μεθῆς ἂν ἐκ γαίης ἐμέ.
Λόγοις δὲ συμβὰς, καὶ θεῶν ἐνώμοτος,
Φίλος γένοι' ἂν, κἀπικηρυκεύμασιν
Οὐκ ἂν πίθοιο. τἀμὰ μὲν γὰρ ἀσθενῆ·
Τοῖσδ' ὄλβος ἐστὶ, καὶ δόμος τυραννικός.
Αἰ. Πολλὴν ἔλεξας ἐν λόγοις προμηθίαν.
Ἀλλ' εἰ δοκεῖ σοι δρᾷν τάδ', οὐκ ἀφίσταμαι,
Ἐμοί τε γὰρ τάδ' ἐστὶν ἀσφαλέστερα,
Σκῆψίν τιν' ἐχθροῖς σοῖς ἔχοντα δεικνύναι·
Τὸ σὸν δ' ἄρηρε μᾶλλον· ἐξηγοῦ θεούς.
Μη. Ὄμνυ πέδον γῆς, πατέρα θ' Ἥλιον πατρὸς
Τοὐμοῦ, θεῶν τε συντιθεὶς ἅπαν γένος.

Αἰ.

ΣΧΟΛΙΑ.

734. Πελίου δ' ἐχθρὸς) κατὰ κοινοῦ τὸ ἐχθρός. ὁ δὲ νοῦς, σοὶ μὲν θαῤῥῶ καὶ πεπίστευκα, ἀλλὰ φοβοῦμαι μὴ ἄρα ὁ τοῦ Πελίου δόμος καὶ ὁ Κρέων ἐχθροί μου ὄντες βιάσωνταί σε, καὶ παρὰ προαίρεσιν προδῶταί με ἂν αὐτοῖς, ὅθεν ὁρκῶ σε, τοῦτο βουλομένη πιστώσασθαι, ὡς οὐκ ἄν με προδῷς. 735. Τούτοις δ' ὁρκίοισι μὲν) ἐγκατειλημμένος, ἐμπεπλεγμένος. ἀντὶ τοῦ μετὰ βίας ἄγουσιν. τὸ δὲ ἑξῆς τούτοις ἄγουσιν οὐ μεθῆς ἄν. τούτοις δ' ἐν ὅρκοις ζυγείς. ὁ νοῦς. τούτοις δὲ τοῖς ἄγουσί με καὶ βιαζομένοις, οὐκ ἂν ἐκδοίης ὅρκοις περικατειλημμένος. διὸ βούλομαί σε ὀμνύειν. ἐὰν γὰρ ὀμόσῃς μοι τοῖς περὶ τὸν Κρέοντα βουλομένοις με ἄγειν ἀπὸ τῆς Ἀττικῆς, οὐκ ἂν μεθεῖο, οἷον ἐξαιτουμένοις με ἄγειν, οὐκ ἂν δοίης. μὴ ὀμόσας δὲ, φίλος γένοιο αὐτοῖς διὰ τῶν ἐπικηρυκευομένων, θέλει εἰπεῖν, ἀντὶ τοῦ ἐπικηρυκεύμασιν λείπει δὲ ἡ διά. ἵν' ᾖ πᾶς ὁ λόγος, πέποιθα μὲν ἐν οἷς λέγεις μοι. ὁ δὲ τοῦ Πελίου δόμος, καὶ ὁ τοῦ Κρέοντος, ἐχθροὶ ἐμοὶ εἰσίν. τούτοις οὖν βουλομένοις ἐξαιτεῖσθαί με, οὐκ ἂν ἐκδοίης ὀμόσας. καὶ διὰ λόγων μόνων συνθεὶς, ἴσως ἂν ἐκείνων γένοιο φίλος, καὶ διὰ τὰ ἐπικηρυκεύματα,

Horum, haberem omnia præclarè à te.
Æg. Annon confidis? aut quid tibi est molestum?
Med. Confido. Sed domus Peliæ est mihi inimica,
Et Creon: his enim, si jure-jurando mihi devinctus fueris,
Abducere volentibus me ex agro non permittes *nec trades.*
Verbis verò compositione factâ, & diis jurejurando obstrictus,
Amicus eris *mihi*, & *inimicorum meorum* legationibus
Non parebis, *ut ipsis me dedas.* Res enim meæ sunt infirmæ:
Illis verò sunt opes, & domus regia.
Æg. Ostendisti magnam providentiam in tuâ oratione.
Sed si placet tibi hæc facere, non recuso:
Mihi enim hæc quoque tutiora sunt, [inimicis:
Si ostendere possim aliquam excusationem tuis
Et tua res erit firmior; præi verbis quos jurem deos.
Med. Jura solum terræ, & Solem patrem patris
Mei, & totum simul genus Deorum.

Æg.

ΣΧΟΛΙΑ.

ζει, ὅ ἐστι τοὺς πρεσβείας ἐξαιτουμένοις μοι ἐκδοίης ἂν αὐτοῖς. 737. Λόγοις δὲ συμβὰς) εἰ δὲ ἔλθοις εἰς τὴν σύμβασιν τῶν ἐμῶν λόγων, καὶ συνθήκας ἐνωμότους ποιήσαιο πρὸς ἐμὲ, εὖ οἶδα, ὅτι μοι φίλος γένοιο, καὶ ἐπίκουρος ἀσφαλὴς, καὶ οὐκ ἂν τὴν πρὸς ἐκείνους φιλίαν [illegible]. ἐπικηρυκεύματα γάρ εἰσι, τὰ διὰ τῶν κηρυγμάτων γινόμενα πρὸς φιλίαν. κεῖται οὖν ἡ λέξις ἀντὶ τοῦ τῆς φιλίας. τῇ δὲ εὐθείᾳ ἀντὶ δοτικῆς κέχρηται. ἔδει γὰρ εἰπεῖν, καὶ τοῖς ἐπικηρυκεύμασιν οὐκ ἂν πίθοιο. Δίδυμος δέ φησι ἐλλείπειν τὴν διὰ, διὰ τὰ ἐπικηρυκεύματα. 743. Ἐμοί τε γὰρ) καὶ ἐμοί φησιν ἀσφαλές ἐστι πρὸς τὸ μηδεμίαν μέμψιν ἔχειν παρ' αὐτῶν, τὸ τὴν σκῆψιν ταύτην προβάλλεσθαι, τὸ φθάσαι ὀμωμοκέναι μὴ προδοῦναί σε, καὶ τὸ σεσῶσθαί σε. βεβαιότερον ἔσται τὴν σκῆψιν ταύτην προΐσχοντί μοι. σκῆψιν δὲ λέγει τὸ ὀμωμοκέναι αὐτῇ. τὸ δὲ ἐξηγοῦ θεοὺς, ἀντὶ τοῦ ὀνόμαζε τοὺς θεοὺς, οὓς βούλει με ὀμόσαι. 759. Ἀλλὰ

Αἰ. Τί χρῆμα δράσειν, ἢ τί μὴ δράσειν, λέγε.
Μη. Μήτ' αὐτὸς ἐκ γῆς σῆς ἔμ' ἐκβαλεῖν ποτε·
Μήτ', ἄλλος ἤν τις τῶν ἐμῶν ἐχθρῶν ἄγειν
Χρῄζῃ, μεθήσειν ζῶν ἑκουσίῳ τρόπῳ.
Αἰ. Ὄμνυμι γαῖαν, λαμπρὸν ἡλίου τε φῶς,
Θεούς τε πάντας, ἐμμενεῖν, ἅ σου κλύω.
Μη. Ἀρκεῖ· τί δ' ὅρκῳ τῷδε μὴ 'μμένων πάθοις;
Αἰ. Ἃ τοῖσι δυσσεβοῦσι γίγνεται βροτῶν.
Μη. Χαίρων πορεύου· πάντα γὰρ καλῶς ἔχει.
Κἀγὼ πόλιν σὴν ὡς τάχιστ' ἀφίξομαι,
Πράξασ' ἃ μέλλω, καὶ τυχοῦσ' ὧν βούλομαι.

Ἀνάπαιστοι.

Χο. Ἀλλά σ' ὁ Μαίας πομπαῖος ἄναξ
Πελάσειε δόμοις,
Ὧν τ' ἐπίνοιαν σπεύδεις κατέχων,
Πράξειας· ἐπεὶ γενναῖος ἀνήρ,
Αἰγεῦ, παρ' ἐμοὶ δεδόκησαι.

Ἰαμβοί.

Μη. Ὦ Ζεῦ, δίκη τε Ζηνὸς, ἡλίου τε φῶς,
Νῦν καλλίνικοι τῶν ἐμῶν ἐχθρῶν, φίλαι,
Γενησόμεσθα, κεἰς ὁδὸν βεβήκαμεν·
Νῦν δ' ἐλπὶς, ἐχθροὺς τοὺς ἐμοὺς τείσειν δίκην.
Οὗτος γὰρ ὡνὴρ, ᾗ μάλιστ' ἐκάμνομεν,
Λιμὴν

ΣΧΟΛΙΑ.

759. Ἀλλά σ' ὁ Μαίας) ὁ χορὸς ἐπεύχεται Αἰγεῖ ἐπὶ τῇ ἐπαγγελίᾳ. πομπαῖον δὲ τὸν Ἑρμῆν λέγει, ἐπεὶ παραπεμπτικὸς καὶ εἰρηνικὸς ὁ θεός. οἱ δὲ ὁδεύοντες μάλιστα εἰρήνης δέονται. 764. Ὦ Ζεῦ) τοῦτο μόνον ἡ Μήδεια αὐτὴ καθ' ἑαυτὴν ἀναφωνεῖ τῇ δικαιοσύνῃ, καὶ τοῖς λοιποῖς θεοῖς ὡς εὐχαριστοῦσα, τὰ δὲ λοιπὰ πρὸς τὸν χορόν. 665. Φίλαι) φίλας λέγει τὰς ἀπὸ τοῦ χοροῦ, πρὸς

αὐτὰς

Æg. Quam rem facturum, aut quid non facturum, dicito.
Me. Quod neque tu ejecturus me sis unquam è terrâ tuâ,
Neque, alius si quis meorum inimicorum *me* abducere
Velit, permissurum te id viventem & volentem.
Æg. Juro terram, & splendidum lumen Solis,
Et omnes deos, me his staturum, quæ ex te audio.
Med. Satis est: quid autem patieris, si non præstiteris hoc jusjurandum?
Æg. Quæ hominibus impiis solent accidere.
Med. Lætus abi: omnia enim rectè se habent.
Et ego *in* tuam civitatem quam primùm veniam,
Ubi confecero quæ paro, & consecuta fuero, quæ volo.

Chorus.

Sed te, rex, *natus* ex Maiâ, deductor
Ducat domum,
Et ea, quæcunque in animo habens festinas,
Perficias: quia præstans vir,
Ægeu, apud me, *meo judicio*, visus es.

Medæa.

O Jupiter, & vindicta Jovis, & lumen solis,
Nunc gloriose-victrices meorum inimicorum, ô amicæ,
Erimus, & in *rectam* viam sumus ingressæ:
Nunc demum spes *est* meos hostes daturos pœnas.
Hic enim vir, quâ parte maximè laborabamus,
Ap-

ΣΧΟΛΙΑ.

αὐτοῖς γὰρ νῦν διαλέγεται. 766. Εἰς ὁδὸν. γὰρ) ἀντὶ τοῦ εἰς τὴν τῆς νίκης ἀρχὴν ἐληλύθαμεν. 768. Ἧι μάλιστ' ἐκάμνομεν) καθὸ μέρος ἐδυστύχουν. ἀλλ' ἔχουσι πρὸς ὃν καταφύγωσι, νῦν πεφηνέναι.

770. Ἐν

Λιμὴν πέφανται τῶν ἐμῶν βουλευμάτων·
Ἐκ τοῦδ᾽ ἀναψόμεσθα πρυμνήτην κάλων,
Μολόντες ἄστυ, καὶ πόλισμα Παλλάδος.
Ἤδη δὲ πάντα τἀμά σοι βουλεύματα
Λέξω· δέχου δὲ μὴ πρὸς ἡδονὴν λόγους.
Πέμψασ᾽ ἐμῶν τιν᾽ οἰκετῶν, Ἰάσονα
Εἰς ὄψιν ἐλθεῖν τὴν ἐμὴν αἰτήσομαι.
Μολόντι δ᾽ αὐτῷ μαλθακοὺς λέξω λόγους,
Ὡς καὶ δοκεῖ μοι ταῦτα, καὶ καλῶς ἔχειν
Γάμους τυράννων, οὓς προδοὺς ἡμᾶς ἔχει,
Καὶ ξύμφορ᾽ εἶναι, καὶ καλῶς εἰργασμένα.
Παῖδας δὲ μεῖναι τοὺς ἐμοὺς αἰτήσομαι,
Οὐχ ὡς λιποῦσα πολεμίων ἐπὶ χθονὸς
Ἐχθροῖσι παῖδας τοὺς ἐμοὺς καθυβρίσαι,
Ἀλλ᾽ ὡς δόλοισι παῖδα βασιλέως κτάνω.
Πέμψω γὰρ αὐτοὺς δῶρ᾽ ἔχοντας ἐν χεροῖν,
Νύμφῃ φέροντας, τήνδε μὴ φεύγειν χθόνα,
Λεπτόν τε πέπλον, καὶ πλόκον χρυσήλατον.
Κἄνπερ λαβοῦσα κόσμον ἀμφιθῇ χροΐ,
Κακῶς ὀλεῖται, πᾶς θ᾽ ὃς ἂν θίγῃ κόρης·
Τοιοῖσδε χρίσω φαρμάκοις δωρήματα.
Ἐνταῦθα μέντοι τόνδ᾽ ἀπαλλάσσω λόγον.
Ὤιμωξα δ᾽, οἷον ἔργον ἔστ᾽ ἐργαστέον
Τοὐντεῦθεν ἡμῖν· τέκνα γὰρ κατακτανῶ
Τἀμ᾽· οὔτις ἐστὶν, ὅστις ἐξαιρήσεται· Δό-

ΣΧΟΛΙΑ.

770. Ἐκ τοῦδ᾽ ἀναψόμεσθα) παυσόμεθα τῶν προεστώτων κακῶν. ὅταν γὰρ ἀπόγεια δεθῇ, παύονται τῶν κυμάτων οἱ ναῦται. 773. Λέξω δὲ μὴ πρὸς ἡδονὴν) μὴ νομίσῃς φησὶν ἡδέα καὶ προσηνῆ εἶναι, τὰ μέλλοντά σοι ῥηθῆναι. ἔστι γὰρ ἀηδέα μὲν εἰς ἀκοὴν ἐλθεῖν, ἀναγκαῖα δὲ ὅμως. ὥστε ἔλεγον, οὐκ ὤφειλον μὲν ὑμῖν τοιαῦτα ἐπαγγέλλειν, οὐδ᾽ οὕτω πράξειν κακῶς. ὅμως δ᾽ ἐπειδὴ εἰς τοῦτο τύχης ἤλθομεν, ἀκού-

σαιτε

Apparuit portus meorum consiliorum:
Ex hoc suspendemus rudentem in puppe,
Ubi venerimus in civitatem & urbem Palladis.
Jam verò tibi omnia mea consilia
Dicam: accipe verò, *quæ dictura sum*, non
jucunda verba.
Misso aliquo ex meis domesticis, ut Jason
Veniat in meum conspectum, postulabo.
Ipsi verò profecto blanda dicam verba,
Quòd & mihi hæc placeant, & quod bene se ha-
Nuptiæ regiæ, quas proditâ me habet, [beant
Et utilia *hæc* esse, & recte facta.
Petam verò, ut liberi mei maneant:
Non ut relictura hostium in agro
Filios meos inimicis contumelia-afficiendos:
Sed ut dolo filiam regis interficiam.
Mittam enim eos, habentes dona in manibus,
Et ferentes sponsæ, nè pellantur ex hâc terrâ,
Tenuem vestem, & cirrum auro textum, *vel,*
coronam auream. [pori,
Ea si acceptum ornamentum circundederit cor-
Miserè peribit, & omnis qui attigerit puellam:
Hujusmodi pharmacis perungam dona.
Hîc autem finio hunc sermonem.
Ingemisco autem, quale facinus est faciendum
Deinde nobis. Interficiam enim liberos
Meos; nemo est qui possit eos eripere:
Do-

ΣΧΟΛΙΑ.

σασι τὰ βεβουλευμένα καίπερ ἀηδῆ ὄντα. αἰτήσομαι δέ φησιν αὐτὸν τοὺς παῖδας ἐάσαι ἐνταῦθα μεῖναι, καὶ αὐτούς. φησι συγκατακτενῶ. ἀλλ' ἵνα πρότερον διακονήσωσί μοι πρὸς τὸν τῆς Γλαύκης θάνατον. 785. Τήνδε μὴ φυγεῖν χθόνα) γράφεται δῆθεν δὴ, ἵν' ἡ ἀντὶ τοῦ ὡς δή. ἐνταῦθα μέντοι μέχρι τούτου ἀποπερματίζω σοι, καὶ ἵστημι τὸν λόγον σιωπῶντα.

Δόμον τε πάντα συγχέασ' Ἰάσονος,
Ἔξειμι γαίας, φιλτάτων παίδων φόνον
Φεύγουσα, καὶ τλᾶσ' ἔργον ἀνοσιώτατον.
« Οὐ γὰρ γελᾶσθαι τλητὸν ἐξ ἐχθρῶν, φίλαι.
Ἴτω· τί μοι ζῆν κέρδος; οὔτ' ἐμοὶ πατρὶς,
Οὔτ' οἶκός ἐστιν, οὔτ' ἀποστροφὴ κακῶν.
Ἡμάρτανον τόθ', ἡνίκ' ἐξελίμπανον
Δόμους πατρῴους, ἀνδρὸς Ἕλληνος λόγοις
Πεισθεῖσ', ὃς ἡμῖν σὺν θεῷ τίσει δίκην.
Οὔτ' ἐξ ἐμοῦ γὰρ παῖδας ὄψεταί ποτε
Ζῶντας τὸ λοιπὸν, οὔτε τῆς νεοζύγου
Νύμφης τεκνώσει παῖδ'· ἐπεὶ κακῶς κακὴν
Θανεῖν σφ' ἀνάγκη τοῖς ἐμοῖσι φαρμάκοις.
Μηδείς με φαύλην κἀσθενῆ νομιζέτω,
Μηδ' ἡσυχαίαν· ἀλλὰ θατέρου τρόπου,
« Βαρεῖαν ἐχθροῖς, καὶ φίλοισιν εὐμενῆ.
« Τῶν γὰρ τοιούτων εὐκλεέστατος βίος.
Χο. Ἐπείπερ ἡμῖν τόνδ' ἐκοίνωσας λόγον,
Σέ τ' ὠφελεῖν θέλουσα, καὶ νόμοις βροτῶν
Ξυλλαμβάνουσα, δρᾶν σ' ἀπεννέπω τάδε.
Μή. Οὐκ ἔστιν ἄλλως· σοὶ δὲ συγγνώμη λέγειν
Τάδ' ἐστὶ, μὴ πάσχουσαν, ὡς ἐγὼ, κακῶς.
Χο. Ἀλλὰ κτανεῖν σὸν σπέρμα τολμήσεις, γύναι;
Μή. Οὕτω γὰρ ἂν μάλιστα δηχθείη πόσις.
Χο. Σὺ δ' ἂν γένοιό γ' ἀθλιωτάτη γυνή.
Μή. Ἴτω· περισσοὶ πάντες οἱ 'ν μέσῳ λόγοι.
Ἀλλ' εἶα, χώρει, καὶ κόμιζ' Ἰάσονα·

Εἰς

ΣΧΟΛΙΑ.

811. Ἐπείπερ ἡμῖν) τὸ ἑξῆς, ἐπείπερ ἡμῖν τόνδ' ἐκοίνωσας λόγον, δρᾶν σ' ἀπεν-

Domúmque totam Jasonis ubi miscuero *luctu*,
Exibo ex hâc terrâ, necem carissimorum liberorum
Fugiens, & ausa facinus impiissimum.
Non enim ferendum *est*, rideri hostibus, ô amicæ.
Actum sit: quid me juvat vivere? neque mihi patria
Est, neque domus, nec *ullum* effugium malorum.
Peccavi tunc, quando reliqui
Domum paternam, verbis viri Græci
Persuasa: qui mihi pœnas dabit, Deo volente.
Nam nunquam liberos, quos ex me sustulit,
Deinceps vivos: neque ex novâ [videbit
Sponsâ gignet liberos; quia malam malè
Perire ipsam necesse est meis pharmacis.
Nemo me ignavam & imbecillem existimet,
Neque tranquillam: sed alterius ingenii,
Gravem inimicis, & benignam amicis.
Hujusmodi enim *hominum* vita *est* gloriosissima.

Ch. Quandoquidem nobiscum communicasti hunc sermonem,
Tibíque prodesse volens, & leges hominum
Tueri, dehortor te ab his faciendis. [quod dicas

Med. Non erit alitèr: tibi verò venia danda est,
Ista, quæ non ea mala pateris, quæ ego.

Ch. An igitur audebis tuos liberos occidere, mulier?

Med. Sic enim maximè cruciabitur maritus.

Ch. Tu verò eris miserrima mulier.

Med. Esto. Superflui *sunt* omnes qui *feruntur* in medium sermones.
Sed age vade, & adducito Jasonem:

Ad

ΣΧΟΛΙΑ.

· ἀπεννέπω τάδε. ἀπεννέπω δὲ καὶ σὲ ὠφελοῦσα, καὶ τοῖς νόμοις βοηθοῦσα.

823. Εἶα

Εἰς πάντα γὰρ δή σοι τὰ πιστὰ λεγώμεθα.
Λέξεις δὲ μηδὲν τῶν ἐμοὶ δεδογμένων,
Εἴπερ φρονεῖς εὖ δεσπόταις, γυνή τ' ἔφυς.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α'.

Χο. Ἐρεχθεΐδαι τὸ παλαιὸν ὄλβιοι,
Καὶ θεῶν παῖδες μακάρων,
Ἱερᾶς χώρας, ἀπορθήτου
Τ' ἄπο, φερβόμενοι
Κλεινοτάταν σοφίαν,
Αἰεὶ διὰ λαμπροτάτου
Βαίνοντες ἁβρῶς αἰθέρος·
Ἔνθά ποθ' ἁγνὰς

Ἐννέα

ΣΧΟΛΙΑ.

823. Εἴπερ φρονεῖς γ' εὖ δεσπόταις) δεσποίνας ἑαυτῆς λέγει, οὐχ ὡς θεραπαινῶν οὐσῶν τῶν ἀπὸ τοῦ χοροῦ, ὅπου κατ' ἀρχὴν τοῦ λόγου φίλας αὐτὰς ὀνομάζει. ἀλλὰ τὸ δεσπόταις, ἀντὶ τοῦ τοῖς ἄρχουσι καὶ τοῖς κρατοῦσι· τὸ δὲ πληθυντικὸν ἀντὶ τοῦ ἑνικοῦ. μέλλει γὰρ εἰπεῖν, ἐμοὶ τῇ κρατούσῃ· καὶ γὰρ βασιλέως θυγάτηρ ἦν, καὶ γυνὴ βασιλέως τοῦ Ἰάσονος, καὶ σώζει τὸ εὐγενὲς φρόνημα· μὴ τοίνυν θαυμάζωμεν, εἰ Κορίνθιαι οὖσαι δέον τῷ τοῦ Κρέοντος μέρει προσθέσθαι, ταύτην αἱροῦνται συγκρύπτειν. ἐλεύθεραι γὰρ οὖσαι τὸ παρεστώμενον αὐτῇ δίκαιον προτιμῶσιν. ἔπειτα καὶ ἀεὶ ὁ χορὸς ἐν προσώπῳ τοῦ ποιητοῦ εἰσάγεται τῷ δικαίῳ προστιθέμενος. 824. Ἐρεχθεΐδαι τὸ παλαιὸν) μακαρίζει αὐτοὺς Ἀθηναίους, ὡς εὐδαίμονας, καὶ σοφίᾳ πάσῃ ἐπιστημένας, ἱερούς τε καὶ μύστας. ὅτι μέλλει τὰ κατὰ τὴν Μήδειαν ἐπάγειν μιάσματα. τῇ γὰρ παραθέσει βούλεται αὐτὴν ἀποτρέψασθαι τοῦ κατὰ τῶν παίδων φόνου. οὕτω γὰρ ἐν τοῖς ἑξῆς ἐπάγει, ὅτι οὐκ εἰκὸς τοὺς οὕτως ἱεροὺς καὶ σοφοὺς ἄνδρας, σὲ μιαιφόνον γενομένην ὑποδέξεσθαι. Ἐρεχθεΐδαι) ἱκανὸν ἐγκώμιον ὁ χορὸς παρέβαλε, τοὺς Ἀθηναίους δικαίους καὶ θεοσεβεῖς ἀποκαλῶν, ἀποτρέπων τῆς πράξεως τὴν Μήδειαν. καὶ οὐκ ἂν οἱ τοιοῦτοι τὴν τοιαύτην δέξαιντο. 826. Χώρας ἀπορθήτου) ἡ σύνταξις, ἀπὸ ἀπορθήτου χώρας.

ἀπὸ

Ad omnia enim fidelia te utimur.
Nihil autem dices eorum quæ decrevi,
Si modò benè vis dominæ, & es mulier.

ANTISTROPHICA.

Strophe 1.

Ch. O Erechthidæ quondam beati,
Et deorum filii beatorum,
Sacrâ terrâ invictâque *oriundi* indigenæ,
Qui depascitis
Nobilissimam sapientiam,
Semper per lucidissimum
Ætherem jucundè ambulantes:
Ubi aliquando castas

No-

ΣΧΟΛΙΑ.

ἀπόρθητον δὲ αὐτὴν εἶπεν, διὰ τὰς θρυλλουμένας πολλὰς νίκας αὐτῶν· αὐτοὶ γὰρ ἀπόρθητοι καὶ ἀήττητοι διετέλεσαν. τὸ δὲ φερβόμενοι σοφίαν ἀντὶ τοῦ προσλαμβάνοντες, καὶ παιδευόμενοι πᾶσαν σοφίαν. οὕτω δὲ εἶπεν, ὡς ἀναγκαίας αὐτοῖς οὔσης τῆς παιδεύσεως, καθάπερ ἄλλης τροφῆς. 831. Ἔνθα ποθ' ἁγνὰς) ὅπου λέγεται ὑπὸ τῶν Μουσῶν τὴν ἐν μουσικῇ ἁρμονίαν γεγενῆσθαι. παρόσον οἱ σοφίας ἐντὸς, καθαρώτεροι τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς τὰ θεῖα φαντάζονται, μονονουχὶ καὶ θεοῖς αὐτοῖς ὁμιλεῖν πιστευόμενοι. ἢ ὡς τοῦ παρ' αὐτοῖς ἀέρος φύσιν ἔχοντος φέρειν ἀεὶ σοφοὺς ἄνδρας, τουτέστιν ἀεὶ βιοτεύειν τῇ παιδεύσει ἁπαλῶς καὶ εὐμαρῶς ταύτην μεταχειριζόμενοι, ἅτε δὲ τοῦ παρ' αὐτοῖς ἀέρος εἰς τοῦτο πεφυκότος. ἵνα τὸ μὲν βαίνοντες ἀντὶ τοῦ βιοτεύοντες, τὸ δὲ αἰθέρος ἀντὶ τοῦ ἀέρος ἐνδεξώμεθα. ἔνιοι δὲ λέγουσιν Εὐριπίδην τὰς Μούσας λέγειν Ἁρμονίας θυγατέρας, ἀγνοήσαντες. οὐ γὰρ τοῦτο λέγει· ἀλλ' ὅτι αἱ Μοῦσαι πρῶτον ἐς τὴν Ἀττικὴν ἐλθοῦσαι ἁρμονίαν ᾖδον, καὶ τὴν μελῳδίαν. διὰ γὰρ τοῦ φυτεῦσαι τοῦτο παρίστησι νῦν. περὶ δὲ τοῦ τὰς Μούσας ἐν τῇ Ἀττικῇ ἱδρῦσθαι, ἀρκεῖ τὰ Παλαιφάτου. ὁ δὲ λόγος ἔνθα φησὶν, ἐν ταῖς Ἀθήναις λέγονται αἱ Μοῦσαι γεννῆσαι, καὶ καταστήσασθαι πάσης σοφίας ἁρμονίαν. λέγει δὲ τὴν παίδευσιν, παρὰ τὸ ἁρμόζεσθαι καὶ ἑνοῦσθαι τῇ ψυχῇ ταύτην. ἢ ὅτι συγκεχυμένας ψυχὰς αὐτὴ ἐπεισελθοῦσα εἰς ἁρμονίαν καὶ εὐστάθειαν ἀσφαλῆ, σωφρονεῖν παρέχεται.

835. Τῶ

Ἐννέα Πιερίδας
Λέγουσι Μούσας
Ξανθὰν Ἁρμονίαν φυτεῦσαι.

'Αντιστροφὴ ά.

Καλλινάου τ' ἐπὶ Κηφισοῦ ῥοαῖς
Τὰν Κύπριν κληΐζουσιν ἀφυ-
σαμέναν χώραν καταπνεῦσαι
Μετρίας ἀνέμων
Ἡδυπνόους αὔρας.
Αἰεὶ δ' ἐπιβαλλομέναν
Χαίταισιν εὐώδη ῥοδέ-
ων πλόκον ἀνθέων,
Τᾷ σοφίᾳ παρέδρους
Πέμπειν ἔρωτας,
Παντοίας ἀρετᾶς ξυνεργούς.

Στροφὴ β'.

Πῶς οὖν ἱερῶν ποταμῶν
Ἢ πόλις, ἢ φίλων
Πόμπιμόν σε χώρα
Τὰν παιδολέτειραν ἕξει,

Τὰν

ΣΧΟΛΙΑ.

835. Τοῦ καλλινάου) νῦν τοῦ ἐν Ἀττικῇ μνημονεύει. ἔστι γὰρ καὶ ἕτερος ὁμώνυμος ἐν Βοιωτίᾳ. εἰσὶ δὲ καὶ ἕτεροι, καθά φησι Πολέμων ἐν τῷ περὶ ποταμῶν, γράφων οὕτως· ἐν Ἀθήνησί τε Κηφισὸς, καὶ ἐν Σικυῶνι, καὶ ἐν Ἄργει. 836. Κληΐζουσιν) κατὰ κοινοῦ τὸ κληΐζουσι, τουτέστι λέγουσι δὲ τὴν Ἀφροδίτην καὶ ἀνέμους ἐνταῦθα πνεῖν, παρατιθέναι δὲ τοῖς ἑαυτῆς πλοκάμοις πολύν τινα κόσμον, καὶ οὕτως δὴ ἐγκοσμίαν ἑαυτὴν παρασκευάσασαν ἐξαποστέλλειν τοὺς ἐπὶ πᾶσαν σοφίαν ὁδηγοὺς, ἔρωτας. ἐμφαίνει δὲ διὰ τούτων, ὡς ἐρωτικῶς ἔχοντες πρὸς πᾶσαν σοφίαν οἱ Ἀθηναῖοι, εἰκότως τὸ κατὰ πάντων ἔχουσι τῆς παιδεύσεως στέφανον, οἷον ὡς εἰ ἔλεγεν, τοὺς δὲ ἔρωτας ἔχοντες πρὸς πᾶσαν σοφίαν προστίθησι

τὰς

Novem Pierides
Musas dicunt
Plantâsse flavam Harmoniam.

Antistrophe 1.

Pulchrifluíque ad Cephisi fluenta
Venerem ferunt *ex Cephiso* exhaurientem regionem perflasse,
Mediocres ventorum
Dulce spirantes auras.
Semper autem injicientem
Comis fragrans roseorum sertum florum,
Sapientiæ assessores
Mittere amores,
Variæ virtutis adjutores.

Strophe 2.

Quomodo igitur sacrorum fluviorum
Aut urbs, aut amicorum
Regio te *ad se* deductam,
Interfectricem *tuorum* liberorum recipiet,

Non

ΣΧΟΛΙΑ.

τὸν πολυανθῆ τῆς παιδεύσεως στέφανον, μόνον πιστευόμενοι πάντας νικᾷν τῇ παιδεύσει. ἀεὶ γὰρ λέγουσι τὴν Ἀφροδίτην στεφανοῦσαν τούτους εὐώδει ῥοδέῳ πλόκῳ πέμπειν αὐτοὺς τῇ σοφίᾳ παρέδρους. 843. Παρέδρους) συνοίκους, παρόσον οὐκ ἐκτός εἰσιν ἔρωτος, οἱ περὶ σοφίαν καὶ πᾶσαν ἀρετὴν διακείμενοι. 846. Πῶς οὖν ἱερῶν) ἡ μεταξὺ τῶν ἱερῶν κειμένη ποταμῶν. τῷ προτέρῳ δὲ διαζευκτικῷ συνδέσμῳ τῷ ἢ, τὸ ἡ ἄρθρον ἔξωθεν προσδεκτέον, τουτέστιν ἢ ἡ πόλις, ἢ ἡ χώρα. ὁ δὲ νοῦς· πῶς ἂν οὖν σε δέξαιτο ἡ πόλις αὕτη, ἡ ἱεροὺς ἔχουσα ποταμοὺς, ἢ καθαροὺς παντὸς μολύσματος, ἢ ἡ τῶν κατ' αὐτὴν ἀνδρῶν προσφιλεστάτη ἡμῖν πόλις, παιδοκτόνον γενομένην καὶ ἀνοσίαν τῷ κατὰ τῶν φιλτάτων φόνῳ. 847. Ἢ φίλων) ἀντὶ τοῦ προσφιλεστάτων καὶ φιλοξενωτάτων. οὐκ ἐκεῖ δὲ τοῦτο, ἀλλ' ἵνα ἐνδείξηται πρὸς ἀποτροπὴν καὶ ὑπερβάλλουσαν ἀνοσιότητα τοῦ φόνου, ὡς καίπερ φιλόξενοι πεφυκότες πρὸς σὲ τοιαύτην γενομένην ἀξενώτατοι γενήσονται. 848. Πόμπιμος) ἤγουν τὴν ἐκπεμφθεῖσαν ἐπιδεχομένη, οὐκ αὐτὴ πόμπιμος οὖσα.

Τὰν οὐχ ὁσίαν; μετ' ἄλλων
Σκέψαι τεκέων πλαγάν,
Σκέψαι φόνον οἷον αἴρῃ.
Μὴ (πρὸς γονάτων σε πάντες
Πάντως ἱκετεύομεν)
Μὴ τέκνα φονεύσῃς.

Ἀντιστροφὴ β'.

Πῶς δὲ θράσος ἢ φρενὸς, ἢ
Χειρὶ τέκνων σέθεν,
Καρδίᾳ τε λήψῃ,
Δεινὰν προσάγουσα τόλμαν;
Πῶς δ' ὄμματα προσβαλοῦσα
Τέκνοις, ἄδακρυν μοῖραν
Σχήσεις; φόνου οὐ δυνήσῃ,
Παίδων ἱκετᾶν πιτνόντων,
Τέγξαι χέρα φοίνιον
Ἐν τλάμονι θυμῷ.

IA-

ΣΧΟΛΙΑ.

851. Πλαγὰν) τὴν πληγήν φησι τῶν τέκνων, καὶ τὸν φόνον, μὴ προπετῶς δράσῃς· ἀλλὰ πρότερον μεθ' ἡμῶν ἢ ἄλλων τινῶν σκέψαι εἰ τοῦτο δρᾶσαι σ' ἐχρῆν. 856. Πόθεν θράσος) τίνι λογισμῷ χρησαμένη, τουτέστι τίς σε ὁ τῶν πάντων πείσας τοσοῦτον θράσος, ἐνθεῖναι τῇ σαυτῆς ψυχῇ, ἢ τῇ δεξιᾷ

Non puram *nec piam mulierem?* cum aliis (*i. e.* nobiscum)
Considera liberorum plagam *cædémque*,
Considera cædem, quam *faciendam* suscipis.
Nè, (per genua te omnes
Supplices vehementèr oramus)
Nè *tuos* liberos interficias.

Antistrophe 2.

Quomodo verò confidentiam aut *in* mente aut
Manu, de tuis liberis,
Et animo sumes,
Immanem admovens audaciam?
Quomodo etiam oculis conjectis
In filios, lacrymarum expertem sortem
Continebis? *in* cæde non poteris,
Liberis supplicibus cadentibus,
Madefacere manum cæde cruentam
In misero animo.

JA-

ΣΧΟΛΙΑ.

δεξιᾷ ὁπλιζομένῃ κατὰ τῶν φιλτάτων παίδων παρασκευάσαι. 858. Καρδίᾳ τε λήψῃ) ἀντὶ τοῦ κατὰ τὴν σαυτῆς καρδίαν καὶ τὸν λογισμὸν ἀναλήψῃ. 862. Σχήσεις) παύσεις. 864. Τέγξαι χεῖρα φονίᾳ) τὸ ἑξῆς φονίαν. εὖ οἶδα φησὶ, ὅτι οὐ καρτερήσεις τῇ ἐργασίᾳ τοῦ φόνου, τέγξαι, μολῦναι τὴν χεῖρα αἵματι τῶν παίδων γονυπετούντων σε.

866. Ἦκα

ΙΑΣΩΝ, ΜΗΔΕΙΑ, ΧΟΡΟΣ, ΠΑΙΔΑΓΩΓΟΣ.

Ἰαμβοί.

Ἰα. Ἥκω κελευσθείς· καὶ γὰρ οὖσα δυσμενὴς,
Οὐκ ἄν γ' ἁμάρτοις τοῦδέ γ', ἀλλ' ἀκούσομαι,
Τί χρῆμα βούλῃ καινὸν ἐξ ἐμοῦ, γύναι.
Μή. Ἴασον, αἰτοῦμαί σε τῶν εἰρημένων
Συγγνώμον' εἶναι· τὰς δ' ἐμὰς ὀργὰς φέρειν
Εἰκός γ', ἐπεὶ νῷν πόλλ' ὑπείργασται φίλα.
Ἐγὼ δ' ἐμαυτῇ διὰ λόγων ἀφικόμην,
Κἀλοιδόρησα· σχετλία, τί μαίνομαι,
Καὶ δυσμεναίνω τοῖσι βουλεύουσιν εὖ,
Ἐχθρὰ δὲ γαίας κοιράνοις καθίσταμαι,
Πόσει θ', ὃς ἡμῖν δρᾷ τὰ συμφορώτατα,
Γήμας τύραννον, καὶ κασιγνήτους τέκνοις
Ἐμοῖς φυτεύων; οὐκ ἀπαλλαχθήσομαι
Θυμοῦ; τί πάσχω, θεῶν ποριζόντων καλῶς;
Οὐκ εἰσὶ μέν μοι παῖδες; οἶδα δὲ χθόνα
Φεύγοντας ἡμᾶς, καὶ σπανίζοντας φίλων.
Ταῦτ' ἐννοηθεῖσ', ᾐσθόμην ἀβουλίαν
Πολλὴν ἔχουσα, καὶ μάτην θυμουμένη.

Νῦν

ΣΧΟΛΙΑ.

866. Ἥκω κελευσθεὶς) ἥκω φησὶν ἀπὸ σοῦ κελευσθείς. καὶ γὰρ οἶδα δυσμενῆ σε, ὅμως τούτου οὐκ ἂν ἁμάρτοις τοῦ ἐμὲ ἐλθεῖν. ἰδοὺ φησὶν καὶ ὡς δυσμενῶς ἔχουσα πρὸς ἐμὲ τυγχάνεις τῆς ἐμῆς παρουσίας, σοῦ κελευούσης οὐκ ἠπείθησα. 870. Τάσδ' ἐμὰς ὀργὰς φέρειν) αἰτοῦμαι φησὶ ἃς πεποίημαι πρὸς σὲ μετ' ὀργῆς ὕβρεις, ῥᾳδίως φέρειν, μὴ μνησικακεῖν ὑπομι-

μνη-

JASON, MEDÆA, CHORUS, PÆDAGOGUS.

Ja. VEnio vocatus: etenim quamvis *mihi* sis infensa,
Tamen non frustraberis hâc re; sed audiam
Quid rei velis novæ ex me, Mulier.
Med. Jason, rogo te, ut *ea mihi*, quæ dicta sunt,
Condones: meas enim iras *te* ferre
Æquum certè *est*, quia inter nos multa præstita sunt amica *beneficia*.
Ego enim mecum ipsâ rationem inii,
Et conviciata sum *mihi*: misera, quid insanio?
Et irascor illis, qui *rebus meis* benè consulunt,
Inimica verò terræ *hujus* dominis fio,
Et marito, qui parat nobis utilissima,
Ducens *puellam* principem, & fratres liberis
Meis gignens? annon *tandem* missam faciam
Iram? quid doleo, diis vertentibus bene?
Nónne sunt mihi liberi? scio autem è terrâ *Thessalicâ*
Exules nos *(ob Peliæ cædem)* & egenos *nupèr* amicorum.
His animo agitatis, agnovi imprudentiam
Magnam *me* habere, & frustrà iratam esse.

Nunc

ΣΧΟΛΙΑ.

μνησκομένη τῆς πρότερον ἡμῶν φιλίας, καὶ ὧν ἐπράξαμεν πρὸς ἀλλήλους εὐεργεσιῶν. 880. Οὐκ εἰσὶ μέν μοι) ταῦτα φησὶ πρὸς ἐμαυτὴν διείλεγμαι. ὦ Ἴασον, ὅτι παῖδας ἔχω τοὺς ἐκ σοῦ, καὶ οὐ δεῖ με λυπεῖσθαι τῷ νυνὶ γάμῳ. εἶθ' ὅτι καὶ φυγάδες ἐσμὲν ἐκβεβλημένοι τῆς Θεσσαλίας. καὶ διὰ τοῦτό μοι δεήσει τὴν ἐνταῦθα διατριβὴν ἀσπάζεσθαι, ἔρημοι οὖσαι φίλων, ἐγὼ ἐμαυτῇ διὰ λόγων ἐπετίμησα. ὑπεκρίνετο δὲ νῦν, καὶ μετ' εἰρωνείας ταῦτα λέγει.

892. Πα

Νῦν οὖν ἐπαινῶ· σωφρονεῖν τ' ἐμοὶ δοκεῖς,
Κῆδος τόδ' ἡμῖν προσλαβών· ἐγὼ δ' ἄφρων,
Ἣ χρῆν μετεῖναι τῶνδε τῶν βουλευμάτων,
Καὶ ξυμπεραίνειν καὶ παρεστάναι λέχει,
Νύμφην τε κηδεύουσαν ἥδεσθαι σέθεν.
" Ἀλλ' ἐσμὲν, οἷόν ἐσμεν, οὐκ ἐρῶ κακὸν,
" Γυναῖκες· οὔκουν χρῆν σ' ὁμοιοῦσθαι κακοῖς,
" Οὐδ' ἀντιτείνειν νήπι' ἀντὶ νηπίων.
Παριέμεσθα, καὶ φαμὲν κακῶς φρονεῖν
Τότ'· ἀλλ' ἄμεινον νῦν βεβούλευμαι τάδε.
Ὦ τέκνα, τέκνα, δεῦτε, λείπετε στέγας,
Ἐξέλθετ', ἀσπάσασθε καὶ προσείπατε
Πατέρα μεθ' ἡμῶν, καὶ διαλλάχθηθ' ἅμα
Τῆς πρόσθεν ἔχθρας εἰς φίλους μητρὸς μέτα·
Σπονδαὶ γὰρ ἡμῖν, καὶ μεθέστηκεν χόλος.
Λάβεσθε χειρὸς δεξιᾶς. οἴμοι κακῶν·
Ὡς ἐννοοῦμαι δή τι τῶν κεκρυμμένων.
Ἆρ', ὦ τέκν', οὕτω καὶ πολὺν ζῶντες χρόνον,
Φίλην ὀρέξετ' ὠλένην; τάλαιν' ἐγώ,
Ὡς ἀρτίδακρύς εἰμι, καὶ φόβου πλέα·

Χρόνῳ

ΣΧΟΛΙΑ.

892. Παριέμεσθα) παυόμεθα, παραπεμπόμεθα· οἷον παρῃτήμεθα, συγχωρῶ. 899. Οἴμοι κακῶν) τοῦτο ἠρέμα καὶ καθ' ἑαυτὴν, ὡς ἐννοοῦσα τὴν ἀπήνειαν τοῦ φόνου. φεῦ μοι φησὶ τῶν κακῶν, ὡς ἀλγῶ τὴν ψυχὴν, ἐννοοῦσα τὸ κεκρυμμένον ἐν τῇ ἐμῇ ψυχῇ κακὸν, ὅπου γε περιαλγεῖ τὴν ἐμὴν ψυχὴν τὸ πάθος· ἀλλὰ διὰ τὸ προτεθυμεῖσθαι ἀμύνασθαι τὸν Ἰάσονα. δύναται δὲ καὶ εἰς ἐπήκοον τοῦ Ἰάσονος λεγόμενον πρὸς τοῦτον, ὅτι ἀγωνιῶ καὶ πάνυ τεθορύβημαι. ἐκεῖνο ἐνθυμουμένη τῶν κεκρυμμένων καὶ ἀδήλων ἀνθρώποις πραγμάτων, εἰ ζήσονται ἤτοι σὺν ἡμῖν πολὺν χρόνον, ὡς ἕτερον μὲν αὐτὴν νοεῖν, ὅπερ ἔμελλε δρᾶν, ἑτέρως δὲ ἐνδέχεσθαι τὸν Ἰάσονα, ὅτι ἄρα ἄδηλα τὰ καὶ ἀνθρώπους

κεκρυμ-

Nunc igitur laudo *te*, ſaperéque mihi videris,
Qui aſſumpſeris nobis hanc affinitatem: égo verò ſtulta,
Quam oportebat participem horum conſiliorum,
Et ſimul perficere, & aſtare lecto,
Et gaudere, quòd ſponſa te curet.
“ Sed ſumus, quale ſumus, non dicam malum,
“ Mulieres: non igitur oportet te imitari malos *mores noſtros*,
“ Neque ſtulta ſtultis obtendere.
Concedimus, & dicimus *nos* malè ſenſiſſe
Tunc; ſed nunc melius hæc conſideravi.
O liberi, liberi, venite huc, relinquite tecta,
Exite, ſalutate, & compellate
Patrem nobiſcum, & reconciliamini ſimul
Ex priori odio *ſuſcepto* adverſus amicos, cum matre:
Fœdus enim *eſt* nobis, & *omnis* receſſit ira.
Prehendite manum dextram. Hei mihi *propter* mala,
Dum cogito aliquid occultorum *facinorum!*
An igitur, ô filii, ſic & longum viventes tempus,
Caram præbebitis manum? Miſera ego,
Ut prona ad lacrymas ſum & metus plena:
Serò

ΣΧΟΛΙΑ.

κεκρυμμένα. 900. Ὡς ἐννοοῦμαι) οὐκ ἀναγκαῖον ἦν ταῦτα λέγειν, φαντασίαν γὰρ παρέχει τῷ Ἰάσονι ὡς κατατεχνῶσα. ἀλλ' ἕνεκα τῶν κοινῶν ἀνθρώπων τὰ τοιαῦτα παρεγχωρεῖ λέγειν. 901. Ἆρ' ὦ τέκν' οὕτω καὶ πολὺν ζῶντες χρόνον) καὶ τοῦτο κατὰ διπλῆν ἔννοιαν, ἣν ὁ Ἰάσων ὑπολαμβάνει οὐκ ὑγιῶς, καὶ ἣν αὐτὴ κρύπτει ἀληθεύουσα. 903. Ὡς ἀρτίδακρυς) ἀντὶ τοῦ προσφάτως δακρύουσα. χρὴ δὲ νοεῖν, ὅτι ἐδάκρυσε μὲν ἀλγοῦσα τὴν ψυχὴν, ὅτι πρὸς τοῦτο τῆς τύχης κατήντησε, καὶ νῦν ἀναγκάζεται δρᾶν· ὁ δὲ Ἰάσων ᾤετο αὐτὴν δακρύειν, οἰκτείρουσαν τὰ παιδία ἐπὶ τῷ τοῦ πατρὸς ἐστερῆσθαι.

904. Χρόνῳ

Χρόνῳ δὲ νεῖκος πατρὸς ἐξαιρουμένη,
Ὄψιν τερείνην τήνδ' ἔπλησα δακρύων.
Χο. Κἀμοὶ κατ' ὄσσων χλωρὸν ὡρμήθη δάκρυ.
Καὶ μὴ προβαίη μεῖζον, ἢ τὸ νῦν, κακόν.
Ιά. Αἰνῶ, γυναι, τάδ'· οὐδ' ἐκεῖνα μέμφομαι·
« Εἰκὸς γὰρ ὀργὰς θῆλυ ποιεῖσθαι γένος
« Γάμους παρεμπολῶντι γ' ἀλλοίους πόσει.
Ἀλλ' εἰς τὸ λῷον σὸν μεθέστηκεν κέαρ.
Ἔγνως δὲ τὴν νικῶσαν, ἀλλὰ τῷ χρόνῳ,
« Βουλήν. γυναικὸς ἔργα ταῦτα σώφρονος.
Ὑμῖν δὲ, παῖδες, οὐκ ἀφροντίστως πατὴρ
Πολλὴν ἔθηκε σὺν θεοῖς σωτηρίαν.
Οἶμαι γὰρ ὑμᾶς τῆσδε γῆς Κορινθίας
Τὰ πρῶτ' ἔσεσθαι σὺν κασιγνήτοις ἔτι.
Ἀλλ' αὐξάνεσθε· τἄλλα δ' ἐξεργάζεται
Πατήρ τε, καὶ θεῶν ὅστις ἐστὶν εὐμενής.
Ἴδοιμι δ' ὑμᾶς εὐτραφεῖς ἥβης τέλος
Μολόντας, ἐχθρῶν τῶν ἐμῶν ὑπερτέρους.
Αὕτη, τί χλωροῖς δακρύοις τέγγεις κόρας,
Στρέ-

ΣΧΟΛΙΑ.

904. Χρόνῳ δὲ νεῖκος) διὰ πολλοῦ φησὶ χρόνου τὴν πρὸς τὸν πατέρα ὑμῶν φιλονεικίας ἀποστᾶσα, καὶ νῦν διαλλασσομένη, πλήρεις γέγονα δακρύων. 910. Παρεμπολῶντι) πιθανῶς κέχρηται τῇ τραγικῇ λέξει, ἐμφαίνων αὐτὸν κέρδους ἕνεκα καὶ τοῦ τοὺς ἐκ Μηδείας παῖδας ὠφελῆσαι, τοῦτον ὡς πραγματευσάμενον ἑαυτῷ τὸν γάμον. τὸ γὰρ παρεμπολᾷν ἀντὶ τοῦ κερδαίνειν τίθεται, οἷον ἄλλοις γάμοις χρωμένῳ παρὰ τοὺς ὑπάρχοντας. ἢ τὸ πόσει ἀντὶ τοῦ πόσιος, δοτικὴ ἀντὶ γενικῆς. παρεμπολοῦντος δὲ, ἀντὶ τοῦ ὠνουμένου. πέφυκε γάρ φησιν τὸ θῆλυ γένος δυσμενῶς ἔχειν τῷ ἀνδρὶ, ἑτέραν ὥσπερ εἰπεῖν ἐμπορευομένῳ καὶ προσποιουμένῳ γάμον ἑαυτῷ. οἷον ἄλλοις χρωμένῳ γάμοις παρὰ τοὺς ὑπάρχοντας. ἰδίως οὖν εἴη πόσει ἀντὶ τοῦ πόσιος. οἱ δὲ ὑποκεῖται ἀγνοήσαντες γράφουσιν, ἀντὶ τοῦ πόσει ἐμοὶ, ὅπερ οὐ δεῖ. 912. Ἀλλὰ τῷ χρόνῳ βουλὴν) ἀλλὰ νῦν ὥσπερ ἐκ μεταvoίας

Serò enim Contentionem, quam cum Patre habui, abjiciens,
Implevi teneram hanc faciem lacrymis.
Cho. Et mihi ex oculis recentes eruperunt lacrymæ.
Atque utinam non evadat majus malum, quàm nunc *est!*
Ja. Probo hæc, mulier; neque illa *præterita* queror:
" Verisimile enim est, *nec mirum*, irasci fœmineum genus
" Marito nuptias alienas mercanti *sibique comparanti.*
At in melius tuum mutatum est cor.
Agnovisti verò *meliorem atq;* victricem, sed serò,
" Sententiam. hæc *sunt* facta mulieris sapientis.
Vobis verò, liberi, non inconsultè pater
Comparavit multam salutem cum diis, *i.e. deorum favore.*
Existimo enim vos hujus terræ Corinthiacæ
Principes fore cum fratribus cæteris ex *Glaucâ suscipiendis.*
Sed crescite: reliqua enim perficiet
Pater, & quisquis deorum faverit *vobis.*
Utinam verò vos videam benè educatos ad finem pubertatis
Pervenire, superiores meis inimicis.
Heus tu, quid rigas pupillas teneris lacrymis,
Aver-

ΣΧΟΛΙΑ.

νοίας τὸ κάλλιστον σαυτῇ βουλεύῃ, τὸ δὲ ἑξῆς. ἔγνως δὲ τῷ χρόνῳ τὴν νικῶσαν βουλήν. ὁ δὲ ἀλλὰ ἀντὶ τοῦ καὶ· τουτέστι καὶ τὴν νικῶσαν βουλὴν ἔγνως τῷ χρόνῳ. λέγει δὲ πεπαῦσθαι αὐτὴν τῆς πρὸς αὐτοῦ ὀργῆς. 917. Τὰ πρῶτ᾽ ἔσεσθαι) τὰ πρωτεῖα ἀπενέγκασθαι καὶ βασιλεύειν Κορίνθου ἅμα τοῖς ἐκ Γλαύκης τεχθησομένοις ὑμῖν ἀδελφοῖς. τὸ δὲ ἔτι κατ᾽ ἐπίτασιν, οἷον ἔτι μᾶλλον ὑμᾶς διαπρέψειν, συναπτομένους βασιλικῷ γένει. ἢ ὅσης ὑμῖν ἀξίας μετῆν ἐξ ἐμοῦ μόνου. 922. Αὕτη, τί χλωροῖς) πάλιν εἰς τὴν αὐτὴν ἔννοιαν ἔδει δὲ αὐτὴν μηδὲ κλαίουσαν εἰσάγεσθαι, οἰκεῖον τῷ προσώπῳ τούτῳ, ἀλλ᾽ ἐκφέρεσθαι τῇ ὀχλικῇ

Στρέψασα λευκὴν ἔμπαλιν παρηΐδα,
Κοὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχῃ λόγον;
Μή. Οὐδὲν, τέκνων δὲ τῶνδ' ἐννοουμένη πέρι.
Ιά. Θάρσει νῦν· εὖ γὰρ τῶνδ' ἐγὼ θήσω πέρι.
Μή. Δράσω τάδ'· οὔτι σοῖς ἀπιστήσω λόγοις.
« Γυνὴ δὲ, θῆλυ, κἀπὶ δακρύοις ἔφυ.
Ιά. Τί δὴ τάλαινα τοῖσδ' ἐπιστένεις τέκνοις;
Μή. Ἔτικτον αὐτούς· ζῆν δ' ὅτ' ἐξηύχου τέκνα,
Εἰσῆλθέ μ' οἶκτος, εἰ γενήσεται τάδε.
Ἀλλ' ὧνπερ οὕνεκ' εἰς ἐμοὺς ἥκεις λόγους,
Τὰ μὲν λέλεκται, τῶνδ' ἐγὼ μνησθήσομαι·
Ἐπεὶ τυράννοις γῆς μ' ἀποστέλλειν δοκεῖ,
Κἀμοὶ τάδ' ἐστὶ λῷστα, (γιγνώσκω καλῶς)
Μήτ' ἐμποδὼν σοι, μήτε κοιράνοις χθονὸς
Ναίειν. δοκῶ γὰρ δυσμενὴς εἶναι δόμοις.
Ἡμεῖς μὲν ἐκ γῆς τῆσδ' ἀπαίρομεν φυγῇ·
Παῖδες δ' ὅπως ἂν ἐκτραφῶσι σῇ χερὶ,
Αἰτοῦ Κρέοντα, τήνδε μὴ φεύγειν χθόνα.
Ιά. Οὐκ οἶδ' ἂν εἰ πείσαιμι· πειρᾶσθαι δὲ χρή.
Μή. Σὺ δ' ἀλλὰ σὴν κέλευσον αἰτεῖσθαι πατρὸς
Γυναῖ-

ΣΧΟΛΙΑ.

ὀχλικῇ φαντασίᾳ, ποίησας κλαίουσαν καὶ συμπάσχουσαν. ἀπιθάνως γὰρ τὴν τοιαύτην διαχειριζομένην τὰ τέκνα, εἰσάγει. ἄμεινον δὲ Ὅμηρος, Ὀφθαλμοὶ δ' ὡσεὶ κέρα ἕστασαν. 925. Οὐδὲν τέκνων τῶνδε) οὐδὲν φησι δακρύω ἕτερον, ἐννοουμένη δὲ πῶς ἕξουσι τύχης οἱ παῖδες ἀναχωρησάσης ἐμοῦ. 928. Γυνὴ δὲ θῆλυ κἀπὶ) ἀσθενὲς φησὶ τὸ γυναικεῖον πέφυκε γένος πρὸς τὰς καταλαμβανούσας συμφορὰς, ὡς ἕτοιμον εἰς δάκρυα. ἔτικτον αὐτούς. σύγγνωθί μοι φησὶ δακρυούσῃ. 930. Ἔτικτον αὐτοὺς) νῦν δὲ, ὅτε ἐθάρσουν τοὺς παῖδας τὸ ἀσφαλὲς ἔχειν τοῦ ζῆν εἰς τοῦτο παρελθόντας ἡλικίας, καὶ τοῦ ἐν βρέφεσιν ἐπισφαλοῦς ἀνατροφῆς ἀπαλλαγέντας, καὶ λοιπὸν ἐσεμνυνόμην παῖδας ἡβῶντας ἔχειν. τότε δὲ ἕτερον ἀγωνιῶ, εἰ τὸ ἀσφα-

Avertens retrò candidas genas, [nem?
Neque libenti animo à me accipis hunc sermo-
Med. Nihil *est causæ*; de liberis hisce cogito.
Ja. Confide verò: ego enim bene curabo hæc.
Med. Faciam hæc; non diffidam tuis verbis, *vel, parebo tuis verbis.*
" Mulier v. est sexus naturâ mollis, & ad lacrymas proclivis. [beros hosce?
Ja. Quid autem tantoperè ingemiscis propter li-
Med. Peperi eos: quando autem precarer vivere liberos *meos*,
Miseratio me subiît, an hoc futurum sit.
Cæterum quorum causâ mecum in colloquium venisti, [tur.
Ea partim quidem dicta sunt, partim verò dicen-
Quandoquidem principibus *hujus* agri me ablegare placet,
Et mihi hæc sunt optima, (cognosco benè)
Ut neque tibi, neque dominis *hujus* agri impedimento sim [liæ:
Habitans *hic*; videor enim inimica esse *tuæ* fami-
Nos quidem ex hoc agro abibimus in exilium.
Ut autem liberi possint educari tuâ manu,
Roga Creontem; nè fugiant hanc terram.
Ja. Haud scio an persuasero: *tamen* oportet tentare.
Med. Tu verò saltem jube petere à patre tuam
Uxorem;

ΣΧΟΛΙΑ.

ἀσφαλὲς αὐτοῖς τῆς σωτηρίας ὑπάρξει, ὑπὸ μητρυιᾶς γινομένοις. τοῦτο γὰρ ἐμφαίνει. 931. Εἰσῆλθέ μ' οἶκτος) ἐν γὰρ τῇ βραχείᾳ ἡλικίᾳ, ἐν πλείονι ἀδείᾳ ζωῆς εἰσὶν οἱ ἄνθρωποι. 935. Κἀμοὶ τάδ' ἐστὶ λῷστα) ἀντὶ τοῦ καλῶς ἔχειν κρίνω. μετὰ γνώμης ὑμῶν σοῦ τε, καὶ τοῦ Κρέοντος, καὶ τῆς τούτου θυγατρὸς οἰκεῖν τὴν Κόρινθον. οὕτως, κἀμοὶ αὐτῇ συναρέσκει. 941. Σὺ δ' ἀλλὰ σὴν) τὸ ἑξῆς. ἀλλὰ τὴν γυναῖκα κέλευσον αἰτήσασθαι τοῦτο παρὰ τοῦ πατρὸς, τὸ τοὺς παῖδας μὴ ἀπελαθῆναι τῆς Κορίνθου.

Γυναῖκα, παῖδας τήνδε μὴ φεύγειν χθόνα.
Ἰά. Μάλιστα, καὶ πείσειν γε δοξάζω σφ᾽ ἐγώ,
« Εἴπερ γυναικῶν ἐστι τῶν ἄλλων μία.
Μή. Συλλήψομαι δὲ τοῦδέ σοι κἀγὼ πόνου.
Πέμψω γὰρ αὐτῇ δῶρ᾽, ἃ καλλιστεύεται
Τῶν νῦν ἐν ἀνθρώποισιν, οἶδ᾽ ἐγώ, πολύ,
Λεπτόν τε πέπλον, καὶ στέφος χρυσήλατον,
Παῖδας φέροντας. ἀλλ᾽ ὅσον τάχος χρεών,
Κόσμον κομίζειν δεῦρο προσπόλων τινά.
Εὐδαιμονήσει δ᾽ οὐχ ἕν, ἀλλὰ μυρία,
Ἀνδρός γ᾽ ἀρίστου σοῦ τυχοῦσ᾽ ὁμευνέτου,
Κεκτημένη τε κόσμον, ὅν ποθ᾽ Ἥλιος
Πατὴρ πατρὸς δίδωσιν ἐκγόνοισιν οἷς.
Λάζυσθε φερνὰς τάσδε, παῖδες, εἰς χέρας,
Καὶ τῇ τυραννῷ μακαρίᾳ νύμφῃ δότε
Φέροντες· οὔτοι δῶρα μεμπτὰ δέξεται.
Ἰά. Τί δ᾽, ὦ ματαία, τῶνδε σὰς κενοῖς χέρας;
Δοκεῖς σπανίζειν δῶμα βασίλειον πέπλων;
Δοκεῖς δὲ χρυσοῦ; σῶζε, μὴ δίδου τάδε.
Εἴπερ γὰρ ἡμᾶς ἀξιοῖ λόγου τινὸς
Γυνή, προθήσει χρημάτων, σάφ᾽ οἶδ᾽ ἐγώ.
Μή. Μή μοι σύ· πείθειν δῶρα καὶ θεοὺς λόγος.
« Χρυ-

ΣΧΟΛΙΑ.

945. Εἴπερ γυναικῶν) ἀντὶ τοῦ φιλάνδρων. οἷον εἴπερ φίλανδρός ἐστι, ταῦτά μοι πεισθήσεται. 947. Ἃ καλλιστεύεται) ἅπερ προτιμᾶται καὶ κάλλιστα νομίζεται τῶν νῦν δώρων παρὰ τοῖς ἀνθρώποις. τὸ δὲ πολὺ πρὸς τὸ καλλιστεύεται. ἢ πολὺ ἀντὶ τοῦ πάνυ. 950. Παῖδας φέροντας) ἀλλ᾽ ὅσον τάχιστα φησὶ δεῖ τινὰ τῶν θεραπόντων τινὰ ἅμα τοῖς παιδίοις ἀποκομίζειν τὰ δῶρα τῇ Γλαύκῃ 955. Πατὴρ πατρὸς δίδωσιν ἐκγόνοισιν οἷς) ἤτοι ἀντὶ τοῦ γονεῦσιν, ἢ τοῖς ἑαυτοῦ μὲν ἐκγόνοις, τουτέστι παισίν, ἵνα τοῦτο λείπῃ. 956. Φερνὰς) φερνὴ ἡ προίξ. λάβετε φησὶ τὴν ἐμὴν

Uxorem; nè *mei* liberi fugiant hanc terram.
Ja. Maxime, & existimo ego me *rem* persuasurum esse ipsi;
" Si modò mulierum est aliarum una.
Med. Ego quoque te adjuvabo in hoc labore:
Nam mittam ei dona, quæ pulchritudine superant *res*
Nunc inter homines *exquisitas*, *probè* novi ego,
Tenuem vestem, & coronam auream, [multò;
Ea ferunt mei filii. Sed quàm celerrimè oportet
Aliquem ex famulis huc afferre ornatum.
Erit autem beata *sponsa tua* non *in* unâ, sed *in* infinitis *rebus*;
Virum optimum te nacta conjugem,
Et possidens ornatum, quem olim Sol
Pater patris *mei* dat suis posteris.
Sumite hæc dona nuptialia, Pueri, in manus;
Et beatæ dominæ sponsæ date
Ferentes: non accipiet contemnenda munera.
Ja. Cur verò, ô demens, his evacuas tuas manus?
Putásne domum regiam carere stolis?
Putásne auro? serva, nè des hæc.
Si enim nos alicujus precii æstimat
Mulier, anteponet *nos* opibus, certò scio ego.
Med. Nè tu mihi *hæc dicas*: muneribus enim vel Deos flecti fama *est*; " Au-

ΣΧΟΛΙΑ.

ἐμὴν φερνὴν, ἣν εἰσενεγκάμην τῷ πατρὶ ὑμῶν, τὴν ἀποκομίζετε τῇ νύμφῃ. 958. Οὔτοι δῶρα) τοῦτο διπλῆν ἔχει τὴν ἔννοιαν, μίαν μὲν, ἣν ὁ Ἰάσων ἐκδέχεται, ὅτι οὐκ ἀποβάλλεται αὐτὴ τὰ δῶρα, ἀλλὰ θαυμαστά· ἑτέραν δὲ, ἣν αὐτὴ κρύπτει, ἀντὶ τοῦ οὐ γελάσει τὸ δῶρον ὡς ἀσθενὲς, ἀναιρήσει γὰρ αὐτήν. 962. Εἴπερ γὰρ ἡμᾶς) εἴπερ φησὶ τι ὅλως πᾶσα γυνὴ ἡμᾶς τοὺς ἄνδρας ἀξιοῖ λόγου τινὸς κρίνειν, προτιμήσει τῶν χρημάτων τὸ πείθεσθαι τῷ ἀνδρί. ὃ ἰδίως νοητέον καὶ ἐπὶ τῆς Γλαύκης, εἴπερ μου τι ὅλως στέργει ἡ γυνὴ, καὶ ἄνευ τοῦ λαβεῖν τὰ δῶρα πεισθήσεται.

« Χρυσὸς δὲ κρείσσων μυρίων λόγων, βροτοῖς.
« Κείνης ὁ δαίμων, κεῖνα νῦν αὔξει θεός.
Νέα τυραννεῖ. τῶν δ' ἐμῶν παίδων φυγὰς
Ψυχῆς ἂν ἀλλαξαίμεθ', οὐ χρυσοῦ μόνον.
Ἀλλ', ὦ τέκν', εἰσελθόντε πλησίους δόμους,
Πατρὸς νέαν γυναῖκα, δεσπότιν τ' ἐμὴν
Ἱκετεύετ', ἐξαιτεῖσθε μὴ φυγεῖν χθόνα,
Κόσμον διδόντες· τοῦδε γὰρ μάλιστα δεῖ,
Εἰς χεῖρ' ἐκείνης δῶρα δέξασθαι τάδε.
Ἴθ' ὡς τάχιστα· μητρὶ δ' ὧν ἐρᾷ τυχεῖν,
Εὐάγγελοι γένοισθε, πράξαντες καλῶς.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφὴ α΄.

Χο. Νῦν ἐλπίδες οὐκέτι μοι παίδων ζωᾶς·
Οὐκέτι· στείχουσι γὰρ εἰς φόνον ἤδη.
Δέξεται νύμφα χρυσέων ἀναδέσμων
Δέξεται δύστανος ἄταν·
Ξανθᾷ δ' ἀμφὶ κόμᾳ
Θήσει τὸν ἅδα κόσμον,
Αὐτὰ ταῖν χεροῖν λαβοῦσα.

Ἀντιστροφὴ α΄.

Πείσει χάρις, ἀμβρόσιός τ' αὐγὰ πέπλου,

Χρυ-

ΣΧΟΛΙΑ.

966. Κείνης ὁ δαίμων) ἀντὶ τοῦ ἡ εὐδαιμονία, τουτέστιν ἐκείνης καιρὸς εὐδαιμονεῖν. 967. Νέα τυραννεῖ) ἀντὶ τοῦ ἡ Γλαύκη φησὶ νέα οὖσα τὴν ἡλικίαν ἄρχει καὶ κρατεῖ· ἐπιπληκτικῶς δὲ τοῦτο. ὡς τοῦ Ἰάσονος διὰ τὸ νέον τῆς ἡλικίας προτετιμηκότος τὴν Γλαύκην. 968. Ψυχῆς ἂν ἀλλαξαίμεθ') ἀντὶ τοῦ ἑλοίμην ἂν καὶ ἀποθανεῖν, ὑπὲρ τοῦ μὴ τοὺς παῖδας ἀποκλεῖσαι μου. καὶ τοῦτο κατ' εἰρωνείαν.

972. Κόσ-

" Aurum vel potentius est inter homines, quàm
infinitæ orationes.
" Illi favet fortuna, *illa* nunc auget Deus.
Nova *sponsa* dominatur. Meorum verò liberorum exilium
Etiam vitâ permutaremus, non solùm auro.
Verum, ô filii, ingressi vicinas ædes,
Patris novam uxorem, dominámque meam,
Supplices orate, exorate nè fugiatis *hanc* terram,
Dantes *istum* ornatum: hâc enim re potissimum opus est,
In manum ejus dona ut recipiantur hæc.
Ite quàm celerrimè, & matri de illis quæ cupit consequi,
Boni nuncii estote, re prosperè gestâ.

ANTISTROPHICA.

Strophe 1.

Ch. Nunc spes nulla ampliùs *est* mihi liberorum vitæ;
Nulla *superest* ampliùs: eunt enim ad cædem jam.
Accipiet sponsa aureorum redimiculorum
Accipiet infelix noxam:
Flavam verò circa comam
Ponet Plutonis, *i. e. letalem*, ornatum,
Hæc *Medea munera* manibus accipiens.

Antistrophe 1.

Alliciet *eam* gratia divinúsque fulgor pepli,
Auream

ΣΧΟΛΙΑ.

972. Κόσμον διδόντες) καὶ τοῦτο πιθανὸν, τὸ παρεγγυῆσαι τοῖς παισὶν ἐντελλομένην ἐκείνῃ αὐτῇ διδόναι, ὑπόληψιν ἔχουσαν φαρμακίδος. 981. Θήσει τὸν ἅδου) θάνατον φησὶ μᾶλλον περιθήσει ἢ κόσμον. 983. Αὐγαὶ πέπλων) τὸ ἑξῆς αὐγαὶ καὶ χάρις ἀμβρόσιος πέπλων, πείσει παραδέξασθαι χερὶ χρυσότευκτον στέφανον.

Χρυσότευκτον στέφανον περιθέσθαι.
Νερτέροις δ᾽ ἤδη πάρα νυμφοκομήσει·
Τοῖον εἰς ἕρκος πεσεῖται,
Καὶ μοῖραν θανάτου
Προσλήψεται δύστανος·
Ἄταν δ᾽ οὐχ ὑπεκφεύξεται.

Στροφὴ β΄.

Σὺ δ᾽, ὦ τάλαν, ὦ κακόνυμφε,
Κηδεμὼν τυράννων,
Παισὶν οὐ κατειδὼς
Ὀλέθριον βιοτὰν προσάγεις,
Ἀλόχῳ τε σᾷ στυγερὸν θάνατον.
Δύστανε, μοίρας ὅσον παροίχῃ.

Ἀντιστροφὴ β΄.

Μεταστένομαι δὲ σὸν ἄλγος,
Ὦ τάλαινα παίδων
Μᾶτερ· ἃ φονεύσεις
Τὰ τέκνα, νυμφιδίων ἕνεκεν
Λεχέων, ἅ σοι προλιπὼν ἀνόμως
Ἄλλῃ ξυνοικεῖ πόσις συνεύνῳ.

Ἰαμβοί.

Παι. Δέσποιν᾽, ἀφεῖνται παῖδες οἵδε σοι φυγῆς·

Καὶ

ΣΧΟΛΙΑ.

985. Νερτέροις) ἀντὶ τοῦ παρὰ τοῖς νερτέροις καὶ τοῖς κατοιχομένοις αὐτὴν κοσμήσει ταῦτα τὰ δῶρα. Νυμφοκομήσει δέ ἐστι, τὸ τὴν νύμφην κοσμῆσαι. νυμφοκοσμήσει δὲ ἀντὶ τοῦ νυμφευθήσεται. 990. Σὺ δ᾽ ὦ τάλαν) τοῦτο πρὸς Ἰάσονα ἀποτείνει. 991. Κηδεμὼν δὲ, παρὰ τὸ κῆδος. ἀντὶ τοῦ γαμβρέ. σὺ δὲ φησὶν, ὦ ἐπ᾽ ὀλέθρῳ γενόμενε νυμφίε τῆς Γλαύκης, καὶ ἐπιγαμβρείαν οὐκ εὐτυχῆ ταύτην πρὸς τοὺς βασιλεῖς ἐσχηκὼς, ὄλεθρον τοῖς αὐτοῦ παισὶ καὶ τῇ νύμφῃ κατασκευάζεις, οὐ συνεὶς τὸ ἐπ᾽ ὀλέθρῳ μηχάνημα.

Βιοτὰν

Auream coronam ut *capiti* circumponat.
Apud inferos autem mox ſponſa ornabitur:
Tale in ſeptum cadet,
Et ſortem mortis *talem*
Accipiet inſelix:
Aten verò non ſubterfugiet.

Strophe 2.

Tu verò, ô miſer, ô infelix ſponſe,
Gener regum,
Non animadvertens, liberis
Adducis perniciofam vitam, *i. e. exitium paras,*
Et uxori tuæ triſtem mortem.
O infelix, quantam calamitatem ignoras!

Antiſtrophe 2.

Gemo tuum dolorem,
O miſera liberorum
Mater; quæ interficies
Liberos, propter nuptiales
Lectos, quibus in tuam contumeliam relictis injuſtè
Maritus habitat cum aliâ uxore.

Pædagogus.

Liberi tui, ô domina, liberati ſunt ab exilio,
Et

ΣΧΟΛΙΑ.

Βιοτὰν δὲ παισὶν, ἀντὶ τοῦ τῇ βιοτῇ τῶν παίδων. 995. Δύστανε μοίρας) τουτέστι τοῦ ἀγνοοῦντος. καὶ τοῦτο πρὸς Ἰάσονα ἀποτείνει. τὸ δὲ πρὸς τὴν Μήδειαν, ἵνα φονεύσῃς τέκνα σοῦ. Τὸ δὲ παροίχῃ) παρεληλυθὼς πεποίηκας, ὦ Ἰᾶσον, πολὺ μέρος τῆς θανατηφόρου μοίρας, ὡς ἐγγὺς εἶναι τὸν θάνατον αὐτῆς, ἀφ' οὗ τὸν καιρὸν τοῦ θανάτου τῇ Γλαύκῃ συνήγαγες, καὶ πλησίον εἶναι πεποίηκας, συγχωρήσας ὑπ' ἀνοίας ἀποκομισθῆναι τὰ δῶρα. Μοίρας δὲ τῆς θανατηφόρου φησίν. τὸ δὲ ὅσον, ἀντὶ τοῦ πολύ. 996. Μεταστένομαι) ἡ μετὰ ἀντὶ τοῦ ἐπὶ, τουτέστι, στένω δὲ καὶ ἐπὶ σοὶ ἄλγος ἔχων· μεθίσταμαι δὲ καὶ ἐπὶ σὸν ἄλγος, ὃ στένω τὴν σὴν τύχην, ἐφ' ᾗ τὴν ψυχὴν ἀλγεῖς. λέγει δὲ τὸ διημαρτηκέναι τοῦ Ἰάσονος.

Καὶ δῶρα νύμφη βασιλὶς ἀσμένη χεροῖν
Ἐδέξατ'· εἰρήνη δὲ τἀκεῖθεν τέκνοις.
Μή. Ἔα. Π. Τί συγχυθεῖσ' ἕστηκας, ἡνίκ' εὐτυχεῖς;
Τί σὴν ἔστρεψας ἔμπαλιν παρηΐδα,
Κοὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχῃ λόγον;
Μή. Αἶ, αἶ.
Παι. Τάδ' οὐ ξυνῳδὰ τοῖσιν ἐξηγγελμένοις.
Μή. Αἶ αἶ μάλ' αὖθις. Π. μῶν τιν' ἀγγέλλων τύχην
Οὐκ οἶδα, δόξης δ' ἐσφάλην εὐαγγέλου;
Μή. Ἤγγειλας, οἷ' ἤγγειλας· οὐ σὲ μέμφομαι.
Παι. Τί δὴ κατηφεῖς ὄμμα, καὶ δακρυρροεῖς;
Μή. Πολλή μ' ἀνάγκη, πρέσβυ· ταῦτα γὰρ θεοί,
Κἀγὼ κακῶς φρονοῦσ' ἐμηχανησάμην.
Παι. Θάρσει· κρατεῖς τοι καὶ σὺ πρὸς τέκνων ἔτι.
Μή. Ἄλλους κατάξω πρόσθεν ἡ τάλαιν' ἐγώ.
Παι. Οὔτοι μόνη σὺ σῶν ἀπεζύγης τέκνων.
" Κούφως φέρειν χρὴ θνητὸν ὄντα συμφοράς.

Μή.

ΣΧΟΛΙΑ.

1009. Μῶν τιν' ἀγγέλλων τύχην) ἡ μὲν Μήδεια συνοῦσα τὸ ὅσον οὐδέπω μέλλοντα δι' αὐτὸν ἔσεσθαι φόνον, εἰσήκει κατεστυγνασμένη. ὁ δὲ παιδαγωγὸς ἐνόμιζεν αὐτὴν ἐφ' οἷς ἐπήγγειλε λυπεῖσθαι. ἆρ' οὖν φησὶ, μὴ οὐ χρηστά σοι ἀπήγγειλα, καὶ ἐσφάλην, νομίσας εὐαγγελίσασθαι πρὸς σὲ ταῦτα; 1013. Πολλή μ' ἀνάγκη) ὡς μὲν πρὸς τὸν πρεσβύτην, ὅτι καταλείψει αὐτά· ὡς δὲ πρὸς ἀλήθειαν, ὅτι φονεύσει αὐτά. τὸ δὲ τὸ ὀδύρεσθαι, ἀνάγκη φησὶ τοῖς παροῦσι κακοῖς κλαίειν. ὁπότε γὰρ τῆς ἐμῆς ἀνοίας, καὶ τοῦ παρὰ τῶν θεῶν χόλου τὰ κατ' ἐμὲ κακῶς διάκειται. ταῦτα δὲ λέγει, προσποιείας ἑαυτῆς κατηγοροῦσα, ἐπὶ τῇ τῶν δώρων ἀποστολῇ. ἀνάγκη γὰρ εἰ ἔμελλεν ἡ Γλαύκη ἀπόλλυσθαι, καὶ αὐτῆς τὰ τέκνα ὑπ' αὐτῆς ἀναιρεῖσθαι, ἵνα μὴ ὑπ' ἄλλου τοῦτο γένηται. αὕτη μὲν οὖν ἐπὶ τοῦτο μετανοεῖ. αὐτὸς δὲ ᾤετο αὐτὴν ὀδύρεσθαι, ὅτι ἔμελλε γενέσθαι φυγάς. 1015. Θάρσει) ἔτι θαρσεῖν ὀφείλεις. καὶ γὰρ εἰ καὶ φεύγειν μέλλεις τῇ τῶν παίδων ὑποστάσει καὶ ζωῇ, ὅμως ἰσχὺν ἔχει τὰ κατὰ σὲ, καὶ εὔελπις εἶ τούτοις πρὸς τὰ

μέλλον

Et regia ſponſa libens dona manibus
Accepit: indè verò pax eſt tuis liberis.
Med. Sine. *P.* Cur ſtas perturbata, quùm felicitèr rem geris?
Cur retrò vertiſti tuam genam,
Et non libentèr à me accipis hunc ſermonem?
Med. Heu, heu!
P. Hæc non conſona *ſunt* illis, quæ nunciavi tibi.
Med. Heu, heu valdè rurſus. *P.* An aliquem caſum nunciavi
Inſciens, & ſpe læti nuncii fruſtratus ſum?
Med. Nunciâſti, quæ nunciâſti; non tibi vitio verto.
Pæd. Cur igitur oculos demittis, & lacrymas?
Med. Multa me neceſſitas, ô ſenex, *hæc facere cogit.* Talia enim dii,
Et ego malè cogitans machinata ſum.
P. Confide tu: obtines nam adhuc, *& in tuâ poteſtate habes* liberos.
Med. Alios priùs *ad inferos deducam, i. e.* mittam, miſera ego.
Pæd. Non tu ſola divulſa es à tuis liberis.
" Placide miſerias ferre mortalem decet.

Med.

ΣΧΟΛΙΑ.

μέλλον συμβιῶναι. τὸ δὲ ἔτι, καὶ ἐπὶ τοῦ μέλλοντος κεῖται. τὸ οὖν κρατεῖς ἀντὶ τοῦ νενίκηκας, καὶ εὐτύχηκας τὸ ὅσον ἐπὶ τοῖς τέκνοις, ὡς εὔελπις εἶ πρὸς τὸ μέλλον. 1016. Ἄλλους κατάξω) τὸν ἰσόμυθον τοῦ παίδων φόνον πάλιν προσοδύρεται. ἀσήμως δὲ ὑπὸ τοῦ μὴ συνιέναι τὸν παιδαγωγόν. τὸ μὲν οὖν ἄλλους, ἀντὶ τοῦ τούτους. τὸ δὲ κατάξω, ἀντὶ τοῦ πέμψω εἰς τὸν ᾅδην. 1017. Οὔτοι μόνη σὺ) ὁ μὲν ἔλεγεν, ὅτι πρὶν εὐτυχῆσαι ὑπ' αὐτῶν, ἀλλοτρίους μου γενομένους τοὺς παῖδας πέμψω εἰς τὸν ᾅδην. ὁ δὲ παιδαγωγὸς τὸ κατάξω νοεῖ, ἀντὶ τοῦ ἀποπέμψω πρὸς Ἰάσονα, ἠλλοτριωμένους μου τοὺς παῖδας. ἵν' ᾖ τὸ ἄλλους, ἀντὶ τοῦ ἀλλοτρίους.

1021. Σφῶν

Μή. Δράσω τάδ'· ἀλλὰ βαῖνε δωμάτων ἔσω,
Καὶ παισὶ πόρσυν', οἷα χρὴ καθ' ἡμέραν.
Ὦ τέκνα, τέκνα, σφῷν μὲν ἔστι δὴ πόλις,
Καὶ δῶμ', ἐν ᾧ λιπόντες ἀθλίαν ἐμὲ,
Οἰκήσετ' αἰεὶ μητρὸς ἐστερημένοι.
Ἐγὼ δ' ἐς ἄλλην γαῖαν εἶμι δὴ φυγὰς,
Πρὶν σφῷν ὀνάσθαι, κἀπιδεῖν εὐδαίμονας,
Πρὶν λέκτρα, καὶ γυναῖκα, καὶ γαμηλίους
Εὐνὰς ἀγῆλαι, λαμπάδας τ' ἀνασχεθεῖν.
Ὦ δυστάλαινα, τῆς ἐμῆς αὐθαδίας.
Ἄλλως ἄρ' ὑμᾶς, ὦ τέκν', ἐξεθρεψάμην·
Ἄλλως δ' ἐμόχθουν, καὶ κατεξάνθην πόνοις,
Στερρὰς ἐνεγκοῦσ' ἐν τόκοις ἀλγηδόνας.
Ἦ μήν ποθ' ἡ δύστηνος εἶχον ἐλπίδας
Πολλὰς ἐν ὑμῖν, γηροβοσκήσειν τ' ἐμὲ,
Καὶ κατθανοῦσαν χερσὶν εὖ περιστελεῖν,
Ζηλωτὸν ἀνθρώποισι· νῦν δ' ὄλωλε δὴ
Γλυκεῖα φροντίς· σφῷν γὰρ ἐστερημένη,
Λυπρὸν διάξω βίοτον, ἀλγεινόν τ' ἐμοί.
Ὑμεῖς δὲ μητέρ' οὐκέτ' ὄμμασιν φίλοις
Ὄψεσθ', ἐς ἄλλο σχῆμ' ἀποστάντες βίου.
Φεῦ, φεῦ· τί προσδέρκεσθέ μ' ὄμμασιν τέκνα;
Τί προσγελᾶτε τὸν πανύστατον γέλων;
Αἶ, αἶ· τί δράσω; καρδία γὰρ οἴχεται.

Γυναῖ-

ΣΧΟΛΙΑ.

1021. Σφῷν μὲν ἔστιν) τοῦ σφῷν πλῆρες τὸ σφῶιν, τουτέστιν ἀμφοῖν τῶν δύο, τὴν μὲν πόλιν φησὶν τήνδε οἰκήσετε, ὦ τέκνα, καὶ τὸν οἶκον τοῦτον διὰ αἰῶνος. λέγει δὲ ἀσήμως τὸν ᾅδην, καὶ πάντα τὰ ἑξῆς αἰνιγματωδῶς ὁμιλεῖ, ὑπὲρ τοῦ μὴ αἰσθέσθαι τὸν παιδαγωγόν. τὸ δὲ ἐν ᾧ πρὸς τὸ οἰκήσετε συνακτέον. τουτέστιν ἐν τῷ ᾅδῃ οἰκήσετε, ἀπολιπόντες ἐμέ. 1027. Εὐνὰς ἀγῆλαι) Φρύνιχος ἀγῆλαι ἀντὶ

αὔξαι

Med. Faciam hæc: sed ingredere in domum,
Et para pueris, quæ convenit quotidie.
O filii, filii, vobis quidem jam est urbs,
Et domus, in quâ me miserâ relictâ,
Habitabitis semper orbati matre.
Ego verò jam vado in aliam terram exul,
Priusquam ex vobis potuerim capere voluptatem, & vos videre florentes,
Priusquam connubium, & uxorem, & nuptiales
Lectos ornârim, facesque sustulerim accensas.
O me miseram ob meam contumaciam.
Frustrà igitur vos, ô filii, educavi,
Frustráque laboravi, & consumpta sum laboribus,
Ferens duros dolores in partu.
Certe aliquando infelix habui spes
Magnas in vobis *sitas*, fore *videlicet*, ut senio gravem me nutriretis,
Et mortuam manibus recte componeretis:
Quæ res expetenda mortalibus: nunc verò jam periît
Hæc dulcis cura: nam vobis orbata
Tristem degam vitam, acerbámque mihi.
Vos verò matrem non ampliùs caris oculis
Videbitis, transeuntes in aliud vitæ genus.
Heu, heu! cur me oculis aspicitis liberi?
Cur arridetis hoc extremo risu?
Heu, heu! quid faciam? cor enim *mihi* disperit.
Mulie-

ΣΧΟΛΙΑ.

εὔξασθαι. καὶ παρὰ Ἀριστοφάνει, Διὰ παντὸς, ὦ δέσποιν', ἀγηλάζομεν ἡμεῖς σ' ἀεί. καὶ Ἕρμιππος ἐν Ἀρτοπώλισι, Φέρε νῦν ἀγήλω τοὺς θεοὺς ἴσασ' ἔσω. 1039. Ἀποστάντες βίου) ἀλλ' οὐ βίου λέγει τοῦ καθ' ὅλου ἀδήλω, ὡς κἀν τοῖς καθεστηκμένοις οὔσης τινὸς ἑτέρας πολιτείας.

1043. Γυναῖ-

Γυναῖκες, ὄμμα φαιδρὸν ὡς εἶδον τέκνων,
Οὐκ ἂν δυναίμην. χαιρέτω βουλεύματα
Τὰ πρόσθεν· ἄξω παῖδας ἐκ γαίας ἐμούς.
Τί δεῖ με πατέρα τῶνδε τοῖς τούτων κακοῖς
Λυποῦσαν, αὐτὴν δὶς τόσα κτᾶσθαι κακά;
Οὐ δῆτ' ἔγωγε· χαιρέτω βουλεύματα.
Καί τοι τί πάσχω; βούλομαι γέλωτ' ὀφλεῖν,
Ἐχθροὺς μεθεῖσα τοὺς ἐμοὺς ἀζημίους;
Τολμητέον τάδ'. ἀλλὰ τῆς ἐμῆς κάκης,
Τὸ καὶ προέσθαι μαλθακοὺς λόγους φρενί.
Χωρεῖτε, παῖδες, εἰς δόμους. ὅτῳ δὲ μὴ
Θέμις παρεῖναι τοῖς ἐμοῖσι θύμασιν,
Αὐτῷ μελήσει. χεῖρα δ' οὐ διαφθερῶ.
Ἆ, ἆ.
Μὴ δῆτα, θυμέ, μὴ σύ γ' ἐργάσῃ τάδε·
Ἔασον αὐτούς, ὦ τάλαν, φεῖσαι τέκνων·
Ἐκεῖ μεθ' ἡμῶν ζῶντες εὐφρανοῦσί σε.

Μὰ

ΣΧΟΛΙΑ.

1043. Γυναῖκες, ὄμμα) πρὸς τὰς τοῦ χοροῦ λέγει. θέλει δὲ εἰπεῖν, ὅτι τὸν φόνον οὐκέτι μου ἡ ψυχὴ τολμήσει, ἀλλὰ λύομαι ταῖς τῶν ὀφθαλμῶν χάρισιν, ἀνατενιζόντων εἰς ἐμὲ τῶν φιλτάτων. 1044. Χαιρέτω βουλεύματα) διὰ τὸ σφάξαι τὰ τέκνα. ἐξελθέτω φησὶν ὁ ἐπὶ τῷ σφάξαι μου τὰ τέκνα κρατήσας λογισμός. 1046. Τί δεῖ με πατέρα) ἀφίσταμαι φησὶ τοῦ φόνου τῶν παίδων. εἰ γὰρ ἵνα τὸν πατέρα τούτων λυπήσω τῷ θανάτῳ αὐτῶν, ὀφείλω ἐμαυτῇ διπλασιοῦν τὰ κακά. λέγει δὲ τὴν λύπην, τὴν ἐπὶ τοῖς παισίν. ἢ οὕτως, σαφῶς εὐηθές ἐστιν ἐργαζομένην με τὸν φόνον τοῖς φιλτάτοις ἐπὶ τῷ τὸν πατέρα λυπῆσαι, αὐτὴν διπλασίαν λύπην κτήσασθαι διὰ τῆς τούτων τελευτῆς. δοκοῦσι γὰρ αἱ μητέρες περιπαθέστεραι εἶναι ἐν ταῖς τῶν παίδων συμφοραῖς. θαυμάσαι δέ ἐστι τὸν ὑπερβάλλοντα θυμὸν, ὃν ἔχει κατὰ τοῦ Ἰάσονος ἡ Μήδεια, ὅτι καίπερ προσδοκῶσα μειζόνως λυπηθήσεσθαι, ὅμως ὑπὲρ τοῦ λυπῆσαι τὸν Ἰάσονα, αἱρεῖται τούτους φονεύειν. 1048. Οὐ δῆτ' ἐγὼ) ὅτι μείζονός ἐστιν, οὐκ ἂν ἐγὼ φονεύσαιμι. ἀλλὰ μεθείσθω μοι, ὁ κρατήσας τοῦ φόνου λο-

γισμὸς

Mulieres, quia vidi lætos oculos liberorum,
Non possem *facere quod statui*. Valeant consilia
Priora: abducam filios meos è terrâ.
Quid opus est me patrem horum, horum malis
Cruciantem, mihi bis tanta mala accersere?
Nequaquam ego *hoc faciam*. Valeant *ista* consilia!
Verùm quid patior? an volo derideri,
Dimittens meos inimicos impunitos?
Audendum hoc est. Nam ignaviæ meæ *est*
Hoc, quòd & istos molles sermones in animum dimittam.
Intrate, pueri, in ædes. Cui verò non
Licet adesse meis sacrificiis, *hoc*
Ipsi curæ erit. Manum vero *meam cæde* non corrumpam *neque polluam*.
Heu, heu!
Nequaquam verò, mi anime, nè tu saltem hæc
Mitte eos, ô miser; parce liberis: [patres:
Illic nobiscum viventes exhilarabunt te.

Non

ΣΧΟΛΙΑ.

γισμός. γράφεται δὲ, καὶ παύσομαι βουλευμάτων. 1049. Καί τοι τί πάσχω) ἐνταῦθα ὥσπερ ἀναζωπυροῦσα τὸν κατὰ Ἰάσονος θυμὸν, ἐπιλαμβάνεται ἑαυτῆς, καὶ φησὶ, τί δὴ πέπονθα εἰς οἶκτον ἐμπεσοῦσα τῶν παίδων. οὐ γὰρ ἐμὸν καταισχύνειν ἑαυτὴν, ἀφεῖσαν ἀτιμώρητον τὸν πάντων ἐμὸν πολεμιώτατον, Ἰάσονα, ἐξὸν φονευούσαν τούτους μόνον. ἐχθροὺς οὖν λέγει, ἀντὶ τοῦ ἐχθρὸν τὸν Ἰάσονα. τοιοῦτον δέ ἐστι τὸ παρ' Ὁμήρῳ, Ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός; 1053. Ὅτῳ δὲ μὴ) ὅτῳ δέ φησιν οὐκ εὐσεβὲς φαίνεται παρεῖναι τῷ φόνῳ τούτῳ, καὶ δέχεσθαι τοιαύταις θυσίαις, οὗτος ἀπίτω. τοῦτο δὲ εἶπεν, ὡς ὄντων θεῶν τινῶν χαιρόντων ἀνδροφονίᾳ, οἷον Ἐρινύων, Ἄρεως, καὶ τινῶν ἑτέρων. Ὅμηρος, Ἆρες, ἄρες βροτολοιγέ. τῷ δὲ αὐτῷ μελήσει, συναπλέον τὸ μὴ παρεῖναι. 1055. Χεῖρα δ' οὐ διαφθερῶ) πάλιν ἐνταῦθα λύεται πρὸς οἶκτον. ἔστι γὰρ μίμησις μητρὸς οὐ προαιρέσει, ἀνάγκῃ δὲ τῇ τοὺς ἐχθροὺς ἀμύνασθαι τολμώσης φόνον κατὰ τῶν φιλτάτων. οὐκ ἂν φησὶν, ἐγὼ μολύναιμι τῷ ἐξ ἐμοῦ παίδων αἵματι τὴν ἐμαυτῆς χεῖρα.

1059. Μὰ

Μὰ τοὺς παρ' ᾅδῃ νερτέρους ἀλάστορας,
Οὔτοι ποτ' ἔσται τοῦθ', ὅπως ἐχθροῖς ἐγὼ
Παῖδας παρήσω τοὺς ἐμοὺς καθυβρίσαι.
Πάντως σφ' ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρή,
Ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.
Πάντως πέπρακται ταῦτα, κοὐκ ἐκφεύξεται.
Καὶ δὴ 'πὶ κρατὶ στέφανος, ἐν πέπλοισί τε
Νύμφη τύραννος ὄλλυται· σάφ' οἶδ' ἐγώ.
Ἀλλ' εἶμι γὰρ δὴ τλημονεστάτην ὁδόν,
Καὶ τούσδε πέμψω τλημονεστέραν ἔτι
Παῖδας· προσειπεῖν βούλομαι· δότ', ὦ τέκνα,
Δότ', ἀσπάσασθε, μητρὶ δεξιὰν χέρα.
Ὦ φιλτάτη χείρ, φίλτατον δέ μοι στόμα,
Καὶ σχῆμα, καὶ πρόσωπον εὐγενὲς τέκνων,
Εὐδαιμονοῖτον· ἀλλ' ἐκεῖ· τὰ δ' ἐνθάδε,
Πατὴρ ἀφείλετ'. ὦ γλυκεῖα προσβολή,
Ὦ μαλθακὸς χρὼς, πνεῦμά θ' ἥδιστον τέκνων.
Χωρεῖτε, χωρεῖτ'. οὐκέτ' εἰμὶ προσβλέπειν
Οἵατ' ἐς ὑμᾶς, ἀλλὰ νικῶμαι κακοῖς.
Καὶ μανθάνω μὲν οἷα τολμήσω κακά·
" Θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,
" Ὅσπερ μεγίστων αἴτιος κακῶν βροτοῖς.

Ἀνά-

ΣΧΟΛΙΑ.

1059. Μὰ τοὺς παρ' ᾅδῃ) τοὺς καταχθονίους. Ἀλάστορας δὲ) οὓς οὐκ ἔστι λαθεῖν. ἐπειδὴ δὴ συνεχῶς ὁρᾷ ἑαυτὴν νικωμένην πρὸς τοὺς παῖδας οἴκτῳ, ὅρκῳ φρικωδεστάτῳ κατακλείει ἑαυτήν, πρὸς τὸ μηδὲν ἕτερον ἢ τὸν φόνον τῶν παίδων ἐξάπαντος δρᾶσαι. καὶ οὐκ ἂν ἐγώ φησι καταλείψαιμι τοὺς ἐμοὺς παῖδας ὑπὸ τῶν ἐχθρῶν καθυβρίζεσθαι, λέγει ὑπὸ τῶν προσηκόντων τῇ Γλαύκῃ. 1061. Καθυβρίσαι δὲ λέγεται τὸ μετ' αἰκίας τινὸς ἀνελεῖν. καὶ ἐγὼ φησὶ μὴ φονεύσω τούτους, ἀλλ' οἱ ἐχθροὶ πάντως ἀναιρήσουσιν. εἰ δὲ ἅπαξ χρὴ τούτοις ἀποθανεῖν, κάλλιον ὑφ'

ἐμοῦ

Non per dæmones infernos, qui ſunt apud Plutonem,
Nunquam hoc fiet; ut ego inimicis
Filios meos relinquam injuriâ afficiendos.
Omninò neceſſe eſt eos mori: & quoniam hoc oportet,
Nos occidemus *eos*, qui procreavimus *eos*.
Omninò actum eſt hoc, & non alitèr fiet.
Et jam corona in capite eſt, & in peplis
Sponſa regia perit: *hoc* ego benè ſcio.
Verum ego vado miſerrimam viam,
Et hos longè triſtiore viâ mittam
Liberos *meos*: alloqui volo: date, ô liberi,
Date matri dextram manū, ſalutate *matrem*.
O cariſſima manus, & mihi cariſſimum os,
Et ſpecies, & vultus generoſus liberorum,
Sitis felices: ſed illic; res enim, quæ hîc *erant*,
Pater abſtulit. O jucundum complexum,
O teneram cutem, & dulciſſimum halitum liberorum.
Ite, ite. Non ampliùs intueri
Vos poſſum, ſed vincor malis. [ſum auſura:
Et intelligo quidem qualia *ſint ea* mala, *quæ*
" Sed ira eſt potentior meis conſiliis,
" Quæ quidem hominibus cauſa eſt maximorum malorum.

Chorus.

ΣΧΟΛΙΑ.

ἡμῶν ἀναιρεῖσθαι, ἵνα μὴ δόξωσιν οἱ ἐχθροὶ τιμωρίαν ταύτην λαμβάνειν ἐξ ἡμῶν. 1065. Καὶ δὴ ἐπὶ κρατί) ταῦτα ἐκ τοῦ χρόνου ἀναλογιζομένη πρὸς ἑαυτὴν λέγει. καὶ δή φησιν ἡ μὲν Γλαύκη, ὡς εἰκὸς, ἔχει τὸν στέφανον, καὶ λοιπὸν ἐγγύς ἐστι τοῦ θανάτου. 1067. Ἀλλ' εἶμι) μὴ μέλλομεν ἥκειν ἐπὶ τὴν δυσχερεστάτην ὁδὸν τοῦ φόνου. 1073. Τάδ' ἐνθάδε) τὰ ἐν τοῖς ζῶσιν, τουτέστιν ὁ πατὴρ αἴτιος τοῦ μὴ σώζεσθαι ὑμᾶς. 1074. Προσβολὴ δὲ περίπλεξις, ἢ αὐτὴ τοῦ προσώπου θέα. ἐν τῷ περιπλέκεσθαι δὲ καὶ καταφιλεῖν ταῦτα λέγει.

1081. Πολ-

Ἀνάπαιστοι.

Χο. Πολλάκις ἤδη διὰ λεπτοτέρων
Μύθων ἔμολον, καὶ πρὸς ἁμίλλας
Ἦλθον μείζους, εἰ χρὴ γενεὰν
Θῆλυν ἐρευνᾷν· ἀλλὰ γάρ ἐστι
Μοῦσα καὶ ἡμῖν, ἣ προσομιλεῖ
Σοφίας ἕνεκεν· πάσαισι μὲν οὔ.
« Παῦρον δὴ γένος ἐν πολλαῖσιν
« Εὕροις ἂν ἴσως,
« Κοὐκ ἀπόμουσον τὸ γυναικῶν.
« Καὶ φημὶ, βροτῶν οἵτινές εἰσι
« Πάμπαν ἄπειροι, μηδ᾽ ἐφύτευσαν
« Παῖδας, προφέρειν εἰς εὐτυχίαν,
« Τῶν γειναμένων.
« Οἱ μὲν τ᾽ ἄτεκνοι δι᾽ ἀπειροσύναν,
« Εἴθ᾽ ἡδὺ βροτοῖς, εἴτ᾽ ἀνιαρὸν
« Παῖδες τελέθουσ᾽, οὐχὶ τυχόντες,
« Πολλῶν μόχθων ἀπέχονται.
« Οἷσι δὲ τέκνων ἐστὶν ἐν οἴκοις

« Γλυ-

ΣΧΟΛΙΑ.

1081. Πολλάκις ἤδη) πολλάκις φησὶ κατ᾽ ἐμαυτὴν ἐλογισάμην καὶ δι᾽ ἀκριβεστέρων λογισμῶν προῆλθον αὐτὴ πρὸς ἐμαυτὴν λογιζομένη, καὶ ζητοῦσα εἰ δυνατὸν καὶ τῇ γυναικείᾳ φύσει ἐρευνᾷν τὰ τοῦ βίου πράγματα, καὶ εἰδέναι τί μὲν ἀνθρώποις καλὸν, τί δ᾽ οὔ. καὶ λογισαμένη, εὗρον ὅτι μέτεστι γυναιξὶ σοφίας, καὶ τῆς ἀνθρώπων πραγμάτων καταλήψεως, οὐ πάσαις, ἀλλ᾽ ὀλίγαις, ὧν οὖσα μία καὶ αὐτὴ τυγχάνω. καὶ λογίζομαι τῶν ἀνθρώπων τοὺς ἀπείρους παιδοποιΐας πολλῷ προφέρειν καὶ ὑπερβάλλειν εὐτυχίᾳ τοὺς γεννήσαντας. ὅσοι μὲν γὰρ τῶν κατὰ παιδοποιΐαν μόχθων ἐκτὸς εἰσὶν, εἴτε καλὸν οἱ παῖδες οὐκ ἴσασιν. οἱ δ᾽ ἔχοντες, ἀνάγκῃ τῇ περὶ τοὺς παῖδας ἐπιμελείᾳ κατατρυχόμενοι διατελοῦσιν, πρῶτον μὲν ὅπως ἀγάγωσι τοὺς παῖδας κοσμίως σπουδάζοντες, δεύτερον δὲ καὶ πόθεν τούτοις χρημάτων πόρον καταλείψειαν, τρίτον ἐπὶ τούτοις οὐκ εἰδότες πότερον χρηστοῖ-

ἔσι

Chorus.

Sæpe jam per subtiliores
Sermones ivi, & ad certamina
Magna veni, si convenit genus
Muliebre studiis incumbere: sed enim est
Musa etiam nobis, quæ conversatur *nobiscum*
Sapientiæ *docendæ* causâ: verùm non cum omnibus *habitat*. 1086
" Exiguum enim numerum inter multas
" Invenias fortasse, [rum.
" Nec à Musis alienum, *numerum inquam* mulie-
" Et aio, mortalium quicunque sunt 1090
" Omninò *nuptiarum* expertes, nec genuerunt
" Liberos, anteire felicitate
" Eos, qui *liberos* progenuerunt.
" Qui enim non habent liberos propter imperitiam, *quòd ignorent*,
" Utrum res suavis hominibus, an verò ingrata
" Sint liberi, cùm non habeant, 1096
" Carent multis miseriis.
" Sed quibus in ædibus est liberorum
" Dulce

ΣΧΟΛΙΑ.

ὄσι τοῖς παισὶν ἢ πονηροῖς. τοῦτον δὲ τὸν τρόπον μοχθοῦσι τὸν χρόνον ἅπαντα. οὐ γὰρ εὐμαρὲς συνιέναι τρόπον ἀνθρώπου, ὅπου γε τοὺς νομιζομένους εἶναι χρηστοὺς, πονηροὺς πολλάκις ἐξαίφνης εὑρίσκομεν. ἓν δὲ πάντων τῶν κακῶν πλουταῖον βούλομαι πᾶσιν ἀνθρώποις ἐξειπεῖν. δῶμεν γὰρ, ὅτι καὶ βίον αὐτάρκη τοῖς παισὶ κέκτηνται, καὶ εἰς ἀκμὴν ἡλικίας ἦλθον οἱ παῖδες, καλοί τε κἀγαθοὶ τὸν τρόπον ἐκβεβήκασιν· εἰ δὲ δὴ τούτων οὕτως ἐχόντων φθάσας ὁ δαίμων, πρὶν ὄνασθαι τῶν ἀγαθῶν, τούτους ἁρπάσῃ, πῶς ἔτι λυσιτελεῖ πρὸς τοῖς ἄλλοις τῶν ἀνθρώπων κακοῖς τοὺς παῖδας εὔξασθαι τοὺς θεοὺς παρασχεῖν λύπην ἄντικρυς ὄντας; 1085. Μοῦσα ἔστιν ἡμῖν) ἀντὶ τοῦ φρόνησις, παίδευσις πρὸς τὸ δύνασθαι διακρίνειν τὰ ἀνθρώπινα. καὶ ἡμῖν οὖν φησὶ Μοῦσα προσομιλεῖ σοφίαν χαριζομένη, πρὸς τὸ ἡμᾶς ἀποφαίνεσθαί τι περὶ τῶν τοιούτων.

« Γλυκερὸν βλάστημ', ἐσορῶ μελέτῃ
« Κατατρυχομένους τὸν ἅπαντα χρόνον.
« Πρῶτον μὲν ὅπως θρέψουσι καλῶς,
« Βίοτόν θ' ὁπόθεν λείψουσι τέκνοις·
« Ἔπι δ' ἐκ τούτων, εἴτ' ἐπὶ φλαύροις,
« Εἴτ' ἐπὶ χρηστοῖς μοχθοῦσι, τόδε
Ἔστιν ἄδηλον.
Ἓν δὲ τὸ πάντων λοίσθιον ἤδη
Πᾶσιν κατερῶ θνητοῖσι κακόν.
« Καὶ δὴ γὰρ ἅλις βίοτον ηὗρον,
« Σώματά τ' εἰς ἥβην ἦλθε τέκνων,
« Χρηστοί τ' ἐγένοντ'· εἰ δὲ κυρήσει
« Δαίμων, οὗτος φροῦδος ἐς ἀΐδαν
« Θάνατος προφέρων σώματα τέκνων.
Πῶς οὖν λύει πρὸς τοῖς ἄλλοις
Τήνδ' ἔτι λύπην ἀνιαροτάτην
Παίδων ἕνεκεν
Θνητοῖσι θεοὺς 'πιβάλλειν;

ΜΗΔΕΙΑ,

ΣΧΟΛΙΑ.

1099. Ὁρῶ μελέτῃ) τούτους φησὶν ὁρῶ τῇ περὶ τοὺς παῖδας συνεχεῖ καταπονουμένους μελέτῃ, τουτέστι τῇ καθημερινῇ ἐπιμελείᾳ. 1110. Δαίμων οὗτος) τὸ δαίμων τῷ θανάτῳ συναπτέον.

δαίμονα

" Dulce germen, *eos* video curis
" Confici omni tempore.
" Primùm quidem quo pacto benè *ipsos* educent,
" Et unde victum relinquant liberis:
" Præterea verò utrum pro malis,
" An pro bonis laborent,
Hoc incertum est.
Unum verò, quod est omnium extremum, jam
Dicam, omnibus hominibus malum.
" Etenim jam *multi* abundè victum invenerunt
liberis,
" Corporáque liberorum ad pubertatem pervenerunt,
" Boníque evaserunt. Si tamen *malus ipsis* occurrat
" Dæmon, hæc procul ab hominum oculis rapiens
ad Plutonem
" Mors fert corpora liberorum.
Quomodo igitur prodest præter alios
Hunc etiam acerbissimum dolorem
Propter liberorum mortem
Addere Deos hominibus?

MEDÆA,

ΣΧΟΛΙΑ.

δαίμονα γὰρ τὸν θάνατον ὠνόμασεν, φρεῦδος δὲ ἐπεὶ ἄδηλος ἀνθρώποις ὁ θάνατος.

ΜΗΔΕΙΑ, ΑΓΓΕΛΟΣ, ΧΟΡΟΣ, ΠΑΙΣ, ΙΑΣΩΝ.

Ἰαμβοί.

Μή. Φίλαι, πάλαι τοι προσμένουσα τὴν τύχην,
Καραδοκῶ τἀκεῖθεν, οἷ προβήσεται.
Καί τοι δέδορκα τόνδε τῶν Ἰάσονος
Στείχοντ' ὀπαδῶν, πνεῦμά τ' ἠρεθισμένον
Δείκνυσι δ' ὥς τι καινὸν ἀγγελεῖ κακόν.
Αγ. Ὦ δεινὸν ἔργον παρανόμως εἰργασμένη
Μήδεια, φεῦγε, φεῦγε, μήτε ναΐαν
Λιποῦσ' ἀπήνην, μήτ' ὄχον πεδοστιβῆ.
Μή. Τί δ' ἄξιόν μοι τῆσδε τυγχάνει φυγῆς;
Αγ. Ὄλωλεν ἡ τύραννος ἀρτίως κόρη,
Κρέων θ' ὁ φύσας, φαρμάκων τῶν σῶν ὕπο.
Μή. Κάλλιστον εἶπας μῦθον· ἐν δ' εὐεργέταις
Τολοιπὸν ἤδη, καὶ φίλοις ἐμοῖς ἔσῃ.
Αγ. Τί φής; φρονεῖς μὲν ὀρθά, κοὐ μαίνῃ, γύναι;
Ἥ τις τυράννων ἑστίαν ᾐκισμένη,
Χαίρεις κλύουσα, κοὐ φοβῇ τὰ τοιάδε;
Μή. Ἔχω τι κἀγὼ τοῖς γε σοῖς ἐναντίον
Λόγοισιν εἰπεῖν· ἀλλὰ μὴ σπέρχου φίλος,
Λέξον δὲ πῶς ὤλοντο· δὶς τόσον γὰρ ἂν

Τέρ-

ΣΧΟΛΙΑ.

1123. Λιποῦσ' ἀπήνην) καταχρηστικῶς νῦν τὴν ναῦν ἀπήνην ὠνόμασεν. ἀπήνη γὰρ κυρίως ἡ ἅμαξα. ὄχον δὲ λέγει, τὸ ὄχημα. ὁ δὲ νοῦς, εἴτε διὰ νεώς, εἴτε δι' ὀχήματος, εἴθ' ὁπωσοῦν φεῦγε. 1129. Τί φής; φρονεῖς μὲν) πῶς, φησίν, εἶπας τοῦτο; ὅτι μὲν γὰρ κατὰ φύσιν φρονεῖς, καὶ οὐκ ἐξέστησας, δῆλον. θαυμάζω δὲ πῶς οὐκ ἀγωνιᾷς ἀκούσασα τὸν βασιλικὸν οἶκον διεφθάρθαι ὑπὸ τῶν φαρμάκων. ἢ κατ' ἐρώτησιν

διενεκ-

MEDÆA, NUNCIUS, CHORUS, FILIUS, JASON.

Med. AMicæ, jampridem præstolans eventum fortunæ,
Expecto, ab illâ parte, quò res sit casura.
Equidem video hunc ex Jasonis
Ministris venientem spirituque irritato, *i. e. anhelo:*
Significat autem se novum aliquod malum nunciaturum.
Nun. O quæ dirum facinus impiè patrâsti,
Medæa, fuge, fuge, neque navalem
Relinquens currum, *i. e. navem,* neque vehiculum terram calcans.
Med. Quid verò mihi dignum hoc exilio *patratum* est?
Nun. Puella regia modò periît,
Et Creon, qui *eam* genuit, tuis incantamentis.
Med. Pulcherrimum sermonem dixisti: inter benefactores
Et amicos meos posthac jam eris.
Nun. Quid ais? an rectè sapis, & non insanis, mulier?
Quæ cum injuriâ affeceris lares regios,
Gaudes audiens, & non metuis hæc?
Med. Ego etiam possum aliquid contra tua
Verba dicere: sed nè nimiùm-properes, amice;
Verum enarra, quomodo perierint: Nam bis tantum

Nos

ΣΧΟΛΙΑ.

διευκτέον τὸν λόγον, πῶς εἶπας τοῦτο; πῶς οὐχὶ μαίνεσθαι σὲ ἢ παραφρονεῖν ἄν τις νομίσειεν, οὐκ ἀγωνιῶσαν ἐπὶ τούτῳ, ἵνα ὁ μῦθος προέλκῃ. 1132. Ἔχω τί) κἀγώ φησιν ἔχω πρὸς τὰς ἐπενεχθείσας μοι μέμψεις παρὰ σοῦ, πρόφασιν εὔλογον προσάγειν, δι' ἣν εὐλόγως δοκῶ μοι χαίρειν, ἐφ' οἷς ἀπήγγειλας, ἀλλὰ τέως μὴ σπεῦδε καὶ ἐπιχειρεῖν. αἰνίττεται δὲ τὸ ἑαυτὴν πρότερον ἀδικεῖσθαι ὑπὸ τοῦ Ἰάσονος.

Τέρψαις ἡμᾶς, εἰ τεθνᾶσι παγκάκως.
Αγ. Ἐπεὶ τέκνων σῶν ἦλθε δίπτυχος γονὴ
Σὺν πατρί, καὶ παρῆλθε νυμφικοὺς δόμους,
Ἥσθημεν, οἵπερ σοῖς ἐκάμνομεν κακοῖς
Δμῶες· δι' ὤτων δ' εὐθὺς ἦν πολὺς λόγος,
Σὲ καὶ πόσιν σὸν, νεῖκος ἐσπεῖσθαι τὸ πρίν.
Κυνεῖ δ' ὁ μέν τις χεῖρ', ὁ δὲ ξανθὸν κάρα
Παίδων· ἐγὼ δὲ καὐτὸς ἡδονῆς ὕπο,
Στέγας γυναικῶν σὺν τέκνοις ἅμ' ἑσπόμην.
Δέσποινα δ', ἣν νῦν ἀντὶ σοῦ θαυμάζομεν,
Πρὶν μὲν τέκνων σῶν εἰσιδεῖν ξυνωρίδα,
Πρόθυμον εἶχ' ὀφθαλμὸν εἰς Ἰάσονα·
Ἔπειτα μέντοι προὐκαλύψατ' ὄμματα,
Λευκήν τ' ἀπέστρεψ' ἔμπαλιν παρηΐδα,
Παίδων μυσαχθεῖσ' εἰσόδους· πόσις δὲ σὸς
Ὀργάς τ' ἀφῄρει καὶ χόλον νεάνιδος,
Λέγων τάδ'. οὐ μὴ δυσμενὴς ἔσῃ φίλοις,
Παύσῃ δὲ θυμοῦ, καὶ πάλιν στρέψεις κάρα,
" Φίλους νομίζουσ', οὕσπερ ἂν πόσις σέθεν.
Δέξῃ δὲ δῶρα, καὶ παραιτήσῃ πατρὸς
Φυγὰς ἀφεῖναι παισὶ τοῖσδ', ἐμὴν χάριν.

Ἡ

ΣΧΟΛΙΑ.

1136. Ἐπεὶ τέκνων σῶν) ὡς εἴδομεν φησὶ τοὺς σοὺς παῖδας τὰ δῶρα προσφέροντας, ἐχάρημεν ἡμεῖς οἱ θεράποντες, οἵτινες ἐλυπούμεθα περὶ τούτου, ἐννοοῦντες τὴν σὴν σκαιὰν τύχην. λέγει δὲ τὸ ἀπεζεῦχθαι τοῦ Ἰάσονος. ὡς οὖν φησὶν εἴδομεν τὰ δῶρα κομιζόμενα ὑπὸ σοῦ, εὐφράνθημεν, ἐλπίσαντες ὑμᾶς πεπαῦσθαι τῆς ἔχθρας. ἐπεὶ καὶ πολὺς ἦν λόγος κατὰ τὴν οἰκίαν διαλελῦσθαι ὑμᾶς, καὶ τὴν προτέραν φιλονεικίαν εἰς φιλίαν μεταβεβληκέναι. 1143. Στέγας γυναικῶν) τοὺς οἴκους, ἔνθα αἱ γυναῖκες διέτριβον αἱ ταλασιουργοῦσαι, μεθ' ὧν ἦν καὶ Γλαύκη ἐπισκοποῦσα τὴν ἐργασίαν. κἀγὼ οὖν φησὶν ὑπὸ πολλῆς χαρᾶς συνῆλθον

τοῖς

Nos delectaveris, si pessimè sint mortui.
Nun. Postquam gemina soboles tuorum liberorum venit
Cum patre, & ingressa est nuptiales ædes,
Gavisi sumus, qui tuis laborabamus malis
Famuli: per aures verò statim ibat multus sermo,
Te, & tuum maritum litem *fœdere inito* diremisse priorem.
Osculabatur autem alius quidem manum, alius verò flavum caput
Puerorum: ego verò & ipse præ lætitiâ
Simul tuos filios comitabar in conclave mulierum.
Domina verò, quam nunc pro te admiramur,
Priusquam vidisset par tuorum liberorum,
Habebat promptum oculum in Jasonem:
Deinde verò texit oculos,
Et retrò avertit candidas genas,
Abominans ingressum puerorum: sed maritus [tuus.
Abstulit iram & bilem puellæ,
Hæc dicens: Nè sis inimica amicis,
Desistéque ab irâ, & *huc* iterum flecte caput,
" Existimans amicos *eosdem*, quos maritus tuus.
Accipe verò munera, & roga patrem
Ut remittat exilium his *meis* liberis, *in* meam gratiam.

Hæc

ΣΧΟΛΙΑ.

τοῖς σοῖς τέκνοις. λείπει δὲ ἡ εἰς, ἵν' ᾖ εἰς στέγας. 1146. Πρόθυμον εἶχ' ὀφθαλμὸν) ἀντὶ τοῦ προθύμως καὶ ἡδέως ἑώρα τὸν Ἰάσονα. ὡς δὲ εἶδε τούτους παρόντας, ἀπεστράφη τὸν Ἰάσονα, τὸ μητρυιῆς μῖσος εἰς τοὺς προγόνους νοσήσασα. 1150. Ὀργάς δὲ ἀφῄρει, ἀντὶ τοῦ μὴ ὀργίζεσθαι τοῖς παισὶ, παρῄνει αὐτῇ μὴ βδελύττεσθαι τούτους. 1151. Λέγων τάδε) αἱ δύο ἀρνήσεις ἀντὶ μιᾶς κεῖνται. τουτέστι μὴ δυσμενὴς τοῖς φίλοις ἔσο. ἀλλὰ παῦσαι θυμοῦ, καὶ ἐπίστρεψον πρὸς αὐτοὺς τὰς ὄψεις.

Ἡ δ' ὡς ἐσεῖδε κόσμον, οὐκ ἠνέσχετο,
Ἀλλ' ᾔνεσ' ἀνδρὶ πάντα· καὶ πρὶν ἐκ δόμων
Μακρὰν ἀπεῖναι πατέρα καὶ παῖδας σέθεν,
Λαβοῦσα πέπλους ποικίλους ἠμπέσχετο,
Χρυσοῦν τε θεῖσα στέφανον ἀμφὶ βοστρύχοις
Λαμπρῷ κατόπτρῳ σχηματίζεται κόμην,
Ἄψυχον εἰκὼ προσγελῶσα σώματος.
Κἄπειτ' ἀναστᾶσ' ἐκ θρόνων, διέρχεται
Στέγας, ἁβρὸν βαίνουσα παλλεύκῳ ποδὶ,
Δώροις ὑπερχαίρουσα, πολλὰ πολλάκις
Τένοντ' ἐς ὀρθὸν ὄμμασι σκοπουμένη.
Τοὐνθένδε μέντοι δεινὸν ἦν θέαμ' ἰδεῖν·
Χροιὰν γὰρ ἀλλάξασα, λεχρία πάλιν
Χωρεῖ τρέμουσα κῶλα, καὶ μόλις φθάνει
Θρόνοισιν ἐμπεσοῦσα, μὴ χαμαὶ πεσεῖν.
Καί τις γεραιὰ προσπόλων, δόξασά που
Ἢ Πανὸς ὀργὰς, ἤ τινος θεῶν μολεῖν,
Ἀνωλόλυξε, πρίν γ' ὁρᾷ διὰ στόμα
Χωροῦντα λευκὸν ἀφρὸν, ὀμμάτων τ' ἄπο
Κόρας στρέφουσαν, αἷμά τ' οὐκ ἐνὸν χροΐ·

Εἶτ'

ΣΧΟΛΙΑ.

1156. Οὐκ ἠνέσχετο) ἀντὶ τοῦ, οὐκ ἠνέσχετο ἐν τοιαύτῃ καταστάσει μεῖναι, ἀλλὰ μετεβλήθη τῆς ἀγριαίνοντος τοῦ θυμοῦ. 1158. Μακρὰν ἀπεῖναι) οὕτω δὲ περιχαρὴς γέγονε τὸν κόσμον ἰδοῦσα, καὶ ἐρασμίων ἠγάπατο δώρων, ὡς μὴ ἀναμεῖναι τὴν ἀπουσίαν τοῦ Ἰάσονος, ἀλλ', ἔτι πλησίον ὄντος τοῦ πατρὸς καὶ τῶν παίδων, εὐθὺς λαβοῦσα περιέθετο τὸν κόσμον. ἴσμεν δὲ ὅτι αἱ γυναῖκες οὐκ ἐπὶ παρουσίᾳ τῶν ἀνδρῶν κοσμοῦνται. αὕτη οὖν φησὶν ὑπερησθεῖσα τῷ δώρῳ οὐ περιμένετο, ἕως παρόντος τοῦ Ἰάσονος, περιθεῖναι τὸν κόσμον. 1162. Ἄψυχον εἰκὼ) γράφεται προσβλέπουσα σώματος, ἄψυχον εἰκόνα φησὶ τὴν ἐν τῷ κατόπτρῳ φαινομένην μορφήν. Ἄψυχον οὖν εἰκὼ) τὴν εἰς τὸ ἔσοπτρον φαινομένην. Σώματος δὲ

λέγει

Hæc verò ut aspexit ornatum, non continuit se,
Sed promisit virò omnia: Et priusquam ex ædi-
Procul abirent pater & liberi tui, [bus
Acceptam variam vestem induit,
Ponensque auream coronam circum cincinnos,
Nitidum *ad* speculum componit comam,
Inanimæ corporis imagini arridens.
Deinde ubi surrexisset de solio, perambulat
Ædes, delicatè incedens candidis pedibus,
Donis *hisce* vehementer gaudens, multum & sæpè
Cervicem ad erectam oculis respiciens.
Postea verò erat miserabile spectaculum videre:
Nam mutato colore, obliqua retro
Cedit, tremens membris: & vix antevertit
Solio illapsa, nè caderet in terram.
Tum verò una ex famulis anus, cum exstimaret
Aut Panis iram, aut alicujus *aliûs* Dei *in ipsam* venisse,
Ululatum edidit, prius quàm videret per os
Exeuntem candidam spumam, & ab oculis
Vertentem pupillas, & non *amplius* in corpore esse sanguinem:
Deinde

ΣΧΟΛΙΑ.

λέγει, ἐκ τοῦ ὄντι ὄψεως· τὸ δὲ ἑξῆς πρὸς τὴν ἄψυχον εἰκόνα τοῦ σώματος γελῶσα, τουτέστι χαίρουσα ἐπὶ τῇ ὑποπιπτούσῃ αὐτῷ κατοπτρικῇ εὐμορφίᾳ. 1172. Ἤ Πανὸς ὀργὰς) ἐξαίφνης καταπίπτοντες ᾤοντο τὸ παλαιὸν ἄνθρωποι ὑπὸ Πανὸς μάλιστα καὶ Ἑκάτης καταπεπλῆχθαι τὸν νοῦν. ὁ δὲ νοῦς, καί τις τῶν θεραπαινῶν γεραιὰ πρότερον ἑωρακυῖα κατὰ στόμα προϊοῦσαν τὸν ἀφρὸν, ἐκστρέφουσάν τε τοὺς ὀφθαλμοὺς καὶ τὸ αἷμα νενεκρωμένον λοιπὸν τὸ σῶμα, νομίσασα θεοῦ τινος εἶναι χόλον, ηὔξατο ἀνθῆναι αὐτήν. εἶτα ὡς εὐχομένης ἐπέτεινε τὸ κακὸν, θρῆνον ἠφίει, ὡς λοιπὸν ἀπολλυμένης αὐτῆς. Πανὸς ὀργὰς) τὰ πανικὰ δείματα· οἱ μὲν τὰ αἰφνιδίων φόβων καὶ ταραχῶν αἰτίαν τῷ Πανὶ ἀνατιθέασιν.

1176. Ἀι-

Πλὴν τῷ τεκόντι κάρτα δυσμαθὴς ἰδεῖν.
Οὔτ' ὀμμάτων γὰρ δῆλος ἦν κατάστασις,
Οὔτ' εὐφυὲς πρόσωπον· αἷμα δ' ἐξ ἄκρου
Ἔσταζε κρατὸς, συμπεφυρμένον πυρί·
Σάρκες δ' ἀπ' ὀστέων, ὥστε πεύκινον δάκρυ,
Γναθμοῖς ἀδήλοις φαρμάκοις ἀπέρρεον·
Δεινὸν θέαμα· πᾶσι δ' ἦν φόβος θιγεῖν
Νεκροῦ. τύχην γὰρ εἴχομεν διδάσκαλον.
Πατὴρ δ' ὁ τλήμων συμφορᾶς ἀγνωσίᾳ,
Ἄφνω προσελθὼν δῶμα, προσπίτνει νεκρῷ,
Ὤμωξε δ' εὐθὺς, καὶ περιπτύξας χέρας
Κυνεῖ, προσαυδῶν τοιάδ'· ὦ δύστηνε παῖ,
Τίς ὧδ' ἀτίμως δαιμόνων σ' ἀπώλεσε;
Τίς τὸν γέροντα τύμβον ὀρφανὸν σέθεν
Τίθησιν; οἴμοι, συνθάνοιμί σοι, τέκνον.
Ἐπεὶ δὲ θρήνων καὶ γόων ἐπαύσατο,
Χρῄζων γεραιὸν ἐξαναστῆσαι δέμας,
Προσείχεθ', ὥστε κισσὸς ἔρνεσιν δάφνης,
Λεπτοῖσι πέπλοις· δεινὰ δ' ἦν παλαίσματα.
Ὁ μὲν γὰρ ἤθελ' ἐξαναστῆσαι γόνυ,
Ἡ δ' ἀντελάζετ'· εἰ δὲ πρὸς βίαν ἄγοι,

Σάρ-

ΣΧΟΛΙΑ.

1196. Πλὴν τῷ τεκόντι) διὰ τὸ πᾶσι, τουτέστι πᾶσιν ἄλλοις. σφόδρα δυσεπίγνωστος ἦν, πλὴν τῷ τεκόντι. μόνος γὰρ οὗτος ἐπεγίνωσκε Γλαύκην, ἐπείπερ ὀξύτερον κατέγνω τὴν κόρην. Τὸ γὰρ οἰκεῖον πιέζει πάνθ' ὁμοίως· Εὐθὺς δ' ἀπήμων καρδία κᾶδος ἀμφ' ἀλλότριον. Πίνδαρος. 1201. Γναθμοῖς ἀδήλοις) αἱ δὲ σάρκες φησὶ τῶν γναθμῶν κατέρρεον, ὑπὸ τῶν ἀδηλοποιῶν φαρμάκων. δοτικῇ δὲ ἀντὶ τῆς γενικῆς κέχρηται. 1203. Τύχην γὰρ εἴχομεν) ἀντὶ τοῦ ἡ δυστυχία τῆς Γλαύκης καὶ τὸ περὶ ταύτην πάθος ἐπαίδευεν ἡμᾶς, καὶ ἀπέτρεπεν. 1204. Συμφορᾶς δὲ ἀγνωσίᾳ) ἤτοι ἀγνοῶν ἐκ φαρμακείας εἶναι τὸ πάθος, καὶ τὴν εὐμετάβολον αὐτοῦ φύσιν.

1209. Τίς

Et à nemine potuit facilè agnosci præterquam à
Nec oculorum enim clarus erat status, [patre.
Nec liberalis facies: sanguis verò ex summo
Capite stillabat mixtus igni,
Et caro ex ossibus, sicut piceæ lacrymæ,
Per genas defluebat arcanis illis pharmacis,
Horrendum spectaculum: omnes verò metuebant attingere
Cadaver. Fortunam enim habebamus magistram.
Sed infelix pater ignoratione mali,
Statim ingressus domum, irruit in eam jam mortuam,
Et statim cœpit ejulare, & manibus circundans *eam*,
Osculabatur, his *eam* compellans: O misera filia,
Quis Deorum tam turpitèr te perdidit?
Quis *me* senem silicernium orbatum te
Facit? hei mihi! Utinam tecum moriar, filia,
Postquam autem lamentationum & luctuum finem fecit,
Volens senile excitare corpus,
Adhæsit, sicut hedera ramis lauri,
Tenuibus peplis. erat autem horribilis lucta.
Ipse enim volebat excitare genu,
Ipsa verò retrahebat: si verò per vim trahebat,
Senilem

ΣΧΟΛΙΑ.

1209. Τίς τὸν γέροντα) τὸν πλησίον θανάτου ὄντα. τύμβους δὲ καλοῦσι τοὺς γέροντας, παρόσον πλησίον εἰσὶ τοῦ θανάτου καὶ τοῦ τάφου. 1213. Προσείχεθ' ὥσπερ κισσὸς) προσεκεκόλλητο, περιεπλέκετο τοῖς πέπλοις αὐτοῖς. ὥσπερ ὁ κισσὸς περιπλέκεται τοῖς περὶ αὐτὸν τυγχάνουσιν ἔρνεσιν. 1216. Ἡ δ' ἀντελάζετ') ἡ δὲ ἀντιλαμβάνετο, ὡς δὴ προσδοκῶσα ἀπαλλαγῆναι τοῦ κακοῦ. Εἰ δὲ πρὸς βίαν ἄγοι) ὅτε δὲ φησὶν αὐτὸς ἑαυτὸν ἐβούλετο ἀναστῆσαι βίᾳ, ὁμοῦ καὶ τὰς σάρκας ἀπέσπα.

1221. Πί-

Μη. Φίλαι, δέδοκται τοὔργον, ὡς τάχιστά μοι
Παῖδας κτανούσῃ, τῆσδ' ἀφορμᾶσθαι χθονός,
Καὶ μὴ σχολὴν ἄγουσαν ἐκδοῦναι τέκνα
Ἄλλῃ φονεῦσαι δυσμενεστέρᾳ χερί.
Πάντως σφ' ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρή,
Ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.
Ἀλλ' εἶ', ὁπλίζου καρδία· τί μέλλομεν
Τὰ δεινὰ κἀναγκαῖα μὴ πράσσειν κακά;
Ἄγ', ὦ τάλαινα χεὶρ ἐμή, λάβε ξίφος,
Λάβ', ἕρπε πρὸς βαλβῖδα λυπηρὰν βίου,
Καὶ μὴ κακισθῇς, μηδ' ἀναμνησθῇς τέκνων,
Ὡς φίλταθ', ὡς ἔτικτες· ἀλλὰ τήνδε γε
Λαθοῦ βραχεῖαν ἡμέραν παίδων σέθεν.
Κἄπειτα θρήνει. καὶ γὰρ εἰ κτείνεις σφ', ὅμως
Φίλοι γ' ἔφυσαν, δυστυχὴς δ' ἐγὼ γυνή.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

Χο. Ἰὼ γᾶ τε, καὶ παμφαὴς ἀκτὶς
Ἀελίου, κατίδετε, ἴδετε τὰν
Ὀλομέναν γυναῖκα, πρὶν φοινίαν
Τέκνοις προσβαλεῖν χέρ' αὐτοκτόνον·

Σᾶς

ΣΧΟΛΙΑ.

1238. Σχολὴν ἄγουσαν) διατριβὴν, βραδυτῆτα. καλῶς δὲ τῷ συνήθει χρήματι ἐχρήσατο, καὶ ἔστιν ἀντὶ τοῦ ἀλοῦσαν. 1245. Πρὸς βαλβῖδα) βαλβὶς κυρίως ἡ τῶν δρομέων ἄφεσις. ἄγε δὴ, ὦ Μήδεια, πρὸς ἄφεσιν ὅρμα, καὶ ἀρχὴν δυστυχοῦς βίου καὶ πράξεως ἐκτόπου. λέγει δὲ τοῦ φόνου τῶν παίδων. 1251. Ἰὼ γᾶ τε καὶ παμφαὴς) ὡς εἶδεν ὁ χορὸς, ὅτι πάντως ἔδοξε τῇ Μηδείᾳ φονεῦσαι τὰ τέκνα, καὶ ὥρμησε πρὸς τὴν πρᾶξιν, καὶ

Med. O amicæ, decretum eſt hoc negotium, quamprimum mihi
Liberos occidenti diſcedere ex hâc terrâ,
Neque cunctando prodere liberos
Ut interficiantur ab *aliâ* infeſtiore manu.
Omninò neceſſe eſt eos mori: quia verò id oportet,
Nos occidemus *eos*, qui etiam procreavimus.
Sed age, ô cor armeris: quid cunctamur
Mala dira, & neceſſaria facere?
Age ô miſera manus mea, arripe gladium,
Corripe, vade ad triſtem metam vitæ,
Et ne ſis ignava, neque memineris liberorum
O cariſſima, quòd *eos* pepereris! ſed hoc ſaltem
Brevi die obliviſcaris filiorum tuorum.
Poſteà verò luge: etſi enim occideris eos, tamen
Cari fuerunt, ſed ego infelix *ſum* mulier.

ANTISTROPHICA.

Strophe.

Iô terra, & omnia illuſtrans radius
Solis, aſpicite, videte illam
Perditam mulierem, priuſquam cruentam
Liberis admoveat manum, quæ cædem ipſa patrabit:

Tuo

ΣΧΟΛΙΑ.

καὶ ὅτι δυσχερὲς ἦν αὐτῷ τὸ κωλῦσαι τοῦτο τὸ ἐγχείρημα, θεοῦ δὲ μόνον τοῦτο, ἐπικαλεῖται τοὺς θεοὺς παρακλητικοῖς λόγοις, εἰς τὸ κωλῦσαι αὐτὴν τῆς τοιαύτης τόλμης. καὶ ἥλιον μὲν ἐπικαλεῖται, ὡς πρόγονον Μηδείας, καὶ ὅτι πάντ' ἐπακούει. τὴν δὲ γῆν, ὡς μέλλουσαν εἰσδέχεσθαι ταῖς μιαιφονίαις τὸ αἷμα. 1252. Καλείδετε) κατοικτείρατε, καὶ ἐλεήσατε ἀποβλέψαντες, καὶ προνοήσασθε, δι' οὗ τρόπου δυνατὸν αὐτὴν ἐπισχεθῆναι τοῦ φόνου τῶν παίδων.

Σᾶς γὰρ ἀπὸ χρυσέας
Γονᾶς ἔβλαστεν· θεῶν
Δ' αἷμα πίνειν φόβος ὑπ' ἀνέρων.
Ἀλλά νιν, ὦ φάος διογενές, κάτειργε,
Κατάπαυσον, ἔξελ' οἴκων φονίαν,
Τάλαινάν τ' ἐριννὺν ὑπ' ἀλαστόρων.

Ἀντιστροφή.

Μάταν μόχθος ἔρρει τῶν τέκνων,
Καὶ μάταν γένος φίλιον τέκες, ὦ
Κυανεᾶν λιποῦσα Συμπληγάδων
Πετρᾶν ἀξενωτάταν εἰσβολάν.
Δειλαία, τί σοι φρενῶν
Βαρὺς χόλος προσπίτνει,
Καὶ δυσμενὴς φόνος ἀμείβεται;
Χαλεπὰ γὰρ βροτοῖς ὁμογενῆ μιάσματ-
τ' ἐπὶ γαῖαν· αὐτοφόνταισι ξυνῳ-
δὰ θεόθεν πίτνοντ' ἐπὶ δόμοις ἄχη.

Παῖς. Οἴμοι, τί δράσω, ποῖ φύγω μητρὸς χέρας;
Ἑτ. Οὐκ οἶδ', ἀδελφὲ φίλτατ'· ὀλλύμεσθα γάρ.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χο. Ἀκούεις βοὰν, ἀκούεις, τέκνων; Ἰὼ

ΣΧΟΛΙΑ.

1256. Γονᾶς ἔβλαστεν) ἀντὶ τοῦ ἐβλάστησαν, ἔφυσαν. ἐπεὶ ἡ Μήδεια μὲν ἔκγονος ἡλίου, οὗτοι δὲ ἐκ Μηδείας. θεῶν δ' αἷμα, γένος. ἐπεὶ οὖν φόβος ἐστὶ τὸ θεῖον αἷμα ὑπὸ ἀνθρώπων πεσεῖν, καὶ σὺ αὐτὴν τιμωρήσαι. 1259. Ἔξελ' οἴκων) τὸ ἑξῆς, ὑπέξελε τῶν οἴκων τὴν φονίαν τὴν ἐριννὺν τῶν ἀλαστόρων. τάλαιναν δὲ ἐριννὺν αὐτὴν φησὶ τὴν Μηδείας δαίμονα, οὐ τὴν Μήδειαν. ὑπείληπται γὰρ τῶν τοιούτων κακῶν αἰτία εἶναι ἐριννύς. τάλαιναν δὲ τὴν ταλαίνας ποιοῦσαν. 1261. Μάταν μόχθος) μάτην φησὶν ὑπὸ δαιμόνων πονηρῶν ἀπόλλυται τὰ τέκνα, μηδὲν πεποιηκότα. μόχθος δὲ τέκνων, ὁ μοχθηρὸς βίος τῶν τέκνων. λέγει δὲ περιφραστικῶς τὰ κακὰ πάθη, καὶ μοχθηρὰ τέκνα. 1264. Πετρᾶν ἀξενωτάτων) περιφραστικῶς

τὴν

Tuo enim ex aureo
Genere orti sunt; Deorum
Autem sanguinem nefas *est* cadere ab hominibus.
Quamobrem ipsam, ô divinum lumen, coerce,
Compesce, expelle ex ædibus cruentam
Miserámque furiam à malis dæmonibus *agitatam.*

Antistrophe.

Frustrà labor perit liberorum,
Et frustrà peperisti charum genus, ô tu
Quæ reliquisti Cyanearum Symplegadum
Scopulorum inhospitalissimum ingressum.
Infelix *tu*, Quid tibi animi
Accedit gravis indignatio,
Et *ei* succedit hostilis cædes?
Noxia enim *sunt* hominibus in cognatos piacula in terrâ.
Homicidis scio
Divinitus immitti mala in domum.

Puer. Heu quid faciam, quò effugiam manus matris?

Alt. Nescio, charissime frater; perimus enim.

MONOSTROPHICA.

Ch. Audis clamorem, audis, liberos?

O

ΣΧΟΛΙΑ.

τὴν Προποντίδα, παρ᾽ ὅσον οἱ προσβάλλοντες τῷ τόπῳ σαφῶς διαφθείρονται. 1269. Αὐτοφόνταις) τοῖς αὐτοχειρίοις, τούτοις σύμφωνα, καὶ ἄξια τοῦ τολμήματος ἄχη κακὰ παρὰ τῶν θεῶν ἐστι προσπίπτοντα. θέλει δὲ εἰπεῖν, ὅτι ἀξίως οἱ θεοὶ τούτους κολάζουσιν. ὁ δὲ νοῦς, χαλεποὶ οἱ φόνοι τοῖς αὐτοχειρίοις, τουτέστι χαλεπὸν μίασμα καὶ δυσέκνιπτον ὁ φόνος ὁ κατὰ τῶν ὁμογενῶν τοῖς τολμῶσιν αὐτόν. γράφεται δὲ, καὶ ξυνῳδὰ, ὅ ἐστι τὸ ἑξῆς ξυνῳδὰ θεόθεν ἐπὶ δόμοις πιτνοῦντ᾽ ἄχη. χαλεπὰ γὰρ βροτοῖς ὁμογενῆ μιάσματα ἐπὶ γαῖαν αὐτοφόνταις. 1273. Ἀκούεις βοὰν) τοῦτο πρὸς ἀλλήλους αἱ ἀπὸ τοῦ χοροῦ φασὶν πρὸς ἐρώτησιν. τὸ δὲ ὦ κακοτυχὲς γύναι, ἰδίως πρὸς τὴν Μήδειαν ἀναπεφώνηται. τὸ δὲ Παρέλθω δόμους, πάλιν πρὸς ἀλλήλους· τὸ δὲ ἀρῆξαι φόνον δοκεῖ μοι τέκνοις, κατὰ ἀπόφασιν.

Ἰὼ τλᾶμον, ἰὼ κακοτυχὲς γύναι.
Παρέλθω δόμους· ἀρῆξαι φόνον
Δοκεῖ μοι τέκνοις.
Παι. Ναὶ πρὸς θεῶν ἀρήξατ', ἐν δέοντι γάρ·
Ὡς ἐγγὺς ἤδη γ' ἐσμὲν ἀρκύων ξίφους.
Χο. Τάλαιν', ὡς ἄρ' ἦσθα πέτρος, ἢ σίδαρος, ἅ τις τέκνων, ὧν ἔτεκες,
Ἄροτον αὐτόχειρι μοίρᾳ κτενεῖς.
Μίαν δὴ κλύω, μίαν τῶν πάρος
Γυναῖκα φίλοις χέρα προσβαλεῖν τέκνοις,
Ἰνὼ μανεῖσαν ἐκ θεῶν, ὅθ' ἡ Διὸς
Δάμαρ νιν ἐξέπεμψε δωμάτων ἄλῃ.
Πίτνει δ' ἁ τάλαιν' ἐς ἅλμαν, φόνῳ
Τέκνων δυσσεβεῖ,
Ἀκτῆς ὑπερτείνασα ποντίας πόδα.
Δυοῖν δὲ παίδοιν ξυνθανοῦσ', ἀπόλλυται.
Τί δή ποτ' οὖν γένοιτ' ἂν ἔτι δεινόν;
« Ὦ γυναικῶν λέχος πολύπονον,
« Ὅσα δὴ βροτοῖς ἔρεξας ἤδη κακά;

Ἰαμβοί.

Ἰά. Γυναῖκες, αἳ τῆσδ' ἐγγὺς ἕστατε στέγης,
Ἆρ' ἐν δόμοισιν ἡ τὰ δείν' εἰργασμένη

Μήδεια

ΣΧΟΛΙΑ.

1280. Ἅ τις τέκνων) ἥτις τὸν ἄροτον τῶν τέκνων, ὧν ἔτεκες, αὐτοχειρὶ θανάτῳ κτενεῖς. 1284. Ἰνὼ μανεῖσαν) Ἰνὼ κατὰ χόλον τῆς Ἥρας μανεῖσα, ἔρριψεν αὐτὴν εἰς τὴν θάλασσαν, ἅμα τῷ υἱῷ αὐτῆς Μελικέρτῃ. ἐμίσει γὰρ πάντας τοὺς Θηβαίους ἡ Ἥρα, διότι παρ' αὐτοῖς ἐτέχθη ὁ Διόνυσος. καὶ αὐτὸς δὲ ὁ Διόνυσος ἐξέμηνε τὰς τούτων γυναῖκας, μὴ προσιεμένων αὐτὸν ὕστερον τῶν Θηβαίων. ἴσως δὲ καὶ τοῦτο τῆς Ἥρας ἐργασαμένης. οἱ μὲν οὖν ἱστοροῦσι τῷ παιδὶ συγκατενεχθῆναι τὴν Ἰνὼ εἰς τὴν θάλασσαν. Εὐριπίδης δὲ φησὶν αὐτόχειρα τῶν δύο παίδων γενομένην, Λεάρχου καὶ Μελικέρτου, αὐ-

τὴν

O misera, ô mulier infelix,
Accedam domum; depellere necem
A liberis videtur mihi.

Puer. Ita per deos ferte opem, opportunè enim
Quia sumus jam prope retia gladii. [*feretis:*

Cho. O misera, quàm es saxum, aut ferrum, quæ liberorum, quos peperisti,
Frugem parricidiali modo occîdes?
Unam hactenus audio, unam *tantum* de priscis
Mulierem injecisse manum caris liberis,
Ino furentem divinitùs, quando Jovis illa
Conjux ipsam emisit extra domum in exilium.
Misera verò cadit in mare propter cædem
Impiam liberorum,
Pedem supra marinum littus extendens.
Moriens verò cum duobus filiis, periit.
Quidnam igitur potest accidere tristius?
" O mulierum conjugia ærumnosa,
" Quanta hominibus mala jam attulistis?

Jason.

Mulieres, quæ statis prope hanc domum,
Num in ædibus *est* illa quæ facinus hoc atrox commisit

Medæa

ΣΧΟΛΙΑ.

τὴν ὕστερον εἰς τὴν θάλασσαν ῥίψαι. Φασὶ δὲ αὐτοὺς εἰς Κόρινθον ἐκβρασθέντας, Ἰνὼ καὶ Μελικέρτην ἀναληφθῆναι παρὰ Σισύφου, ὃς καὶ ἀγῶνα Ἴσθμιον ἐπὶ Μελικέρτῃ κατὰ χρησμὸν θεῖναι τοῦτο ἐωρακότος. Μανεῖσαν) κατὰ χόλον τῆς Ἥρας Ἀθάμαντος κατατοξεύσαντος Λέαρχον, τὸν ἐξ Ἰνοῦς γενόμενον αὐτῷ παῖδα. καὶ αὐτὴ δὲ ἡ Ἰνὼ μανεῖσα ὑπὸ τῆς Ἥρας (ὤργιστο γὰρ αὐτῇ, ὅτι ἐτιθηνήκει τὸν Διόνυσον) τὸν ἕτερον ἑαυτῆς παῖδα ἐπισφάξασα Μελικέρτην, ἥλατο σὺν αὐτῷ εἰς τὴν θάλασσαν. Εὐριπίδης δὲ φησὶν, αὐτὴν αὐτόχειρα γενομένην Λεάρχου καὶ Μελικέρτου, ὕστερον εἰς τὴν θάλασσαν ἁλέσθαι.

Μήδεια τοῖσιν, ἢ μεθέστηκεν φυγῇ;
Δεῖ γάρ νιν ἤτοι γῆς σφε κρυφθῆναι κάτω,
Ἢ πτηνὸν ἆραι σῶμ᾽ ἐς αἰθέρος βάθος,
Εἰ μὴ τυράννων δώμασιν δώσει δίκην.
Πέποιθ᾽, ἀποκτείνασα κοιράνους χθονὸς,
Ἀθῷος αὐτὴ τῶνδε φεύξεσθαι δόμων;
Ἀλλ᾽ οὐ γὰρ αὐτῆς φροντίδ᾽, ὡς τέκνων ἔχω·
Κείνην μὲν, οὓς ἔδρασεν, ἕρξουσιν κακῶς·
Ἐμῶν δὲ παίδων ἦλθον ἐκσῶσαι βίον,
Μή μοί τι δράσωσ᾽ οἱ προσήκοντες γένει,
Μητρῷον ἐκπράσσοντες ἀνόσιον φόνον.
Χο. Ὦ τλῆμον, οὐκ οἶσθ᾽, οἷ κακῶν ἐλήλυθας
Ἰᾶσον· οὐ γὰρ τούσδ᾽ ἂν ἐφθέγξω λόγους.
Ἰά. Τί δ᾽ ἐστίν; ἦπου κἄμ᾽ ἀποκτεῖναι θέλει;
Χο. Παῖδες τεθνᾶσι χειρὶ μητρῴᾳ σέθεν.
Ἰά. Οἴμοι, τί λέξεις; ὥς μ᾽ ἀπώλεσας, γύναι.
Χο. Ὡς οὐκέτ᾽ ὄντων σῶν τέκνων φρόντιζε δή.
Ἰά. Ποῦ γάρ νιν ἔκτειν᾽, ἐντὸς, ἢ ᾽ξωθεν δόμων;
Χο. Πύλας ἀνοίξας, σῶν τέκνων ὄψει φόνον.
Ἰά. Χαλᾶτε κλῇδας, ὡς τάχιστα, πρόσπολοι·
Ἐκλύεθ᾽ ἁρμοὺς, ὡς ἴδω διπλοῦν κακὸν,
Τοὺς μὲν θανόντας, τὴν δὲ τίσωμαι δίκην.
Μή. Τί τάσδε κινεῖς κἀναμοχλεύεις πύλας,
Νεκροὺς ἐρευνῶν, κἀμὲ τὴν εἰργασμένην;
Παῦσαι πόνου τοῦδ᾽· εἰ δ᾽ ἐμοῦ χρείαν ἔχεις,

Λέγ᾽

ΣΧΟΛΙΑ.

1296. Δεῖ γάρ νιν) δεῖ γὰρ αὐτὴν ἢ καταβαραθρωθῆναι, ἢ ἀναπτῆναι, εἰ ἄρα πέποιθε μὴ δώσειν δίκην τῶν τολμηθέντων. 1300. Ἀθῷος) ἀντὶ τοῦ φεύξει) ἀτιμώρητος. Μητρῷον τὸν τῆς μητρὸς φόνον ἐκπράσσοντες αὐτοὺς ἀντὶ τοῦ δίκην ἀπαιτοῦντες, ὑπὲρ οὗ εἰργά-

Medæa hisce, an hinc se proripuit fuga?
Oportet enim ipsam aut abscondi sub terrâ,
Aut attollere volatile corpus in aeris vastitatem,
Nisi regum domui det pœnas. [terræ,
Num confidit, cùm interfecerit principes *hujus*
Se posse impunitam aufugere ex his ædibus?
Sed non tam ipsius, quàm liberorum curam
gero:
Illam enim, quos *malis* affecit, tractabunt male:
Meorum verò liberorum veni ut servarem vitam,
Nè aliquid mihi faciant *Creontis* cognati,
Vindicantes injustam cædem à Matre *eorum*
perpetratam.

Cho. O infelix, nescis quò malorum veneris,
Jason: nam non dixisses hæc verba.

Ja. Quid est, an vult etiam me occidere?

Cho. Liberi tui manu matris perierunt.

Ja. Heu quid dicis? quàm me perdidisti mulier!

Cho. Cogita igitur tanquam de mortuis liberis tuis.

Ja. Ubinam eos interfecit, intusne, an extra domum?

Cho. Aperi fores, & videbis cædem tuorum liberorum.

Ja. Laxate feras quàm celerrimè, ministri,
Solvite repagula, ut videam geminum malum,
Hos *liberos* interfectos, & ut illam puniam.

Med. Quid hasce moves, & vectibus removes
portas,
Quærens mortuos, & me quæ *cædem* patravi?
Desiste ab hoc labore; si verò tibi me opus est,
Dic

ΣΧΟΛΙΑ.

εἰργάζετο φόνου ἡ τούτων μήτηρ. τὸ ἑξῆς Παῖδες σέθεν τεθνᾶσι μητρῴᾳ χειρί, ἄνω ἐπὶ τοῦ πύργου ἑστῶσα, ταῦτα λέγει.

1320. Χειρὶ

Λέγ' εἴ τι βούλει· χειρὶ δ' οὐ ψαύσεις ποτέ·
Τοιόνδ' ὄχημα πατρὸς Ἥλιος πατὴρ
Δίδωσιν ἡμῖν, ἔρυμα πολεμίας χερός.
Ια. Ὦ μῖσος, ὦ μέγιστον ἐχθίστη γύναι
Θεοῖς τε, κἀμοὶ, παντί τ' ἀνθρώπων γένει,
Ἥτις τέκνοισι σοῖσιν ἐμβαλεῖν ξίφος
Ἔτλης, τεκοῦσα, κἀμ' ἄπαιδ' ἀπώλεσας.
Καὶ ταῦτα δράσασ', ἥλιόν τε προσβλέπεις,
Καὶ γαῖαν, ἔργον τλᾶσα δυσσεβέστατον.
Ὄλοιο. ἐγὼ δὲ νῦν φρονῶ, τότ' οὐ φρονῶν,
Ὅτ' ἐκ δόμων σε, βαρβάρου τ' ἀπὸ χθονὸς
Ἑλλήν' ἐς οἶκον ἠγόμην, κακὸν μέγα,
Πατρός τε, καὶ γῆς προδότιν, ἥ σ' ἐθρέψατο.
Τὸν σὸν δ' ἀλάστορ' εἰς ἔμ' ἔσκηψαν θεοί·
Κτανοῦσα γὰρ δὴ σὸν κάσιν παρέστιον,
Τὸ καλλίπρωρον εἰσέβης Ἀργοῦς σκάφος.
Ἤρξω μὲν ἐκ τοιῶνδε· νυμφευθεῖσα δὲ
Παρ' ἀνδρὶ τῷδε, καὶ τεκοῦσά μοι τέκνα,
Εὐνῆς ἕκατι καὶ λέχους σφ' ἀπώλεσας.
Οὐκ ἔστιν ἥτις τοῦτ' ἂν Ἑλληνὶς γυνὴ
Ἔτλη ποθ', ὧν γε πρόσθεν ἠξίουν ἐγὼ
Γῆμαί σε, κῆδος ἐχθρὸν, ὀλέθριόν τ' ἐμοὶ,
Λέαιναν, οὐ γυναῖκα, τῆς Τυρσηνίδος

Σκύλ-

ΣΧΟΛΙΑ.

1320. Χειρὶ δ' οὐ ψαύσεις) ἀντὶ τοῦ, οὐ δυνήσῃ κατασχεῖν ἡμᾶς, οὐδὲ καταλαβεῖν. ἔχομεν γὰρ ὄχημα πρὸς ἀποφυγὴν τῶν πολεμίων. ἐπὶ ὕψους γὰρ περιφαίνεται ἡ Μήδεια, ὀχουμένη δρακοντείοις ἅρμασι, καὶ βαστάζουσα τοὺς παῖδας. 1334. Παρέστιον) Ἄψυρτον, τὸν ἀδελφὸν παρὰ τὴν ἑστίαν καὶ τὸν βωμὸν ἀνεῖλεν, ὡς ἔνιοι· ἢ ἐπὶ τῷ βωμῷ τῆς Ἀρτέμιδος, ὡς Ἀπολλώνιος φησίν. ἢ ἔποικον ἐν τῇ πατρίδι, ὡς Καλλίμαχος. 1342. Τῆς Τυρσηνίδος) τῆς Σικελικῆς,

Τυρση-

Dic si quid vis. Nunquam verò manu *me* attinges:
Talem currum Sol pater patris
Dat nobis, propugnaculum contra manum hostilem.
Ja. O scelus, ô maximè invisa mulier
Diis, & mihi, & universo mortalium generi,
Quæ tuis liberis injicere gladium
Ausa es, quos peperisti, & me filiis orbatum perdidisti:
Et cùm hæc feceris, tamen solem aspicis,
Et terram, *qua* ausa *es* rem impiissimam.
Pereas. Ego vero nunc *primùm* sapio, tunc non sapiens,
Cùm te ex domo, & terrâ barbarâ
Duxi in domum Græcam, magnum malum,
Et patris & terræ, quæ te nutrivit, proditricem.
Dii verò immiserant in me tuum malum dæmonem;
Nam occiso jam tuo fratre *Absyrto*, quocum simul educata es,
Conscendisti navem Argo, habentem pulchram proram.
Hæc quidem sunt tua initia. Inde verò nupta
Huic viro, *i. e. mihi*, & cùm pepereris mihi liberos,
Propter lectum, & *alias* nuptias, eos perdidisti.
Nulla est Græca mulier, quæ hoc
Unquam ausa esset: præ quibus ego te dignam duxi,
Quam ducerem, connubium infestum, & mihi perniciosum,
Leænam, non mulierem, Tyrrhenâ

Scyllâ

ΣΧΟΛΙΑ.

Τυρσηνὸν τὸ πέλαγος Σικελίας. ἐκ τούτων φανερός ἐστιν Εὐριπίδης, τὴν Ὀδυσσείως πλάνην περὶ Ἰταλίαν καὶ Σικελίαν ὑπειληφὼς γεγονέναι. 1346. Ἔρρ'

Ιά. Ἤ τις γε σώφρων· σοὶ δὲ πάντ' ἐστὶν κακά.
Μή. Οἵδ' οὐκέτ' εἰσί· τοῦτο γάρ σε δήξεται.
Ιά. Οἵδ' εἰσίν, οἴμοι, σῷ κάρᾳ μιάστορες.
Μή. Ἴσασιν, ὅστις ἦρξε πημονῆς, θεοί.
Ιά. Ἴσασι δῆτα σήν γ' ἀπόπτυστον φρένα.
Μή. Στυγεῖ· πικρὰν δὲ βάξιν ἐχθαίρω σέθεν.
Ιά. Καὶ μὴν ἐγὼ σήν· ῥᾴδιοι γ' ἀπαλλαγαί.
Μή. Πῶς οὖν; τί δράσω; κάρτα γὰρ κἀγὼ θέλω.
Ιά. Θάψαι νεκρούς μοι τούσδε, καὶ κλαῦσαι πάρες.
Μή. Οὐ δῆτ', ἐπεί σφας τῇδ' ἐγὼ θάψω χερί,
Φέρουσ' ἐς Ἥρας τέμενος ἀκραίας θεοῦ,
Ὡς μή τις αὐτοὺς πολεμίων καθυβρίσῃ,
Τύμβους ἀνασπῶν. γῇ δὲ τῇδε Σισύφου
Σεμνὴν ἑορτὴν καὶ τέλη προσάψομαι
Τολοιπὸν ἀντὶ τοῦδε δυσσεβοῦς φόνου.
Αὐτὴ δὲ γαῖαν εἶμι τὴν Ἐρεχθέως,
Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος.
Σὺ δ', ὥσπερ εἰκός, κατθανῇ κακὸς κακῶς,
Ἀργοῦς κάρα σὸν λειψάνῳ πεπληγμένος,
Πικρὰς τελευτὰς τῶν ἐμῶν ἰδὼν γάμων.

Ἀνάπαιστοι.

Ιά. Ἀλλά σ' Ἐρινὺς ὀλέσειε τέκνων, Φονία

ΣΧΟΛΙΑ.

1369. Ἤ τις γε σώφρων) ναὶ φησὶν ἐκείνῃ, ἥτις σώφρων γυνὴ, οὐδὲν ἠδικῆσθαι νομίζει τοῦ ἀνδρὸς ἐφ' ἕτερον λέχος τραπέντος. 1379. Φέρουσ' ἐς Ἥρας) Ἥραια πάνδημος ἑορτὴ παρὰ Κορινθίοις. ἀκραία δὲ εἴρηται, παρὰ τὸ ἐν ἀκροπόλει ἱδρῦσθαι, τέλη δὲ λέγει τὰ μυστήρια, καὶ τὰς τελετάς. ἐγὼ δὲ φησὶ προσποιήσω αὐτοῖς πάνδημον ἑορτὴν, ἐν ᾗ πανηγυρίσουσι πάντες οἱ δημόται θυσίας ἐπιτελοῦντες αὐτοῖς, θύουσι δὲ αὐτοῖς καὶ Ἀργεῖοι κατὰ χρησμόν. 1387. Ἀργοῦς κάρα σὸν λειψάνῳ) ἱστορεῖται Ἰάσων τέλει τοιούτῳ χρήσασθαι. κοιμώμενον γὰρ αὐτὸν ὑπὸ τὴν Ἀργὼ καταπεσοῦσαν ὑπὸ πολλοῦ χρόνου, μέρος τι ταύτης ἐκπεσὸν κατὰ τῆς κεφαλῆς ἔκρουσεν· Ἀργοῦς οὖν λειψάνῳ λέγει, ἀντὶ τοῦ μέρει τινὶ τῆς Ἀργοῦς. Ἄλλως. οἱ μὲν

λέγουσι

Ja. Quæ quidem modesta sit: tibi verò omnia sunt mala.

Med. Sed hi sunt mortui: hoc enim te mordebit.

Ja. Isti verò sunt, hei mihi, tuo capiti dæmones infesti.

Med. Dii nôrunt, quis cœperit hoc malum.

Ja. Nôrunt sanè tuum abominabilem animum.

Med. Odiosus es *mihi*, amarulentumque tuum sermonem odi.

Ja. Et ego tuum. Facilis est Discessio *& Separatio*.

Med. Quomodo igitur? quid faciam? vehementer enim & ego cupio.

Ja. Sine me hos mortuos sepelire, & lugere.

Med. Nequaquam, quia ego sepeliam eos hâc manu,
Ferens in locum Junonis deæ Acrææ, *i. e. arcium custodis*,
Nè quis hostium eos contumeliâ afficiat,
Sepulchrum revellens. In hâc porrò terrâ Sisyphi
Constituam præclarum festum, & sacrificia
Deinceps pro istâ impiâ cæde.
Ego verò vado in terram Erechthei,
Habitatura *cum* Ægeo *filio* Pandionis.
Tu verò, quemadmodum convenit, malus malè morieris,
Percussus caput tuum reliquiis *navis* Argûs,
Ubi videris miserum exitum mearum nuptiarum.

Jason.

Sed te Erinnys perdat *cæsorum* filiorum *causâ*,
Cædis-

ΣΧΟΛΙΑ.

λέγουσι κατὰ Μηδείας χόλον ἢ κέλευσιν ὑπὸ τῇ πρύμνῃ τῆς Ἀργοῦς καταδαρθέντα τὸν Ἰάσονα τελευτῆσαι, ἐμπεσόντος αὐτῷ ξύλου. Νεόφρων ξενικῶς μετὰ τὴν παράγραφον εἰσφέρει τὴν Μήδειαν πρὸς αὐτὸν εἰποῦσαν, Τέλος γὰρ αὐτὸς ἐχθίω μοῖραν φέρεις, Βρόχειον αἰσχύνης ἐπισπάσας δέρῃ· Τοία σε μοῖρα σῶν κακῶν ἔργων μένει· Διδάξεις δὲ τ' ἄλλους μυρίους ἐφημέρους, Θεῶν ὑπέρθε μήποτ' αἴρεσθαι βροτούς.

Φονία τε Δίκη.
Μή. Τίς δὲ κλύει σοῦ θεὸς ἢ δαίμων,
Τοῦ ψευδόρκου καὶ ξειναπάτα;
Ιά. Φεῦ, φεῦ, μυσαρὰ καὶ παιδολέτορ.
Μή. Στεῖχε πρὸς οἴκους, καὶ θάπτ' ἄλοχον.
Ιά. Στείχω δισσῶν γ' ἄμορος τέκνων.
Μή. Οὔπω θρηνεῖς· μένε καὶ γῆρας.
Ιά. Ὦ τέκνα φίλτατα. Μ. μητρί γε, σοὶ δ' οὔ.
Ιά. Κἄπειτ' ἔκτας; Μ. πημαίνουσα σέ.
Ιά. Αἶ, αἶ· φιλίου χρῄζω στόματος
Παίδων ὁ τάλας προσπτύξασθαι.
Μή. Νῦν σφε προσαυδᾷς, νῦν ἀσπάζῃ,
Τότ' ἀπωσάμενος. Ιά. δός μοι πρὸς θεῶν
Μαλακοῦ χρωτὸς ψαῦσαι τέκνων.
Μή. Οὐκ ἔστι. μάτην λόγος ἔρριπται.
Ιά. Ζεῦ, τάδ' ἀκούεις, ὡς ἀπελαυνόμεθ', οἷά τε πάσχομεν ἐκ τῆς μυσαρᾶς
Καὶ παιδοφόνου τῆσδε λεαίνης;
'Αλλ' ὁπόσον γοῦν πάρα καὶ δύναμαι,
Τάδε θρηνῶ, κἀπιθεάζω
Μαρτυρόμενος δαίμονας, ὥς μοι
Τέκνα κτείνασ', ἀποκωλύεις
Ψαῦσαί τε χεροῖν, θάψαι τε νεκρούς,
Οὓς μήποτ' ἐγὼ φύσας ὤφελον
Πρὸς σοῦ φθιμένους ἐπιδέσθαι.
Χο. " Πολλῶν ταμίας Ζεὺς ἐν Ὀλύμπῳ,
" Πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί,
" Καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
" Τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.
Τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

Εὐριπίδου Μηδείας Τέλος.

Cædiſque vindex Juſtitia.
Med. Quis verò deus, aut dæmon audiret te
Perjurum, & deceptorem-hoſpitum?
Ja. Hei hei ſceleſta, & interfectrix-liberorum!
Med. Vade domum, & ſepelias uxorem *tuam*.
Ja. Vado, orbatus duobus pueris.
Med. Nondum lamentaris *ſatis*; expecta & ſenectam.
Ja. O cariſſimi liberi. *M.* Matri quidem, tibi verò nequaquam.
Ja. Et tamen *eos* occidiſti? *M.* Ut tibi nocerem.
Ja. Heu heu, cupio carum os
Miſer ego liberis admovere.
Med. Nunc ipſos alloqueris, nunc ſalutas,
Tunc repellens. *Ja.* Da mihi per deos
Ut poſſim attingere tenerum corpus liberorum.
Med. Non licet: fruſtrà à *te hæc* verba ſunt projecta.
Ja. O Jupiter, audis hæc, quomodo repellimur, & qualia patimur ab execrandâ
Et interfectrice liberorum hâc leænâ?
Sed quantum ſaltem licet, & poſſum,
Hæc lamentor, & concitus feror,
Obteſtans deos, quòd me
Liberos, quos necâſti, prohibes
Attingere manibus, & ſepelire mortuos.
Quos (*utinam*) nunquam ego qui genui, debuiſſem
A te perditos aſpicere.
Ch. " Multarum *rerum* Jupiter *eſt* diſpenſator in cœlo,
" Multáque præter ſpem perficiunt Dii,
" Et ſperata non fiunt,
" Eorum verò, quæ non ſperantur, Deus exitum invenit.
Talis evaſit hæc res. *Talem eventum eſt ſortita.*

Euripid. Medææ Finis.

ΥΠΟΘΕΣΙΣ
ΦΟΙΝΙΣΣΩΝ.

Ἐτεοκλῆς παραλαβὼν τὴν τῶν Θηβῶν βασιλείαν, ἀποστερεῖ τοῦ μέρους τὸν ἀδελφὸν αὐτοῦ Πολυνείκην· φυγὰς δὲ ἐκεῖνος εἰς Ἄργος παραγενόμενος, ἔγημε τὴν θυγατέρα τοῦ βασιλέως Ἀδράστου· κατελθεῖν δὲ εἰς τὴν πατρίδα φιλοτιμούμενος, καὶ πείσας τὸν πενθερὸν, συνήθροισεν ἀξιόλογον στρατὸν κατὰ τοῦ ἀδελφοῦ, καὶ εἰς Θήβας ἐλήλυθεν· ἡ δὲ μήτηρ αὐτοῦ Ἰοκάστη, ἐποίησεν αὐτὸν ὑπόσπονδον ἐλθεῖν εἰς τὴν πόλιν, καὶ διαλεχθῆναι πρότερον τῷ ἀδελφῷ περὶ τῆς ἀρχῆς. δυναστευτικώτατος δὲ ὑπὸ τῆς τυραννίδος τοῦ Ἐτεοκλέους, ἡ μὲν Ἰοκάστη συναγαγεῖν τὰ τέκνα οὐκ ἠδυνήθη πρὸς φιλίαν. Πολυνείκης δὲ, ὡς πρὸς πόλεμον λοιπὸν παρασκευαζόμενος, ἀνεχώρησε τῆς πόλεως. ἔχρησε δὲ ὁ Τειρεσίας νίκην ἔσεσθαι τοῖς Θηβαίοις, ἐὰν ὁ παῖς Κρέοντος Μενοικεὺς σφάγιον Ἄρει γένηται. ὁ μὲν οὖν Κρέων ἠρνήσατο ἐπιδοῦναι τῇ πόλει τὸν παῖδα. ὁ δὲ νεανίσκος ἐβούλετο· καὶ τοῦ πατρὸς αὐτοῦ φυγὴν μετὰ χρημάτων διδόντος, ἑαυτὸν ἀπέσφαξε, καὶ δὴ καὶ ἔσφαξε. Θηβαῖοι δὲ τοὺς ἡγεμόνας τῶν Ἀργείων ἔσφαξαν. Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης μονομαχήσαντες, ἀνεῖλον ἀλλήλους. ἡ μὲν οὖν μήτηρ αὐτῶν εὑροῦσα νεκροὺς τοὺς υἱοὺς, ἑαυτὴν κατέσφαξεν. ὁ δὲ ταύτης ἀδελφὸς Κρέων παρέλαβε τὴν δυναστείαν. οἵ τε Ἀργεῖοι ἡττηθέντες τῇ μάχῃ, ἀνεχώρησαν. Κρέων δὲ δυσχερῶς φέρων, τοὺς μὲν ὑπὸ τῇ Καδμείᾳ τῶν πολεμίων πεσόντας οὐκ ἔδωκεν εἰς ταφήν. Πολυνείκην δὲ ἄταφον ἔρριψεν. Οἰδίπουν δὲ φυγάδα τῆς πατρίδος ἀπέπεμψεν, ἐφ᾽ ὧν μὲν οὐ φυλάξας τὸν ἀνθρώπινον νόμον, ἐφ᾽ ὧν δὲ τὴν ὀργὴν λογισάμενος, οὐδὲ περὶ τὴν δυστυχίαν ἐλεήσας.

ΚΑΙ ΑΛΛΩΣ.

Περιπαθεῖς ἄγαν αἱ Φοίνισσαι τῇ τραγῳδίᾳ. ἀπώλετο γὰρ ὁ Κρέοντος υἱὸς ἀπὸ τοῦ τείχους ὑπὲρ τῆς πόλεως ἀποθανών. ἀπέθανον δὲ καὶ οἱ δύο ἀδελφοὶ ὑπ᾽ ἀλλήλων. καὶ Ἰοκάστη ἡ μήτηρ αὐτῶν, ἑαυτὴν ἀνεῖλεν ἐν τοῖς παισί. καὶ οἱ ἐπὶ Θήβας στρατευσάμενοι Ἀργεῖοι ἀπώλοντο· καὶ ἄταφος Πολυνείκης πρόκειται. καὶ Οἰδίπους τῆς πατρίδος ἐκβάλλεται, καὶ σὺν αὐτῷ ἡ θυγάτηρ Ἀντιγόνη. Ἔστι δὲ τὸ δρᾶμα καὶ πολυπρόσωπον, καὶ γνωμῶν πολλῶν μεστὸν καὶ καλῶν. ὁ χορὸς ἐκ τῶν Φοινισσῶν παρθένων (ὅθεν καὶ τὸ δρᾶμα ἐπεκλήθη) τῶν ἐκ τῆς Παλαιστίνης.

Ἔστι μὲν ταῖς σκηνικαῖς ὄψεσι καλὸν τὸ δρᾶμα, ἐπεὶ καὶ παραπληρωματικόν. ἥτε ἀπὸ τῶν τειχέων Ἀντιγόνη θεωροῦσα, μέρος οὐκ ἔστι δράματος. καὶ ὑπόσπονδος Πολυνείκης οὐδενὸς ἕνεκα παραγίνεται. ἔτι ἐπὶ πᾶσι μετ᾽ ᾠδῆς ἀδολέσχου φυγαδευόμενος ὁ Οἰδίπους προσερρίπται διὰ κενῆς.

ARGUMENTUM PHOENISSARUM.

E*Teocles* accepto regno *Thebarum*, privat parte fratrem suum *Polynicem*. Exul ille *Argos cùm venisset*, duxit filiam regis *Adrasti*. Cupiens autem redire in patriam, & persuaso socero, congregavit magnum exercitum contra fratrem, & ad *Thebas* venit: mater ejus *Jocasta* effecit, ut fidè datâ, in urbem veniret, & disceptaret prius cùm fratre de jure regni. Terribiliter se gerente *Eteocle* propter tyrannidem, mater *Jocasta* filios in concordiam recomponere non potuit. Quare Polynices in reliquum tanquam ad bellum se comparans, urbe excessit. Vaticinatur *Tiresias*, victoriam propositam esse *Thebanis*, si filius *Creontis Menœceus Marti* sacrificaretur. *Creon* verò se daturum filium civitati inficiatur: juvenis tamen voluit, h. e. datis pecuniis ad fugam instruendam, mortem sibi conscivit, & negotium peregit. Inde *Thebani* duces *Argivorum* interfecerunt. *Eteocles* verò & *Polynices* singulari certamine congressi, trucidârunt se mutuò. Mater eorum inveniens mortuos filios, sibi ipsi mortem conscivit. Ejus autem frater *Creon* regnum accepit, & *Argivi* superati in pugnâ, cesserunt. *Creon* ægrè ferens, hostes, qui sub *Cadmeam* occubuerant, reddere ad sepulturam negat. *Polynicem* quoque inhumatum abjecit, *Oedipum* verò misit in exilium: in aliquibus haud servans humanam legem, in aliquibus iram sequens, neque miseratus calamitatem eorum.

ELOGIUM VETUS.

Plena est animi motuum *Phœnissæ* Tragœdia. Moritur enim filius *Creontis*, pro civitate de muro præceps actus: mortui sunt & fratres duo mutuâ cæde: & mater eorum *Jocasta* seipsam interfecit super filios: & *Argivi*, qui adversus *Thebas* duxerant exercitum, occidunt: & insepultus *Polynices* projicitur: & *Oedipus* è patriâ ejicitur, & cum eo filia *Antigone*. Fabula hæc habet multas personas, & plena est multis ac præstantibus sententiis. *Chorus* constat ex *Phœnissis* mulieribus, (unde & Fabulæ nomen) de veteri *Tyro* oriundis.

Hoc Poëma pulchrum est in apparatu scenico, quia multa habet additamenta. *Antigone* de mœnibus spectans, non est pars fabulæ: & fide datâ, *Polynices* frustrà in urbem venit. Super hæc omnia *Oedipus* loquaci carmine in exilium missus, adjicitur supervacuè.

Χρησμὸς δοθεὶς Λαΐῳ τῷ Θηβαίῳ.

Λάϊε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς·
Δώσω τοι φίλον υἱόν. ἀτάρ σε πεπρωμένον ἐστὶ,
Σοῦ παιδὸς χείρεσσι λιπεῖν φάος. ὡς γὰρ ἔνευσε
Ζεὺς Κρονίδης, Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,
Οὗ φίλον ἥρπασας υἱόν, ὃ δ' ηὔξατό σοι τάδε πάντα.

Τὸ αἴνιγμα τῆς Σφιγγός.

Ἔστι δίπουν ἐπὶ γῆς, καὶ τετράπον, οὗ μία φωνὴ,
Καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον, ὅσσ' ἐπὶ γαῖαν
Ἑρπετὰ κινεῖται, ἀνά τ' αἰθέρα, καὶ κατὰ πόντον.
Ἀλλ' ὁπόταν πλείστοισιν ἐπειγόμενον ποσὶ βαίνῃ,
Ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

Oraculum Laio Thebano datum.

Optas Labdacide natorum stirpe beari;
Natum nempe dabo, ſed nati occumbere dextrâ
Eſt Fatale tibi. Jovis hoc invicta Voluntas
Conceſſit Pelopi, quam rapti injuria Nati
Impulit has diris à te depoſcere pœnas.

Ænigma Sphingis.

UNum nomen habens quadrupeſque, bipeſque, tripeſque;
Naturam pariter mutato nomine mutat,
De maris & terræ cœliſque animantibus unum:
Miraríque licet, pedibus cum pluribus inſtat,
Tum magis atque magis celerandi amittere vires.

Τὰ τοῦ Δράματος ΠΡΟΣΩΠΑ.

ΙΟΚΑΣΤΗ.

ΠΑΙΔΑΓΩΓΟΣ.

ΑΝΤΙΓΟΝΗ.

ΧΟΡΟΣ ἐκ Φοινισσῶν παρθένων.

ΠΟΛΥΝΕΙΚΗΣ.

ΕΤΕΟΚΛΗΣ.

ΚΡΕΩΝ.

ΜΕΝΟΙΚΕΥΣ.

ΤΕΙΡΕΣΙΑΣ.

ΑΓΓΕΛΟΣ.

Ἕτερος ΑΓΓΕΛΟΣ.

ΟΙΔΙΠΟΥΣ.

Προλογίζει δὲ ἡ Ἰοκάστη.

ERSONÆ hujus Fabulæ ſunt hæ.

JOCASTA.
SENEX Educator Antigones.
ANTIGONE.
CHORUS ex Phœniſſis virginibus.
POLYNICES.
ETEOCLES.
CREON.
MENOECEUS.
TIRESIAS.
NUNCIUS.
Alter NUNCIUS.
OEDIPUS.

Prologum autem agit Jocaſta,

ΙΟΚΑΣΤΗ.

Ἰαμβοί.

Ιοκ. Ὦ Τὴν ἐν ἄστροις οὐρανοῦ τέμνων ὁδὸν,
Καὶ χρυσοκολλήτοισιν ἐμβεβὼς δίφροις,
Ἥλιε, θοαῖς ἵπποισιν εἱλίσσων φλόγα,
Ὡς δυστυχῆ Θήβαισι τῇ τόθ' ἡμέρᾳ
Ἀκτῖν' ἐφῆκας, Κάδμος ἡνίκ' ἦλθε γῆν
Τήνδ',

ΣΧΟΛΙΑ.

Ὦ τὴν ἐν ἄστροις) Ἡ εἴσθεσις τοῦ δράματος, ἐκ μονοστροφικῆς ἐστι περιόδου. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρβ. ὧν τελευταῖος, Τὸν αὐτὸν αἰεὶ δυστυχῆ καθεστάναι. ἐπὶ τῷ τέλει δὲ κορωνίς. ταῦτα πάντα πρὸς τὸν Ἥλιον λέγει ἡ Ἰοκάστη, δυσχεραίνουσα διὰ τὰ συμβάντα. Ὦ τὴν ἐν ἄστροις) ἔθος ἔχουσιν οἱ τραγικοὶ, παρέχειν τοὺς ἥρωας θεοῖς τὰς συμφορὰς ἀπολοφυρομένους. ὡς καὶ ἐν Μηδείᾳ· Ὥσθ' ἵμερός μ' ὑπῆλθε γῇ τε κοὐρανῷ Λέξαι μολούσῃ δεῦρο Μηδείας τύχας. Ἄλλως. Παλαιά τις φέρεται δόξα, ὡς Σοφοκλῆς μὲν ἐπιλαμβάνοιτο Εὐριπίδῃ, ὅτι μὴ προέταξε τούτους τοὺς δύο στίχους. ὁ δὲ Εὐριπίδης, ὅτι μὴ προέταξεν ἐν Ἠλέκτρᾳ ὁ Σοφοκλῆς, Ὦ τοῦ στρατηγήσαντος Ἠλέκτρα ποτέ. Ὦ τὴν ἐν ἄστροις) ὦ διοδεύων τοῦ οὐρανοῦ τὴν ὁδὸν τὴν παρὰ τοῖς ἄστροις, ὅ ἐστι τὴν παρὰ τοῖς οἴκοις τοῦ ζωδιακοῦ κύκλου. Ἄρατος εἴρηκεν· Αὐτὰς ἑκάστη Ἴση μετρηθεῖσα δύω περιτέμνεται οἴκους. Ζωΐδιον δὲ ὁ κύκλον ἐπίκλησιν καλέουσι. 3. Θοαῖς ἵπποισι) λείπει ἡ σύν. ἵν' ᾖ, σὺν θοαῖς ἵπποισι. καὶ Ὅμηρος· Αὐτῇ κεν γαίῃ ἐρύσαιμι. καὶ ἐν Βάκχαις· Αὐτῇσιν ἐλάταις. καὶ ἐν Ἱππολύτῳ· Αὐτῇσιν ἀρβύλῃσιν ἁρμόσαι πόδα. καὶ ἔστιν Ἀττικὴ ἡ συνήθεια. ἔδει δὲ ἐκ τοῦ ἐπικρατοῦντος ἀρσενικῶς αὐτοὺς ὀνομάσαι. τέσσαρες δὲ εἰσὶ, Χρόνος, Αἴθων, Ἀστραπὴ, Βροντή. ἔθος δὲ τοῖς ποιηταῖς θηλυκῶς λέγειν τοὺς ἵππους, Σώφρονι τὰν ἵππον. καὶ ἐν Ἱππολύτῳ· Αἰδοῖ' ἐνδακοῦσαι στόμια. καὶ παρ' Ὁμήρῳ· Αἱ Φηρητιάδαο ποδώκεες ἔκφερον ἵπποι. 4. Ὡς δυστυχῆ) ἀσεβεῖ φασὶ, τὴν ἀκτῖνα τοῦ Ἡλίου δυστυχῆ καλῶν. πῶς δὲ ἀσεβεῖ, ὁπότε καὶ Ἡσίοδος τινὰς τῶν ἡμερῶν ἀποφαίνει πονηράς. Ἄλλως. οἱ κακοδαιμονοῦντες, καὶ τὰς πρώην εὐδαιμονίας, ἀτυχίας νομίζουσι, τῇ παρούσῃ δυσδαιμονίᾳ βαρυνόμενοι. Ὡς δυστυχῆ) καὶ μὴν τότε εὐδαίμονες ἦσαν αἱ Θῆβαι, διά τε τὸν Ἁρμονιακὸν

νιακὸν

JOCASTA.

O Qui secas viam cœli in astris,
Et in aureâ sedes sede,
Sol, volvens flammam celeribus equis:
Quàm infelicem Thebanis eo tum die
Radium immisisti, quando Cadmus venit in
terram
Hanc,

ΣΧΟΛΙΑ.

ιν γάμον, ἐν ᾧ οἱ θεοὶ εἱστιάθησαν, καὶ τὴν Διονύσου καὶ Ἡρακλέους ιν. νοσεῖν δὲ ἤρξατο, ἐξ οὗ ἐτεκνώθη Λάϊος βίᾳ θεῶν. τὰ τοιαῦτα πρὸς τὸ ἀληθές, ἀλλ' ὡς οἱ λέγοντες πάθους ἔχουσιν. εὐεπίφορος Εὐριπίδης πρὸς ἑτέρῳ προσώπῳ πρεσβυτέρῳ τὴν τῶν δυστυχημά- αἰτίαν ἀναφέρειν. καὶ ἐν Τρῳάσιν ἡ Ἑλένη φησίν· Πρῶτον μὲν ὰς ἔτεκεν ἥδε τῶν κακῶν Πάριν τεκοῦσα. καὶ ἐν Ὀρέστῃ· Σύ τοι ἴσσης θυγατέρ', ὦ γέρον, [illegible], Ἀπώλεσάς με. κέχρηται ν τῷ εἴδει καὶ Ὅμηρος· Ὃς καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆας ς Ἀρχεκάκους, αἳ πᾶσι κακὸν Τρώεσσι γένοντο. καὶ Εὔμαιος παθῶς ἔχων πρὸς τὸν Ὀδυσσέα φησίν· Ὡς ὤφελλ' Ἑλένης ἀπὸ ν ὀλέσθαι. καί τοι τῶν ἀδελφῶν αὐτῆς τῶν Διοσκούρων ἤδη θεῶν ὄντων, πολλὰ τοῖς ἀνθρώποις ἐπαρκούντων. ἔτι δέ τινες ἐγκαλοῦσι τῷ ιπίδῃ, ὡς οὐκ ἀκολούθως γενεαλογήσαντι. εἰ μὲν γὰρ ἐξ ἀρχῆς ετο τὰ πράγματα λέγειν, ἐχρῆν τὴν ἐκ Φοινίκης αἰτίαν τοῦ μου κατὰ λεπτὸν μετὰ τῆς αἰτίας διηγήσασθαι. εἰ δὲ ἐκ τῶν ὑπογύου ς, ἔδει ἀπὸ τῶν Λαΐου δυστυχημάτων ἄρξασθαι. πρὸς οὓς ῥητέον, εἰ μὲν ἄνωθεν ἤρξατο, μακρὸς ἂν ἦν ὁ λόγος. ἄλλως τε οὐκ τε Θηβαίαν γυναῖκα ἀκριβῶς τὰ ἐν Φοινίκῃ ἐπίστασθαι. εἰ ἀπὸ τῶν Λαΐου δυστυχημάτων, πολλὰς ἂν τῶν περὶ τὰς Θήβας συμφο- ῶν παρέλιπεν. Ἀκταίωνα μὲν γὰρ αἱ οἰκεῖαι κύνες διεσπάσαντο, θέα τε τὸν υἱὸν Ἀγαυῆς. Σεμέλην τε ἐκεραύνωσεν ὁ Ζεύς. τῆς Ἰνοῦς υἱὸν Λέαρχον μὲν μανεὶς ὁ πατὴρ Ἀθάμας ἀπέκ- . Μελικέρτης δὲ μετὰ τῆς μητρὸς ἔπεσεν εἰς τὴν θάλασ- . οἱ Νιόβης τε παῖδες ἐτοξεύθησαν, καὶ αὐτὴ λίθος ὁρᾶται ρύων. 5. Κάδμος ἡνίκ' ἦλθε) Λιβύης τῆς Ἐπάφου καὶ Ποσει- ς, Ἀγήνωρ καὶ Βῆλος· Ἀγήνορος καὶ Ἀντιόπης τῆς Βήλου, Κάδμ- ., Κίλιξ, Φοῖνιξ. Φοίνικος καὶ Τηλέφης τῆς Ἐπιμεδούσης Πείρας, πάλη, Εὐρώπεια, Φοινίκη. ἔνιοι δὲ ἀντὶ Ἁρμονίας Ἠλέκτραν μι αὐτὸν φασί.

Καὶ πᾶς σὸς οἶκος βήσεται δι' αἵματος.
Ὁ δ' ἡδονῇ δοὺς, εἴς τε βακχεῖον πεσὼν,
Ἔσπειρεν ἡμῖν παῖδα· καὶ σπείρας βρέφος,
Γνοὺς τἀμπλάκημα, τοῦ θεοῦ τε τὴν φάτιν,
Λειμῶν' ἐς Ἥρας, καὶ Κιθαιρῶνος λέπας
Δίδωσι βουκόλοισιν ἐκθεῖναι βρέφος,
Σφυρῶν σιδηρᾶ κέντρα διαπείρας μέσον.
Ὅθεν νιν Ἑλλὰς ὠνόμαζεν Οἰδίπουν.
Πολύβου δέ νιν λαβόντες ἱπποβουκόλοι,
Φέρουσ' ἐς οἴκους· εἴς τε δεσποίνης χέρας
Ἔθηκαν· ἡ δὲ, τὸν ἐμὸν ὠδίνων πόνον
Μαστοῖς ὑφεῖτο, καὶ πόσιν πείθει τεκεῖν.
Ἤδη δὲ πυρσαῖς γένυσιν ἐξανδρούμενος
Παῖς οὑμὸς, ἢ γνοὺς, ἤ τινος μαθὼν πάρα

Ἔστειχε

ΣΧΟΛΙΑ.

21. Ἡδονῇ δοὺς) ἀντὶ τοῦ ἑαυτὸν δούς. καὶ πῶς προεγνωκυῖα τὸν χρησμὸν ἡ γυνὴ, οὐκ ἀπέτρεψε τῆς μίξεως τὸν Λάϊον; ἢ οὖν ὅτι εἴπη αὐτῇ ἢ εἴπῃ μὴ, ἡ δὲ ὑπώπτευε τὸ ῥηθὲν εἶναι ψεῦδος, διὰ τὸν ἔρωτα Χρυσίππου. 24. Λειμῶν' ἐς Ἥρας) ἢ ὅτι πᾶς λειμὼν, ἱερός ἐστιν Ἥρας· ἢ ὅτι Κιθαιρωνίας Ἥρας ἐστὶν ἐν Θήβαις ἱερόν. ὅσοι δὲ ἐγκαλοῦσιν ὡς ἐν ἱερῷ τόπῳ ἐκτεθέντος τοῦ παιδὸς, ἴστωσαν ὅτι καὶ Ἀθῆναι μὲν λέγονται ἱεραὶ τῆς Ἀθηνᾶς. ὀλίγος δέ ἐστι τῆς ἀκροπόλεως εὐαγής τις καὶ ἱερὸς τόπος. καὶ λελωβημένον δὲ ὅμως ἀνείλοντο τὸ βρέφος, ἴσως τοῦ κάλλους νενικημένοι, καὶ τὴν ἴασιν εὐμαρῆ νομίσαντες αὐτῶν ὑπὸ τῆς βασιλείας ἔσεσθαι. 25. Δίδωσι βουκόλοισι) ἵνα ἀποθάνῃ. οὐ γὰρ ἤθελεν ἐκ τοῦ ἐμφανοῦς ἀνελεῖν τὸ βρέφος, φεύγων τὸ μῖσος. 28. Ἱπποβουκόλοι) ἱπποφορβοί. τὸ δὲ βου: ὅλον ἀπὸ τοῦ ἐπισήμου ζώου, ὡς τὸ Τρισχίλιαι ἵπποι ἕλος κατεβουκολεοντο. τινὲς εἰς λάρνακα βληθέντα, καὶ εἰς θάλασσαν ῥιφθέντα τὸν παῖδα προσπελασθῆναι τῇ Κορίνθῳ φασί. 30. Τὸν ἐμὸν ὠδίνων πόνον) ἀντὶ τοῦ τὸν πόνον τῶν ἐμῶν ὠδίνων. ἔχει δέ τι τοῦτο παράλλατον πρὸς τὸ, ἐμὸν αὐτῆς πρᾶγμα, καὶ τὰ τοιαῦτα. ἐν μὲν γὰρ ἐκείνοις δυοῖν ὄντων προσώπου καὶ πράγματος, εἶτα προελθούσης ἀντωνυμίας κατὰ γενικὴν ὀφειλούσης κεῖσθαι ἐπὶ τοῦ προσώπου διὰ τὴν προσοῦσαν ἑτέραν γενικὴν, κλητικὴ τέθειται πρὸς τὸ πρᾶγμα ἀντωνυμία. ἐνταῦθα δὲ τριῶν ὄντων, προσώπου,

ἡ

Et tota domus tua ibit per sanguinem.
Ille verò dans se voluptati, & concedens insaniæ Bacchi,
Seminavit nobis filium: & cùm seminasset infantem,
Agnoscens erratum, & Dei oraculum,
In pratum Junonis, & Promontorium Cithæronis
Dat pastoribus exponi puerum,
Fodiens ferreos aculeos per talos medios:
Undè ipsum Græcia vocat Oedipum.
Polybi verò pastores equorum accipientes puerum,
Ferunt domum, & in manus dominæ
Posuerunt: ipsa verò mei puerperii laborem, (*i.e.* filium)
Uberibus submisit, & suo viro persuadet se peperisse.
Jam verò vir factus, cùm genæ inciperent flavescere
Filio meo, aut animadvertens ipse, aut admonitus ab aliquo

Ivit,

ΣΧΟΛΙΑ.

καὶ δυσοῦ πραγμάτων, τῶν τε ὠδίνων καὶ τοῦ πόνου, καὶ τῶν μὲν ὠδίνων τοῦ προσώπου ὄντων, τοῦ δὲ πόνου τῶν ὠδίνων, ὤφειλεν ἡ κτητικὴ ἀντωνυμία ἐπὶ τῶν ὠδίνων κεῖσθαι. οὕτω γὰρ ἂν ἐφαίνετο προδήλως, ὅτι αἱ μὲν ὠδῖνές εἰσι τοῦ προσώπου, ὁ δὲ πόνος τῶν ὠδίνων. νυνὶ δὲ ἐπὶ τοῦ πόνου κεῖται, καὶ συγχεῖ, καὶ δυσδιάγνωστον ποιεῖ τὸν λόγον. 31. Μαστοῖς ὑφεῖτο) ὑπέβαλεν. εὔηθες δέ φασιν, εἰ λελωβημένον ὑπεβάλετο παιδίον. οὕτω γε καὶ ἐντιθέμενα τάχα ἐξ ἡμῶν πεπηρωμένα. καὶ τί θαυμαστὸν ὑποβάλλεσθαι φοβουμένην μὴ ἐκπεσεῖν, διὰ τὴν ἀπαιδίαν, ἀποστρέψασθαι δὲ τὴν τῆς ὑποβολῆς ὑποψίαν, διὰ τὴν ὑποῦσαν συμφορὰν τῷ βρέφει. καὶ τὸ ἰαθήσεσθαι δὲ διὰ τοῦτο, οὐκ ἀπεγνώκει. 33. Ἤ τινος) ὅτι οὐκ εἴη παῖς Πολύβου γνήσιος, ἀλλὰ νόθος, ὃ μαθὼν παρά τινος τῶν ἡλικιωτῶν ὀνειδίσαντος, ὅτι εἴη νόθος. ἔνιοι δέ φασιν, εἰς Πυθῶνα ἐληλυθέναι τὸν Οἰδίποδα, ἵνα τροφεῖα δῷ τῷ Ἀπόλλωνι.

35. Λαΐος)

21. Εἰς βακχεῖον πεσών, μεθυσθείς. 32. Ἐν πυρσαῖς γένυσι, εἰς ἀνδρὸς ἡλικίαν ἐλθών.

Ἔστειχε, τοὺς φύσαντας ἐκμαθεῖν θέλων,
Πρὸς δῶμα Φοίβου, Λάϊός θ' οὑμὸς πόσις,
Τὸν ἐκτεθέντα παῖδα μαστεύων μαθεῖν
Εἰ μηκέτ' εἴη. Καὶ ξυνάπτετον πόδα
Ἐς ταυτὸν ἄμφω Φωκίδος σχιστῆς ὁδοῦ.
Καί νιν κελεύει Λαΐου τροχηλάτης,
Ὦ ξεῖνε, τυράννοις ἐκποδὼν μεθίστασο.
Ὁ δ' εἷρπ' ἄναυδος, μέγα φρονῶν· πῶλοι δέ νιν
Χηλαῖς τένοντας ἐξεφοίνισσον ποδῶν.
Ὅθεν, (τί τἀκτὸς τῶν κακῶν με δεῖ λέγειν;)
Παῖς πατέρα καίνει, καὶ λαβὼν ὀχήματα,
Πολύβῳ τροφεῖ δίδωσιν. ὡς δ' ἐπιζάρει

Σφὶγξ

ΣΧΟΛΙΑ.

35. Λαΐός θ' οὑμὸς) ἤτοι τότε ὀνείρῳ ταραξάμενος αὐτόν· ἢ ὅτι λοιπὸν ὑπώπτευσεν αὐτὴν τὴν ἡλικίαν τοῦ παιδὸς ἀποκόπτειν. ἐβούλετο γὰρ ἢ τεθνεῶτα αὐτὸν ἀκούσας διάγειν ἀδεῶς, ἢ ζῶντα ἀκούσας φυλάττειν ἑαυτόν. 36. Μαστεύων δὲ) ζητῶν, ὅθεν καὶ μαστὸς ὁ ἐπιζητούμενος παρὰ τῶν παίδων. 38. Εἰς ταυτὸν) εἰς ταυτὸν τῆς σχιστῆς ὁδοῦ τῆς Φωκίδος συνάπτουσι τὸν πόδα, ἤτοι συντυγχάνουσι τὸν πόδα ἐπὶ τῆς σχιστῆς ὁδοῦ. οὕτως καλεῖται ἐν Φωκίσιν, ἐπεὶ διασχίζει τὴν ἐπὶ Βοιωτίαν, καὶ Θήβας, καὶ Ἀττικὴν, καὶ Κόρινθον ὁδόν. 39. Καί νιν κελεύει) καὶ ἐκέλευσεν αὐτὸν ὁ ἡνίοχος τοῦ Λαΐου ὑποχωρεῖν τῷ βασιλεῖ, ὤφειλεν εἰπεῖν. ὁ δὲ ἄλλως ἀρξάμενος, ἄλλως ἀποδίδωσι τὸν λόγον, ὥσπερ ἐκ μεταμελείας. 41. Πῶλοι δέ νιν) οἱ ἵπποι δὲ τοῦ Λαΐου ἐξῄματτον αὐτὸν, ἤγουν, τὸν Οἰδίποδα ταῖς ἑαυτῶν ὄνυξι κατὰ τοὺς τένοντας τῶν ποδῶν. ὅμοιον τῷ, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων. 42. Ἐν χηλαῖς) ἐν ταῖς χηλαῖς τοὺς τῶν ποδῶν τοῦ Οἰδίποδος τένοντας ἐξῄματτον οὐχ ὑποχωροῦντος αὐτοῦ τῆς ὁδοῦ. 43. Ὅθεν τί τἀκτὸς) ὑποστικτέον εἰς τὸ ὅθεν. ἔμελλε γὰρ ἴσως τὴν λοιδορίαν καὶ τὴν μάχην ἀμφοτέρων λέγειν. Τί τἀκτὸς) ποία μοι χρεία λέγειν τὰ ἔξω τῶν κακῶν, τὰς παρακολουθησάσας ὕβρεις, τοὺς διαπληκτισμοὺς οὐ λέγω. ἀλλ' αὐτὸ τὸ κακόν. ἐν συντόμῳ γὰρ παῖς πατέρα καίνει. 44. Παῖς πατέρα καίνει) ζητοῦσι πῶς εἰς τὸ μαντεῖον οὐκέτι ἀπῆλθεν ὁ Οἰδίπους. φασὶν ὅτι οὐκ ᾤετο τῷ θεῷ εὐθέως χρήσειν αὐτῷ μυσαρῷ γενομένῳ, πρὶν καθαρθῆναι, καὶ ἅμα ἵνα μὴ γνῷ ὅτι πατέρα ἔκτεινεν. εἱμαρμένον γὰρ καὶ

τὴν

Ivit, volens explorare parentes,
Ad domum Apollinis, & Laius *eôdem* meus maritus,
Quærens cognoscere expositum filium,
An non esset superstes. Et *fortè* conjungunt pedem
Ambo in idem loci in Phocidis bivio.
Et auriga Laii compellat eum,
O hospes, Tyrannis de viâ decedito.
Ille serpebat humi sine voce, sed animum excelsum gerens: equi verò eum
Ungulis rubefecerunt sanguine extremos pedum tendines,
Unde (sed quid opus est aliena à meis malis dicere?)
Filius meus patrem suum occidit; & accipiens currus
Dat nutritio Polybo. Postquam verò infestabat
Sphinx

ΣΧΟΛΙΑ.

τὴν μητέρα γῆμαι. ὅτι δὲ Πολύβῳ ἔδωκε τοὺς ἵππους, καὶ Ἀντίμαχος φησὶν ἐν Λύδῃ·

Εἶπε δὲ φωνήσας, Πόλυβε, θρεπτήρια ταῦτα
Ἵππους τοι δώσω δυσμηρέων ἐλάσας.

Ζητοῦσι δὲ πάλιν, πῶς οὐδὲ μίαν ζήτησιν πεποίηνται Θηβαῖοι, τεθνεῶτος αὐτοῖς τοῦ βασιλέως. λεκτέον, ὅτι εὐθὺς μὲν αὐτὸν οὐκ ἐπεζήτησαν, ἐν Δελφοῖς εἶναι νομίζοντες· μετὰ ταῦτα τῶν ἵππων ἀφανῶν γενομένων λῃστῶν ἔδοξεν τοὔργον γεγονέναι. Ἄλλως. Δεῖ νοεῖν, ὅτι ὁ Οἰδίπους φονεύσας τὸν Λάϊον, ὡς ἐναγὴς παρακεχρημένος οὐκ ἦλθεν εἰς τὸ ἱερόν. οὐ γὰρ ᾤετο χρῆσαι αὐτῷ τὸν θεόν. ὑποστρέψας δὲ εἰς Κόρινθον μετὰ τῶν ἵππων Λαΐου, καὶ καθαρθεὶς τὸν φόνον, πάλιν ἐπὶ τῷ γνῶναι τοὺς γονεῖς ἐπανῆκε πρὸς τὸν θεόν. λαβὼν δὲ χρησμὸν, ὅτι ἐπὶ φθορᾷ τοῦ πατρὸς ἐτέχθη, καὶ συνουσίᾳ τῆς μητρὸς, διέγνω Κόρινθον φυγεῖν τὴν νομιζομένην πατρίδα. γνοὺς δὲ τοῦ Κρέοντος τὸ κήρυγμα, ἐπὶ τὸν ἀγῶνα καθίησιν ἑαυτὸν τῆς σφιγγὸς, κινδύνῳ τὴν εὐτυχίαν θηρώμενος.
45. Ἐπεζάρει) ἐπέκειτο, ἐπεβάρει· καὶ ζαρὸς ὄρνεόν ἐστιν ἁρπακτικόν· τὴν δὲ σφίγγα οἱ μὲν ἔχειν πρόσωπον παρθένου, στῆθος δὲ καὶ πόδας λέοντος, πτερὰ δὲ ὄρνιθος. Σωσικράτης δὲ ἐγχωρίαν αὐτὴν

41. Ἀντὶ τοῦ ἐπορεύετο μηδὲν ἀποκρινόμενος.

Σφὶγξ ἁρπαγαῖσι πόλιν, ἐμός τ' οὐκ ἦν πόσις,
Κρέων ἀδελφὸς τἀμὰ κηρύσσει λέχη,
Ὅστις σοφῆς αἴνιγμα παρθένου μάθοι,
Τούτῳ ξυνάψειν λέκτρα· τυγχάνει δέ πως
Αἴνιγμ' ἐμὸς παῖς Οἰδίπους Σφιγγὸς μαθὼν,
Ὅθεν τύραννος τῆσδε γῆς καθίσταται,
Καὶ σκῆπτρ' ἔπαθλα τῆσδε λαμβάνει χθονός.
Γαμεῖ δὲ τὴν τεκοῦσαν, οὐκ εἰδὼς τάλας,
Οὐδ' ἡ τεκοῦσα, παιδὶ συγκοιμωμένη.
Τίκτω δὲ παῖδας παιδὶ, δύο μὲν ἄρσενας,
Ἐτεοκλέα, κλεινήν τε Πολυνείκους βίαν,
Κόρας τε δισσάς. Τὴν μὲν Ἰσμήνην πατὴρ
Ὠνόμασε, τὴν δὲ πρόσθεν Ἀντιγόνην ἐγώ.
Μαθὼν δὲ τἀμὰ λέκτρα μητρῴων γάμων,
Ὁ πάντ' ἀνατλὰς Οἰδίπους παθήματα,
Εἰς ὄμμαθ' αὑτοῦ δεινὸν ἐμβάλλει φόνον,
Χρυσηλάτοις πόρπαισιν αἱμάξας κόρας.

Ἐπεὶ

ΣΧΟΛΙΑ.

αὐτὴν φησὶ χρησμολόγον δύσγνωστα μαντευομένην. ἅπερ ἀγνοοῦντες οἱ Θηβαῖοι, καὶ ἐναντίως αὐτοῖς χρώμενοι, ἀπώλλυντο. Ἀσκληπιάδης δὲ λέγει τοὺς Θηβαίους εἰς ἐκκλησίαν καθ' ἑκάστην ἀθροίζεσθαι διὰ τὸ λῦσαι αἴνιγμα τῆς σφιγγός. λόγος γὰρ ἦν αὐτοῖς μὴ ἀπαλλαγήσεσθαι τῶν κακῶν, πρὶν ἂν τοὺς τῆς σφιγγὸς λύσειαν χρησμούς. Ὡς δ' ἐπιζάρει) ἐπέκειτο κακοποιοῦσα. ἁρπασθῆναι δ' ὑπ' αὐτῆς φασὶν Αἵμονα τὸν Κρέοντος παῖδα. τινὲς δὲ φασὶν, ὅτι μία τῶν σὺν αὐταῖς Κάδμου θυγατράσι μανεισῶν, μετεβλήθη εἰς τὸ ζῶον τὴν σφίγγα. 47. Τἀμὰ κηρύσσει λέχη) ἀνόητόν φασιν εἶναι τὸ τῆς ἀδελφῆς γάμον τῷ τυχόντι καλεῖν. ἀγνοοῦσι δὲ, ὅτι κατεπείγουσα συμφορὰ, καὶ παρὰ τὸ πρέπον τι πράττειν προτρέπεται. ἔπειτα καὶ ἄριστόν τινα ᾤετο τὸν ἐγχειρήσοντα τῷ ἀγῶνι. κατὰ γὰρ Πίνδαρον, ὁ μέγας δὲ κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει. 53. Γαμεῖ δὲ τὴν τεκοῦσαν) Φερεκύδης τὰ κατὰ τοὺς παῖδας Οἰδίποδος, καὶ τὰς γημαμένας οὕτως ἱστορεῖ. Οἰδίποδι φησὶ Κρέων δίδωσι τὴν βασιλείαν, καὶ τὴν γυναῖκα Λαΐου, μητέρα δ' αὐτοῦ Ἰοκάστην. ἐξ ἧς γίνονται

αὐτῷ

Sphinx rapinis urbem, extincto meo marito,
Creon frater præconium facit de connubio meo:
Quisquis posset exponere ænigma sapientis virginis,
Se daturum esse huic connubium: exponit fortè
Sphingis ænigma filius meus Oedipus.
Unde dominus hujus terræ factus est;
Et accipit sceptra hujus terræ, *tanquam* præmium *sapientiæ*.
Indè ducit matrem ignorans miser,
Nec sciebat mater se cum filio concumbere.
Pario verò pueros meo filio: duos quidem mares,
Eteoclem, & clarum Polynicen, 56
Et duas filias, alteram Ismenem pater
Vocavit, alteram majorem natu, ego Antigonem.
Cùm agnovisset autem, se maritum esse matris
Oedipus, sustinens omnia mala,
Eruit sibi oculos suos,
Aureis acubus cruentans pupulas.

Post-

ΣΧΟΛΙΑ.

αὐτῷ Φράστωρ καὶ Λαόνυτος, οἳ θνήσκουσιν ὑπὸ Μινυῶν, καὶ Ἐργίνου. ἐπεὶ δὲ ἐνιαυτὸς παρῆλθε, γαμεῖ ὁ Οἰδίπους Εὐρυγάνειαν τὴν Περίφαντος· ἐξ ἧς γίνονται αὐτῷ Ἰοκάστη, Ἀντιγόνη, Ἰσμήνη, ἣν ἀναιρεῖ Τυδεὺς ἐπὶ κρήνης, καὶ ἀπ' αὐτῆς ἡ κρήνη Ἰσμήνη ἐκλήθη. υἱοὶ δὲ αὐτῷ ἐξ αὐτῆς, Ἐτεοκλῆς καὶ Πολυνείκης. ἐπεὶ δὲ Εὐρυγάνεια ἐτελεύτησε, γαμεῖ Ἀστυμέδουσαν τὴν Σθενέλου. τινὲς δὲ Εὐρυγάνειαν ἀδελφὴν λέγουσιν εἶναι Ἰοκάστης τῆς μητρὸς Οἰδίποδος. 59. Μαθὼν δὲ) γνοὺς δὲ τὰ ἐμὰ λέκτρα τὰ τῆς μητρὸς, ἀντὶ τοῦ ἐπιγνοὺς μητρὶ συγκοιμώμενος. τὸ δὲ μητρῴων γάμων, περιφραστικῶς, ἀντὶ τῆς μητρός. 61. Εἰς ὄμματ' αὐτοῦ) ὅμοια καὶ Ἑλλάνικος. ἐν δὲ τῷ Οἰδίποδι, οἱ Λαΐου θεράποντες ἐτύφλωσαν αὐτόν. Ἡμεῖς δὲ Πολύβου παῖδ' ἐρείσαντες πέδῳ, Ἐξομματοῦμεν, καὶ διόλλυμεν κόρας. πῶς δὲ φασὶν Ἰοκάστη μετὰ τοσαῦτα δυστυχήματα ἔζη; ῥητέον, ὅτι—— Πᾶσα γὰρ ἔφυς θανάτου γυνὴ Δειλότερον ἀνδρός· ὀκνεῖ δὲ νοῦν ἔχουσ' ἴσως. Δακρύοις γὰρ αἰεὶ τοῖς παροῦσιν ἐμποιεῖ Τὸ θῆλυ τῆς ψυχῆς ἀναβαλεῖν τῷ πάθει.

63. Ἐπεὶ

56. Καὶ τὸ ἔνδοξον Πολυνείκην, περιφραστικῶς.

Ἐπεὶ δὲ τέκνων γένυς ἐμῶν σκιάζεται,
Κλείθροις ἔκρυψαν πατέρ', ἵν' ἀμνήμων τύχη
Γένοιτο, πολλῶν δεομένη σοφισμάτων.
Ζῶν δ' ἔτ' ἐν οἴκοις· πρὸς δὲ τῆς τύχης νοσῶν,
Ἀρὰς ἀρᾶται παισὶν ἀνοσιωτάτας,
Θηκτῷ σιδήρῳ δῶμα διαλαχεῖν τόδε.
Τὼ δ' εἰς φόβον πεσόντε, μὴ τελεσφόρους
Ἀρὰς θεοὶ κραίνωσιν, οἰκούντων ὁμοῦ,
Ξυμβάντ' ἔταξαν, τὸν νεώτερον πάρος
Φεύγειν ἑκόντα τήνδε Πολυνείκην χθόνα·
Ἐτεοκλέα δὲ σκῆπτρ' ἔχειν μένοντα γῆς,
Ἐνιαυτὸν ἀλλάσσοντ'· ἐπεὶ δ' ἐπὶ ζυγοῖς
Καθέζετ' ἀρχῆς, οὐ μεθίσταται θρόνων,
Φυγάδα δ' ἀπωθεῖ τῆσδε Πολυνείκην χθονός.
Ὁ δ' Ἄργος ἐλθὼν, κῆδος Ἀδράστου λαβὼν,
Πολ-

ΣΧΟΛΙΑ.

63. Ἐπεὶ δὲ τέκνων) ὅτε δὲ ἥβησαν οἱ παῖδες, κλείθροις ἔκρυψαν τὸν πατέρα, ἵνα ἡ τύχη λήθῃ παραδοθῇ· καίτοι δυσεπιχείρητος οὖσα, καὶ πολλῆς δεομένη μηχανῆς εἰς τὸ λαθεῖν. 65. Πολλῶν δεομένη) ἤτοι ἡ πολλῆς δεομένη μηχανῆς πρὸς τὸ λαθεῖν, ἢ πολλῶν παραινέσεων, καὶ πολλῆς παραμυθίας, διὰ τὴν ὑπερβολὴν τοῦ πάθους. πρὸς δὲ τί ἥμαρτεν ὁ Οἰδίπους, ὅτι καὶ αὐτὸς τιμωρεῖται; φασὶ δὲ, ὅτι Πέλοψ, Χρυσίππου ἁρπαγέντος, κατηράσατο μέχρι παίδων εἶναι τὸ κακόν. τινὲς δέ φασιν, ὅτι Λάϊος ἀνῃρέθη ὑπὸ Οἰδίποδος, ὅτι ἀμφότεροι ἤρων Χρυσίππου. 69. Τὼ δ' εἰς φόβον) εἰκότως ἔδεισαν πειραθέντες ὅσα Λαΐῳ συνέβη διὰ τὰς Πέλοπος ἀράς. 71. Συμβάντ') οὗτος ὁ τόπος εἰς ἀσυμφωνίαν ἄγει τὸ δρᾶμα. ἔδει γὰρ ἐξέλασιν ὑποθέσθαι τοῦ Πολυνείκους, ἵνα διὰ τῆς ἑξῆς δεόντως λέγῃ ποτὲ μὲν ἐπ' ἦμαρ εἶχον, εἶτ' οὐκ εἶχον. εἰ γὰρ ἀλλήλοις ὑπεχώρησαν ἐνιαυτὸν παρ' ἐνιαυτὸν ἄρχειν, πάντως καὶ τὰ ἐπιτήδεια ἐπεφέρετο ὁ Πολυνείκης. δεῖ οὖν εἰδέναι, ὅτι οὐ παρὰ πᾶσι συμφωνεῖ ἡ Πολυνείκους εἰς Ἄργος ἄφιξις. Φερεκύδης γὰρ ἐκβεβλῆσθαι τὸν Πολυνείκην φησὶ μετὰ βίας. Ἑλλάνικος δὲ ἱστορεῖ, κατὰ συνθήκας αὐτὸν συγχωρῆσαι τὴν βασιλείαν Ἐτεοκλεῖ, ἄλλων αἵρεσιν αὐτῷ προ-

τεῖναι

Postquam autem filiorum meorum genæ tegun-
tur *barbâ*, retur hæc calamitas,
Abdiderunt patrem intra claustrum, nè sparge-
Qua ut celaretur, habebat opus multis artificiis.
Adhuc vivit domi: æger autem animo propter hanc calamitatem,
Diris devovet liberos execrandis,
Ut dividant hanc domum acuto ferro.
Filii mei verò incidentes in metum, nè ratas
Diras illas dii perficerent, si habitarent simul,
Paciscentes constituerunt ut junior Polynices
Sponte exularet hâc terra: [prior
Eteocles verò manens, sceptra terræ teneret,
Per vices mutantes annum. Postquam autem in throno
Regni consedit, non discedit ex regno,
Sed extrudit exulem Polynicen ex hâc terrâ.
Ille verò Argos veniens, junctus affinitate Adrasto,
Mag-

ΣΧΟΛΙΑ.

…εῖναι τὸν Ἐτεοκλῆ, εἰ βούλοιτο τὴν βασιλείαν ἔχειν, ἢ τὸ μέρος τῶν χρημάτων λαβεῖν, καὶ ἑτέραν πόλιν οἰκεῖν. τὸν δὲ λαβόντα τὸν ὅρμον, καὶ τὸν χιτῶνα Ἁρμονίας, ἀναχωρῆσαι εἰς Ἄργος, κεί…αντος τοῦ μέρους τὴν βασιλείαν Οἰδίποδος πω χωρῆσαι. ὧν τὸν μὲν ὅρμον Ἀφροδίτη, τὸν δὲ χιτῶνα Ἀθηνᾶ ἐχαρίσατο, ὃ καὶ δέδωκε τῇ θυγατρὶ Ἄδραστος Ἀργείαν· ὅθεν Εὐριπίδης ταῖς δύο ἱστορίαις ἐχρήσατο, ἐνταῦθα μὲν τῇ Φερεκύδου, ὕστερον δὲ τῇ Ἑλλανίκου. ὁ μὲν Εὐριπίδης τὸν Ἐτεοκλέα, ὁ δὲ Σοφοκλῆς τὸν Πολυνείκην, μείζονα οἶδεν ἐν Οἰδίποδι. 74. Ἐπεὶ δ' ἐπὶ ζυγοῖς) ἀντὶ τοῦ ἐπὶ τὴν βασιλείαν. μετενήνοχε δὲ ἀπὸ τῶν κυβερνητῶν. τοιοῦτόν ἐστι καὶ τὸ παρ' Ὁμήρῳ, Ζεὺς δ' ὑψίζυγος. ἐπὶ γὰρ τοῦ ὑψίστου ζυγοῦ καθήμενος, ὡς κυβερνήτης πάντας φέρει τοὺς οἴακας. 7. Κῆδος) ἐπιγαμβρεία. λείπει δὲ ὁ καί.

81. Ὑπό-

64. Διὰ κλείθρων) ἐν οἴκῳ ἀσφαλισάμενοι ἔκρυψαν, ἵνα ἡ προβεβηκυῖα πανουργία ἀμνήμων γένοιτο, ἤγουν ἀφανισθείη τῆς μνήμης τῶν ἀνθρώπων. 66. Πρὸς δὲ) παρὰ συμβεβηκότος κακοῦ, …ων καθείρξεως μικροψυχῶν.

Πολλὴν ἀθροίσας ἀσπίδ' Ἀργείων, ἄγει.
Ἐπ' αὐτὰ δ' ἐλθὼν ἑπτάπυλα τείχη τάδε,
Πατρῷ' ἀπαιτεῖ σκῆπτρα, καὶ μέρη χθονός.
Ἐγὼ δ' ἔριν λύουσ', ὑπόσπονδον μολεῖν
Ἔπεισα παιδὶ παῖδα, πρὶν ψαῦσαι δορός.
Ἥξειν δ' ὁ πεμφθείς φησιν αὐτὸν ἄγγελος.
Ἀλλ', ὦ φαεννὰς οὐρανοῦ ναίων πτύχας
Ζεῦ, σῶσον ἡμᾶς· δὸς δὲ ξυμβᾶσιν τέκνοις.
« Χρὴ δ', εἰ σοφὸς πέφυκας, οὐκ ἐᾶν βροτὸν
« Τὸν αὐτὸν αἰεὶ δυστυχῆ καθεστάναι.
Παι. Ὦ κλεινὸν οἴκοις Ἀντιγόνη θάλος πατρὶ,
Ἐπεί σε μήτηρ παρθενῶνας ἐκλιπεῖν
Μεθῆκε, μελάθρων δ' ἐς διῆρες ἔσχατον,
Στράτευμ' ἰδεῖν Ἀργεῖον ἱκεσίαισι σαῖς,
Ἐπι-

ΣΧΟΛΙΑ.

81. Ὑπόσπονδον) φιλικὸν, μετὰ σπονδῶν καὶ φιλίας. 82. Πρὶν ψαῦσαι) πρὶν τὸν πόλεμον συγκροτηθῆναι. 84. Ναίων πτύχας) ἐὰν μὲν ἀπὸ τοῦ πτὺξ, πτύχας· ἐὰν δὲ ἀπὸ τοῦ πτυχὴ, πτυχάς. 86. Εἰ σοφὸς πέφυκεν) ἐπειδὴ τῶν εὐσεβῶν ἐπίσκοπος. 88. Ὦ κλεινὸν) σύστημα προκαταστατικὸν τῶν ἑξῆς ἀλλοιοστρόφων συστημάτων, ἔχον ἰαμβικῶν τριμέτρων ιέ, ἐπὶ τῷ τέλει παράγραφος. Ὁμηρικῷ ζήλῳ ἀνάγει Εὐριπίδης Ἀντιγόνην ἰδεῖν τὸ στράτευμα, ὥσπερ ἐκεῖνος Ἑλένην ἐποίησε. πλὴν ὅσον ἐκείνη μὲν τῷ Πριάμῳ δηλοῖ τὰ τῶν στρατευομένων, Ἀντιγόνῃ δὲ ὁ παιδαγωγὸς διηγεῖται. Ὦ κλεινὸν) ὦ Ἀντιγόνη, ἔνδοξον τῷ πατρὶ βλάστημα ἐν τοῖς οἴκοις, ἐπεί σοι ἡ μήτηρ κατέλιπε διὰ τὰς σὰς ἱκεσίας ἐκλιπεῖν τοὺς παρθενῶνας καὶ ἀνελθεῖν δηλονότι εἰς τὸ ἔσχατον ὑπερῷον τοῦ μελάθρου, ὥστε ἰδεῖν τὸ στράτευμα τὸ Ἀργεῖον, ἐπίσχες, σαυτὴν δηλονότι, ἤγουν ἀνά[illegible] μεῖνον, ὡς ἂν προεξερευνήσω, καὶ ἴδω τὴν ὁδὸν, μή τις ἀπὸ τῶν [illegible] λιτῶν φαίνεται ἐν τῇ ὁδῷ, καὶ ἐμοὶ μὲν ἔλθοι καὶ καταλάβοι [illegible] ψόγος ὡς δούλῳ, σοὶ δὲ κατὰ ἀνάσσῃ καὶ κυρίᾳ. πάντα δὲ φράσω καὶ εἴπω, ἅ τινα ἐθεασάμην, καὶ εἰσήκουσα παρὰ τῶν Ἀργείων, ὅτε ἦλθον φέρων τῷ σῷ ἀδελφῷ σπονδὰς ἐνθένδε ἀπὸ τούτου [illegible] τίπτω ἐκεῖσε· παρ' ἐκείνου δὲ πάλιν ἐνταῦθα· ἀλλ' οὐδεὶς ἀπὸ τῶν πολιτῶν πλησιάζει ἐν τοῖς δόμοις, διέρχου δὲ διὰ τοῦ [illegible]

Magnum conſcribens exercitum Argivorum adducit : [portarum,
Et veniens ad ipſa hæc Thebana mœnia ſeptem-
Repetit paternum regnum, & partem terræ.
Ego verò ut controverſias dirimerem ſuaſi filio *Polynici*, [arma venirent :
Ut fide datâ veniret ad fratrem, priuſquam ad
Nuncius miſſus ait eum venturum eſſe.
At O inhabitans lucida convexa cœli
Jupiter, ſerva nos, da pacem liberis.
Oportet enim *te*, ſiquidem curas res mortalium, non ſinere
Eundem hominem ſemper eſſe miſerum.
π. O Antigone egregium germen patris in domo,
Poſtquam te mater gynæceum relinquere
Permiſit, & in extremam contignationem domûs *aſcendiſti*,
Ut videas exercitum Argivorum *propter* preces tuas : Ex-

ΣΧΟΛΙΑ.

[illegible]αινε κλίμακα τὴν ἀπὸ τοῦ κέδρου, καὶ σκόπει τὰ πεδία, καὶ τὰ ῥεύ-[illegible] τοῦ Ἰσμηνοῦ, καὶ τὸ νᾶμα τῆς Δίρκης τῆς πηγῆς, ὅσον ὑπάρχει τὸ [illegible] τῶν πολεμίων. Ὦ κλεινὸν οἴκοις. ἡ τοῦ δράματος διάθεσις [illegible] ἀγωνιστικωτέρα γίνεται. τὰ γὰρ τῆς Ἰοκάστης παρελκόμενα [illegible] καὶ ἕνεκα τοῦ θεατοῦ ἐκτίθεται. ἡ δὲ ἔξοδος τῆς παρθένου, [illegible] ἀπὸ τῆς Ὁμηρικῆς τειχοσκοπίας τῆς Ἑλένης, ἐκ τοῦ ἐναντίου ἐκεῖ [illegible] γυναικὶ τὸ γέρας δείκνυσι, διδάσκει δὲ ἔφοδον παρθένου γενέσθαι [illegible] ἐπιτροπὴν μὲν μητρὸς, παιδαγωγίαν δὲ τροφέως, χρείας τε [illegible] τῆς τυχούσης, ἐπειγούσης τὴν ἔξοδον. Ἄλλως. εὐδιοίκητος ἂν ἡ τῆς [illegible] ἔξοδος· καλῶς δὲ τὴν βασιλικὴν παρθένον οὐ γυναῖκας [illegible], ἀλλ' ὁ διὰ τὸ γῆρας σώφρων καὶ φρόνιμος. τοιγα-[illegible] οὐκ ἀσκέπτως μετ' αὐτῆς ἔξεισιν, ἀλλ' ἐρημίαν παραφυλά-[illegible] ὡρμίζε γὰρ διὰ τῆς πάσης πόλεως κίνδυνον, δεῖν τὴν τῆς κόρης [illegible] ποιεῖν εὐταξίαν. 90. Διῆρες ἔσχατον) διῆρες τὸ δίστεγον [illegible], ὡς μόνον μονήρεις, δύο διήρεις, ἀπὸ τοῦ δὶς καὶ δύο οὔσης [illegible] καταχρηστικώτερον δὲ κἂν ὄροφον ᾖ, κἂν πολύστεγον, οὕτως [illegible]. οἱ δὲ διῆρες τὸ δίεδρον καὶ ὕπαιθρον. 93. Μὴ

[illegible] Ἀσπίδ. αἰγὶ τοῦ τρέποντος. 82. Ψαύσαι δὲ. ἅψασθαι.

Ἐπίσχες, ὡς ἂν προὐξερευνήσω στίβον,
Μή τις πολιτῶν ἐν τρίβῳ φαντάζεται,
Κἀμοὶ μὲν ἔλθοι φαῦλος ὡς δούλῳ ψόγος,
Σοὶ δ' ὡς ἀνάσσῃ. πάντα δ' ἐξειδὼς φράσω,
Ἅτ' εἶδον, εἰσήκουσά τ' Ἀργείων πάρα,
Σπονδὰς ὅτ' ἦλθον σῷ κασιγνήτῳ φέρων,
Ἐνθένδ' ἐκεῖσε. δεῦρό τ' αὖ κείνου πάρα.
Ἀλλ' οὔτις ἀστῶν τοῖσδε χρίμπτεται δόμοις,
Κέδρου παλαιὰν κλίμακ' ἐκπέρα ποδί·
Σκόπει δὲ πεδία, καὶ παρ' Ἰσμηνοῦ ῥοὰς,
Δίρκης τε νᾶμα, πολεμίων στράτευμ' ὅσον.

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Στροφὴ α΄.

Ἀν. Ὄρεγε νῦν ὄρεγε γεραιὰν
Νέᾳ χεῖρ' ἀπὸ κλιμάκων
Ποδὸς ἴχνος ἐπαντέλλων.

Πα

ΣΧΟΛΙΑ.

93. Μή τις πολιτῶν) ταῦτα κατὰ μηχανὴν φασὶ τὸν Εὐριπίδην, ἵ τὴν πρωταγωνιστὴν ἀπὸ τοῦ τῆς Ἰοκάστης προσώπου μετασκευάσῃ. διὸ συνεπιφαίνεται αὐτῷ Ἀντιγόνη, ἀλλ' ὕστερον. οἰκονομικῶς δὲ ὁ παι τῆς φησὶν αὐτὸν ἀπεστάλθαι εἰς τὸ στρατόπεδον, ὅπως εὔλογον ἔχῃ πρό φασιν τοῦ ἐπιγινώσκειν ἅπαντας. διὰ δὲ τοῦ κέδρου παλαιὰν κλίμακα λεληθότως τὸ πλοῦτον τῶν βασιλέων παρείσηπεν, ὅπου γε κεδρίν τὴν κλίμακα φησί. 102. Δίρκης τε νᾶμα) Δίρκη, κρήνη ποταμὸς παρὰ ταῖς Θήβαις, πλησίον τοῦ Ἰσμηνοῦ, ἀπὸ Δίρκης ὀ νομασθεῖσα. οἱ γὰρ περὶ Ζῆθον καὶ Ἀμφίονα ἐκτεθέντες ὑπὸ τῆς μητρ Ἀντιόπης, καὶ τραφέντες ἐν τοῖς βουκόλοις τῆς Δίρκης, ἐβουκόλ αὐτῇ. ὕστερον δὲ παρέδωκεν αὐτοῖς τὴν Ἀντιόπην ἐπὶ τὸ διὰ ταύ ρων διασπάσαι. οἱ δὲ γνόντες αὐτὴν μητέρα αὐτῶν, αὐτῆς ἐφείσαντο, τὴν δὲ Δίρκην ἐπὶ τῶν ταύρων διέσπασαν. καὶ ὁ τόπ ἔνθα ἐσύρη, Δίρκη καλεῖται, καὶ ὁ τόπος, καὶ ὁ ποταμ 103. Ὄρεγε νῦν) τὰ τοιαῦτα εἴδη καλεῖται, ὡς εἴρηται, ἀνομ στροφα κυρίως, διὰ τὸ μὴ εἶναι κατὰ σχέσιν, καὶ εἰσὶ τῆς παρού στροφῆς τὰ κῶλα γ΄. τὸ α΄ παιωνικὸν τρίμετρον, βραχυκατάληκ

Expecta, ante dum ſpeculor viam,
Nè quis civium in viâ appareat,
Et mihi ut ſervo veniat mala reprehenſio,
Tibique tanquam reginæ: cùm verò exploraverim omnia, dicam
Et quæ vidi & quæ audivi ab Argivis;
Quando veni ferens fratri tuo fidem publicam
Hinc illuc, & huc rurſus ab illo.
Sed nemo civium appropinquat his ædibus;
Scande pedibus veteres ſcalas ex cedro *factas:*
Et ſpecta campos propter Iſmenum fluvium, 101
Dirceſque fontem, quantus exercitus hoſtium.

ANOMOIOSTROPHA.

Strophe I.

An. Porrige nunc, porrige ſenilem
Juveni manum de gradibus,
Sublevans veſtigium pedis.

Sen.

ΣΧΟΛΙΑ.

ἐκ παιώνων τετάρτων δύο καὶ σπονδείου. τὸ β΄ ἀντισπαστικὸν δίμετρον, ἀκατάληκτον, ἐξ ἀντισπάστου καὶ διϊάμβου. τὸ γ΄ ἀναπαιστικὸν δίμετρον γλυκώνειον βραχυκατάληκτον. ἐπὶ τῷ τέλει παράγραφος, κατὰ προκοπὴν ἴαμβος, εἶτα παράγραφος. ὄρεγε καὶ πάρεχε ἀρτίως ἀπὸ τῶν κλιμάκων τὴν χεῖρα τὴν γεραιάν, τῇ ἐμῇ νέᾳ χειρὶ ἐπανατέλλων καὶ ἀναβιβάζων τὸ ἴχνος τοῦ ποδός. Ὄρεγε νῦν) πάρεχέ μοι, δίδου τὴν χεῖρα ὁδηγὸν, ἤγουν ὁδήγει με, ἢ ἀντὶ τοῦ ἔκτεινε τὴν παλαιάν σου χεῖρα ἐμῇ τῇ νέᾳ, ἅμα προσαναβαίνων. ἐπαντέλλων γὰρ ἀντὶ τοῦ ἐπανάγων, ἡ μεταφορὰ ἀπὸ τοῦ Ἡλίου. καὶ γὰρ οὗτος εἰς τὸ ὑψηλὸν τοῦ οὐρανοῦ ἀναβαίνει. 106. Ἰδοὺ

93. Φανῇ. ἀντὶ τοῦ φαίνηται, ὁριστικὸν ἀντὶ ὑποτακτικοῦ, ὡς παρ' Ὁμήρῳ, ἴδομεν ἀντὶ τοῦ εἰδῶμεν. 95. Σοὶ δ' ὡς ἀν.) ἤγουν ἀναλογώτερον παρὰ τὸ ἀξίωμα τὸ σόν. 101. Ἰσμηνοῦ) ποταμὸς πλησίον τῶν Θηβῶν ὁ Ἰσμηνός. σκόπει δὲ παρὰ τὰ πεδία καὶ παρὰ τὰς ῥοὰς τοῦ Ἰσμηνοῦ καὶ παρὰ τὸ ἅμα τῆς Δίρκης, τὸ στράτευμα τῶν πολεμίων ὅσον ἐστίν.

Παι. Ἰδοὺ, ξύναψον παρθέν'· εἰς καιρὸν δ' ἔβης·
Κινούμενον γὰρ τυγχάνει Πελασγικὸν
Στράτευμα, χωρίζουσι δ' ἀλλήλων λόχους.

Στροφὴ β'.

Αν. Ἰὼ πότνια παῖ Λατοῦς
Ἑκάτα, κατάχαλκον ἅπαν
Πεδίον ἀστράπτει.

Παι. Οὐ γάρ τι φαύλως ἦλθε Πολυνείκης χθόνα,
Πολλοῖς μὲν ἵπποις, μυρίοις δ' ὅπλοις βρέμων.

Στροφὴ γ'.

Αν. Ἆρα πύλαι κλεῖθροις,

Χαλ-

ΣΧΟΛΙΑ.

106. Ἰδοὺ) ὦ παρθένε, ἰδοὺ ξύναψον, ἅρμοσον τὴν χεῖρα σου τῇ ἐμῇ χειρί, ἐγκαίρως γὰρ ἐπορεύθης. κινούμενον γὰρ ὑπάρχει τὸ Ἀργεῖον στράτευμα. χωρίζουσι δὲ καὶ ἀποχωρεῦσιν ἀλλήλων τοὺς λόχους καὶ τὰ τάγματα. 109. Ἰὼ πότνια) ἡ β' αὕτη στροφὴ κώλων ἐστὶ γ'. τὸ α' ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, γλυκώνειον, ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου α'. τὸ β' ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ γ' τροχαϊκὸν πενθημιμερὲς τοῦ α' ποδὸς χορείου. εἰ δὲ βούλει, παιωνικὸν ἡμιόλιον. ἐκ παίωνος δὲ καὶ σπονδείου. ἐπὶ τοῦ τέλους παράγραφος. Ἰὼ) φησί, ὦ θύγατερ τῆς Λητοῦς σεβασμία σελήνη. ἅπαν γὰρ τὸ πεδίον ἀστράπτει κατάχαλκον, ἤτοι ἔνοπλον. οὐ γὰρ φαύλως καὶ ἀσχέτως ἦλθε καὶ κατέλαβεν ὁ Πολυνείκης τὴν γῆν, ἀλλὰ βρέμων καὶ ἠχῶν ἐν πολλοῖς ἵπποις, καὶ μυρίοις ὅπλοις. Ἰὼ πότνια) ἡ παρθένος τὴν Ἄρτεμιν ἀνακαλεῖται, ἐπειδὴ τὸ πεδίον ἀστράπτον ἑώρα. τὸ δὲ τῆς σελήνης εἶδος τοιοῦτον. εἰς γὰρ τὴν σελήνην ἀλληγορεῖται ἡ Ἄρτεμις· διὰ τοῦτο ἐκπληττομένη, πρὸς τὴν Ἄρτεμιν ποιεῖται τὸν λόγον. εἰ δέ τις εἴποι, ὅτι καιρὸν εἶχε τὸ ταύτην ἐπιβοᾶσθαι ὡς πολεμικήν, οὐδὲν βλάβος τοῦ λόγου. 111. Ἀστράπτει) τῇ ὑπερβολῇ κατάπληξιν ἐμφαίνει, ὅλον λέγων ἀστράπτειν τὸ πεδίον, καίτοι ὀλίγον μέρος αὐτοῦ κατεῖχον οἱ πολέμιοι. οἰκείως δὲ τὸ ἀστράπτειν ἐνταῦθα. τοιαύτη γὰρ ἡ τοῦ χαλκοῦ φύσις, ὅταν τις ἐν Ἡλίῳ κινήσειεν αὐτόν. πῶς δὲ ἐνταῦθα φησὶ κατάχαλκον πεδίον; ἐν δὲ τοῖς ἑξῆς φησί, λεύκασπιν εἰσορῶμεν Ἀργείων στρατόν, ἀλλ' οὐ πάντες ἦσαν χαλκασπίδες.

Sen. Ecce junge manum virgo, opportunè aſcendiſti,
Exercitus enim Græcorum jam movetur,
Jam ſeparant à ſe invicem cohortes.

Strophe 2.

An. O veneranda filia Latonæ
Hecate, æneus totus
Campus fulget.
Sen. Non ſegnitèr enim venit in hanc terram Polynices,
Sed inſtructus magno equitatu, & multis clypeis
ſtrepens.

Strophe 3.

An. Nunquid portæ clauſtris,

Æneí-

ΣΧΟΛΙΑ.

ἀσπίδες. περὶ γοῦν τινος φησὶ πάγχαλκον ἀσπίδ' ἀμφὶ βραχίονι κουφίζων. ἢ καὶ ἀπὸ τῶν ἄλλων ὅπλων κατάχαλκόν φησι τὸ πεδίον, θωρήκων τε καὶ κνημίδων καὶ κρανῶν. 114. Ἆρα πύλαι) ἡ τρίτη αὕτη στροφὴ κώλων ἐστὶ δ'. τὸ α' δακτυλικὸν πενθημιμερές. εἰ δὲ βούλει, χοριαμβικὸν ἡμιόλιον, ἐκ χοριάμβου καὶ σπονδείου. τὸ β' παιωνικὸν δίμετρον καταληκτικὸν, ἐκ παίωνος α' καὶ δακτύλου. τὸ γ' προσοδιακὸν, τρίμετρον καταληκτικὸν, ἐκ χοριάμβου ἰωνικοῦ ἀπὸ μείζονος, καὶ κρητικοῦ. τὸ δ' δακτυλικὸν πενθημιμερές. εἰ δὲ βούλει, χοριαμβικὸν καθαρὸν ἡμιόλιον. ἐπὶ τῷ τέλει παράγραφος.

114. Ἆρα πύλαι) ἆρα αἱ πύλαι καλῶς τοῖς κλείθροις ἡρμοσμέναι εἰσί, καὶ τὰ χαλκόδετα ἔμβολα ἥρμοσται τοῖς λαϊνέοις Ἀμφίονος ὀργάνοις, ὅ ἐστι τῷ λαϊνέῳ τείχει. ὀργάνοις δὲ τοῖς ἔργοις, ἐκ τοῦ ποιοῦντος τὸ ποιούμενον. καὶ Σοφοκλῆς· Εὐθὺ μελίσσης κηρόπλαστον ὄργανον, ἀντὶ τοῦ ἔργον· καὶ ἔμβολα, οἱ μὲν τοὺς καθέτους, οἱ δὲ τοὺς στροφεῖς. Ἄλλως. χαλκόδετα ἔμβολα, τινὲς τοὺς στροφεῖς, παρὰ τὸ ἐμβάλλεσθαι τῇ ὀπῇ τοῦ οὐδοῦ. χαλκόδετα δὲ, ἐπεὶ χαλκῷ περισφηκοῦνται οἱ στροφεῖς, διὰ τὸ μὴ προσερειδόμενον ἐξασθενεῖν τὸ ξύλον. ἆρα οὖν φησιν, αἱ πύλαι καλῶς τοῖς κλείθροις ἡρμοσμέναι εἰσί, καὶ οἱ στροφεῖς καλῶς ἐνηρμόσθησαν πρὸς τὸ λαΐνεον τεῖχος, καὶ τὰς ὀπὰς, ὅ ἐστι τὸ ἔργον τοῦ Ἀμφίονος. οὐ θαρσήσασα δὲ τοῖς κλείθροις, καὶ περὶ τῶν στροφέων φησὶ, μή ποτε καὶ τοὺς στροφεῖς τῶν θυρῶν ἀναχαλᾶν δυνήσονται οἱ Ἀργεῖοι, μὴ ἐν βάθει ἡρμοσμένους.

ἄλλος

110. Κατάχαλκ.) ἀντὶ τοῦ πεπληρωμένον χαλκῷ ὡπλισμένων ἀνδρῶν.

Χαλκόδετά τ' ἔμβολα
Λαϊνέοις Ἀμφίονος ὀργάνοις
Τείχος ἥρμοσται;

Παι. Θάρσει. τάγ' ἔνδον, ἀσφαλῶς ἔχει πόλις.
Ἀλλ' εἰσόρα τὸν πρῶτον, εἰ βούλει μαθεῖν.

Στροφὴ δ'.

Ἀν. Τίς οὗτος ὁ λευκολόφας,
Πρόπαρ ὃς ἄγεται στρατοῦ,
Πάγχαλκον ἀσπίδ' ἀμφὶ
Βραχίονι κουφίζων;

Παι. Λοχαγὸς, ὦ δέσποινα. Α. Τίς; πόθεν γεγώς;
Αὔδασον, ὦ γεραιὲ, τίς ὀνομάζεται;

Παι. Οὗτος Μυκηναῖος μὲν αὐδᾶται γένος,

Λερ-

ΣΧΟΛΙΑ.

ἄλλοι ἔμβολα φασὶ τὰς καθέτους, τὰ νῦν καλούμενα πτερὰ, ἅπερ ἐστὶ τῇ κατασκευῇ τοιάδε, θύραν κατασκευάσαντες ἴσην κατά γε μῆκος καὶ πλάτος τῇ πύλῃ τοῦ τείχους ἔξωθεν αὐτῆς χαλκοπετάλοις καθηλοῦσιν, ὡς ὁλόχαλκον τὴν θύραν νομίζεσθαι, ταύτην ἐπάνω τῆς θύρας ἱστῶσιν οὐχ ἑδραίαν, ἀλλ' ὥσπερ κρεμαμένην. τῶν δὲ πυλῶν κλειομένων, καθιᾶσιν ἄνωθεν τὴν κεχαλκωμένην θύραν, ἥ τις μέχρι τοῦ ἐδάφους φθάνουσα καλύπτει τὴν θύραν, ὡς ἂν μηδὲ μίαν ἐπιβουλὴν γίνεσθαι. ἔσθ' ὅτε καὶ πυρὸς προσφερομένου ταῖς πύλαις ξυλίναις οὔσαις, καὶ πολεμίων πολιορκούντων, τάς τε πύλας ἔκλειον, καὶ τὰ ἔμβολα καθίεσαν. εἰρήνης δὲ οὔσης διὰ τὸ τὰς πύλας δυσχέρειαν παρέχειν ἔν τε τῷ κλείεσθαι καὶ ἀνοίγεσθαι, ταύτας μὲν εἴων ἀνεῳγμένας διαπαντός· ἑσπέρας δ' ἠσφαλοῦντο τῷ ἐμβόλῳ, διά τινος μηχανήματος αὐτὸ καθιέντες καὶ ἀνέλκοντες. ἔμβολον δὲ καλεῖ ἐκ τοῦ ἄνωθεν ἀπὸ τοῦ τείχους ἐμβάλλεσθαι ἔξωθεν τῶν πυλῶν. χαλκόδετον δὲ, διὰ τὸ δεδέσθαι καὶ ἠσφαλίσθαι χαλκῷ. ὁ δὲ νοῦς, ἆρα αἱ πύλαι τοῖς κλείθροις ἡρμοσμέναι εἰσὶ, καὶ τὰ χαλκόδετα ἥρμοσται τοῖς Ἀμφίονος λαϊνέοις τοῦ τείχους ὀργάνοις, τουτέστι τοῖς ὑπὸ Ἀμφίονος κατασκευασθεῖσι τείχεσιν· ὁ μὲν γὰρ Κάδμος ἔκτισε τὰς Θήβας, Ἀμφίων δὲ καὶ Ζῆθος ἐτείχισαν. 116. Λαϊνέοις Ἀμφίονος ὀργάνοις) ἀντὶ τοῦ ἔργοις τοῖς μουσικῇ γινομένοις. φασὶ γὰρ, ὡς Ἀμφίων οἰκοδομησάμενος

Θήβας

Æneíque vectes
Saxeis Amphionis operibus
Juncti sunt muris?

Sen. Confide: quod interiora attinet, benè munita est urbs.
Sed vide primum, si vis scire quis sit.

Strophe 4.

An. Quis est ille fulgenti cono,
Qui antecedit exercitum,
Æneum clypeum circa
Brachium leviter gerens?

Sen. Dux est, ô domina. *A.* Quisnam? Unde natus?
Dic, ô senex, quomodo nominatur?

Sen. Hic Mycenæus quidem dicitur genere,

Habitat

ΣΧΟΛΙΑ.

Θήβας, ὅτι διετίθει τὸν τειχισμὸν, οὐ χερσὶν ἐχρῆτο πρὸς τοῦτο, οὐδὲ ἦσαν οἱ συναιρόμενοι αὐτῷ τῆς οἰκοδομίας, ἀλλὰ τῆς αὐτοῦ μουσικῆς ἐποιεῖτο τὸ ἔργον, μέλος ἀνακρουόμενος, κἀντεῦθεν τοὺς λίθους κινῶν, καὶ καθισκευάζων τὰ τείχη. ἐγένετο δὲ τὸ τεῖχος ἑπτάπυλον, ὅσοι οἱ τῆς λύρας τόνοι. 118. Θάρσει, τά γ' ἔνδον) θάῤῥος ἔχε· τὰ ἔνδον γὰρ καὶ τὰ ἐντὸς, ἀσφαλῶς καὶ βεβαίως ἔχει ἡ πόλις. 119. Ἀλλ' εἰσόρα) βλέπε εἰ βούλει καὶ θέλεις γνῶναι τὸν πρῶτον στρατηγόν. 120. Τίς οὗτος) τίς ἐστιν οὗτος, ὁ λευκὴν φέρων κόρυθα, ὅστις ἔμπροσθεν προοδοιποιεῖ τοῦ στρατοῦ, κρατῶν ἀμφὶ τὸν βραχίονα ἀσπίδα πάγχαλκον. 121. Ὁ λευκολόφας) ὁ λαμπρὰν ἔχων περικεφαλαίαν. 121. Ὃς ἀγεῖται) ὅστις ἔμπροσθεν ἡγεῖται τοῦ στρατοπέδου, ὁλόχαλκον ἀσπίδα περὶ τὸν βραχίονα βαστάζων. 124. Λοχαγὸς) ταξίαρχος, ὦ δέσποινα. Τίς, καὶ ἐκ ποίου τόπου γεγονώς; εἰπὲ, ὦ γεραιὲ, τίς καλεῖται κατὰ τὸ ὄνομα. Οὗτος ὀνομάζεται Μυκηναῖος τὸ γένος, Ἱππομέδων βασιλεύς. Λοχαγὸς) ταξίαρχος, ἡγεμών. 126. Μυκηναῖος) οἱ νεώτεροι τὴν αὐτὴν Μυκήνην καὶ Ἄργος. φησὶν οὖν ὅτι Μυκηναῖός ἐστιν, οἰκεῖ δὲ περὶ τὴν Λέρνην, τὴν ἐν Μυκήναις πηγὴν, ὅ ἐστι τὴν ἐν Ἄργει πηγήν.

127. Λερναία)

114. Τίς) τὸ τίς ζητεῖ τὸ ὄνομα, τὸ δὲ πόθεν τὸν τόπον.

Λερναῖα δ' οἰκεῖ νάμαθ' Ἱππομέδων ἄναξ.

Στροφὴ ε'.

Αν. Ἒ ἒ ὡς γαῦρος, ὡς φοβερὸς
Εἰσιδεῖν, γίγαντι
Γηγενέτᾳ προσόμοιος,
Ἀστερωπὸς ἐν γραφαῖσιν, οὐχὶ
Πρόσφορος ἁμερίῳ γέννᾳ.
Παι. Τόνδ' ἐξαμείβοντ' οὐχ ὁρᾷς Δίρκης ὕδωρ
Λοχαγόν; Α. ἄλλος ἄλλος ὅδε τευχέων τρόπος.
Τίς δ' ἐστὶν οὗτος; Π. παῖς μὲν Οἰνέως ἔφυ
Τυδεύς, Ἄρην δ' Αἰτωλὸν ἐν στέρνοις ἔχει.

Στροφὴ ϛ'.

Αν. Οὗτος ὁ τᾶς Πολυνείκεος, ὦ γέρον,
Αὐτοκασιγνήτας νύμφας
Ὁμό-

ΣΧΟΛΙΑ.

127. Λερναῖα) ἀπὸ μέρους τὸ Ἄργος. Λέρνη γὰρ πόλις καὶ πηγὴ τοῦ Ἄργους. 128. Ἒ ἒ ὡς γαῦρος) ἒ ἒ, αὕτη στροφὴ κώλων ἐπὶ ε'. τὸ α' ἰωνικὸν ἀπ' ἐλάττονος, δίμετρον ὑπερκατάληκτον, ἐξ ἰωνικοῦ β' καὶ συλλαβῆς. τὸ β' τροχαϊκὸν ἰθυφαλλικόν. τὸ γ' δακτυλικόν, τρίμετρον ἀκατάληκτον. τὸ δ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον. τὸ ε' ἀναπαιστικόν, δίμετρον, ἀκατάληκτον. εἰ δὲ βούλει, προσοδιακὸν τρίμετρον βραχυκατάληκτον ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ χοριάμβου καὶ σπονδείου. ἐπὶ τῷ τέλει παράγραφος. Ἒ ἒ ὡς γαῦρος) ἐπηρμένος τῷ σώματι, καὶ διὰ τοῦ σχήματος ἐμφανίζων τὸ αὔθαδες τῆς ψυχῆς. Ἄλλως. Τὸ ἑξῆς ὡς γαῦρος, ὡς φοβερὸς εἰσιδεῖν, ἀστερωπὸς ἐν γραφαῖσι, γίγαντι γηγενέτᾳ προσόμοιος, οὐχὶ πρόσφορος ἁμερίῳ γέννᾳ. 131. Ἀστερωπὸς) ἀστεροειδὴς τὸ σῶμα, καὶ τὴν ἐσθῆτα γραπτός, τοὺς γίγαντας πρὸς τὸ φοβερὸν αὐτῷ γράφουσιν. ἴσως οὖν καὶ αὐτὸς κατάστικτον ἔχει τὴν πανοπλίαν. τὸ δὲ ἑξῆς γραπτῷ γίγαντι παραπλήσιος. διὰ μέσου δὲ τὸ ἀστερωπὸς ἔθηκε, δηλῶσαι θέλων τὸ ὄμμα λαμπρὸν ἔχοντα ὁμοίως ἀστέρι. Ἄλλως. Ἀστεροειδὴς καὶ ποικίλος ἐν ταῖς γραφαῖς τῆς ἀσπίδος. εἰσὶ γὰρ κατάστικτα ὅπλα. 132. Πρόσφορος) οὐχ ὅμοιος ἀνθρωπίνῃ γενεᾷ, ἀλλ' ἀνημέρῳ τινὶ καὶ θηριώδει. 134. Ἄλλος

Habitat verò ad Lernæam paludem, rex Hippomedon.

Strophe 5.

An. Heu, quàm ſuperbus, quàm terribilis
Aſpectu, Giganti
Terrigenæ ſimilis: 130
Sideris inſtar vultu ſplendens in pictâ veſte, non
Conveniens mortali generi.

Sen. Non vides illum, qui præterit Dirces aquam,
Ducem? *An.* Alius alius eſt hic armorum modus: 134
Quis verò eſt iſte? *Sen.* Filius quidem Oenei eſt
Tydeus, Martem verò Ætolum in pectore habet.

Strophe 6.

An. Iſténe Polynicis, ô ſenex,
Sororis ſponſæ

Mari-

ΣΧΟΛΙΑ.

λος ἄλλος) θαυμαστὸς ὁ ἀναδιπλασιασμός. Ἄρη δ' Αἰτωλὸν, ὡς ἔχοντος αὐτοῦ τῆς ἀσπίδος τὸν περὶ τοῦ συὸς πόλεμον. Καλλίμαχος· Εἰμὶ τέρας Καλυδῶνος, ἄγω δ' Αἰτωλὸν Ἄρηα. τινὲς δὲ Ἄρη τὴν τῶν ὅπλων σκευήν. θέλει δὲ εἰπεῖν, ὅτι ἐγχωρίως καθώπλισται, ὡς οἱ Αἰτωλοί· τὸ δὲ στέρνον, ἀντὶ τοῦ ὅλου σώματος εἶπεν. οἱ δὲ τὴν τῶν παλαιμάχων ἐπιθυμίαν, καὶ τὴν ἐπιστήμην, ὡς τῶν Αἰτωλῶν ἄριστα πολεμούντων. 137. Οὗτος ὁ παῖς) ἡ ς' αὕτη στροφὴ κώλων ἐστὶ δ'. τὸ α' δακτυλικὸν τετράμετρον, ἤτοι δίμετρον ἔπος, τὸ γὰρ δίμετρον τῶν ἕξ. τὸ β', ὅμοιον ἑφθημιμερές. τὸ γ' παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ' καὶ ἰάμβου. τὸ δ' ἴαμβος τετράμετρος. ἐπὶ τῷ τέλει παράγραφος. ὁμόγαμον δὲ, ἀντὶ τοῦ σύμβιον, παρὰ τὸ ὁμοῦ καὶ ἐπίσης ἄνδρα τε καὶ γυναῖκα τῆς συνουσίας μετέχειν. ἐγάμει δὲ Δηϊπύλην ὁ Τυδεύς· ὁ δὲ Πολυνείκης τὴν Ἀργείαν.

140. Μιξο-

127. Λερναῖα) Ἱππομέδων ἄναξ ὀνομάζεται, Μυκηναῖος μὲν κατὰ τὸ γένος· οἰκεῖ δὲ λερναῖα νάματα, ἀντὶ τοῦ περὶ τὰ νάματα τῆς Λέρνης. 137. Οὗτος) οὗτός ἐστιν, ὦ γέρον, τῆς αὐταδέλφης τῆς γυναικὸς τοῦ Πολυνείκους ἀνήρ· ὤφειλεν δὲ λέγειν σύγγαμβρος, ἀποδιδοὺς τὸν λόγον πρὸς τὸν Πολυνείκην· ὁ γὰρ τῆς αὐταδέλφης τῆς γυναικὸς αὐτοῦ ἀνὴρ, δῆλον ὅτι σύγγαμβρος αὐτοῦ ἐστιν.

Ὁμόγαμος κυρεῖ;
Ὡς ἀλλόχρως ὅπλοισι, μιξοβάρβαρος.
Παι. Σακεσφόροι γὰρ πάντες Αἰτωλοί, τέκνον,
Λόγχαις τ' ἀκοντιστῆρες εὐστοχώτατοι.
Ἀν. Σὺ δ', ὦ γέρον, πῶς αἰσθάνῃ σαφῶς τάδε;
Παι. Σημεῖ' ἰδὼν τότ' ἀσπίδων ἐγνώριζα,
Σπονδὰς ὅτ' ἦλθον σῷ κασιγνήτῳ φέρων,
Ἃ προσδεδορκὼς, οἶδα τοὺς ὡπλισμένους.

Στροφὴ ζ'.

Ἀν. Τίς δ' οὗτος ἀμφὶ μνῆμα τοῦ Ζήθου περᾷ,
Καταβόστρυχος, ὄμμασι
Γοργὸς τ' εἰσιδεῖν, νεανίας;
Παι. Λοχαγός. Α. ὡς ὄχλος νιν ὑστέρῳ ποδὶ
Πάνοπλος ἀμφέπει.
Παι. Ὅδ' ἐστὶ Παρθενοπαῖος, Ἀταλάντης γόνος.

Στροφὴ η'.

Ἀν. Ἀλλά νιν ἁ κατ' ὄρη μετὰ ματέρος

Ἄρτε-

ΣΧΟΛΙΑ.

140. Μιξοβάρβαρος) ἐν τέλει γὰρ τῆς Εὐρώπης οἰκοῦντες Αἰτωλοὶ, Ἑλληνικῶν τε καὶ βαρβαρικῶν ἀπέλαυον φρονημάτων. ἢ ἐπεὶ δοκοῦσι βαρβαρικὸν φρόνημα ἔχειν, διὰ τοὺς κατ' ἀλλήλων πολέμους. καὶ Ὅμηρος· Κουρῆτές τ' ἐμάχοντο, καὶ Αἰτωλοὶ μενεχάρμαι.
141. Σακεσφόροι γὰρ) ἴσως ὅτι ἐξηλλαγμένοι οἱ Αἰτωλοὶ περὶ τὰς ὁπλίσεις, καταστίκτους αὐτὰς ἔχοντες, καθάπερ καὶ τοῖς ὑποδήμασιν, ὥστε τὸν δεξιὸν μὲν ὑποδεδέσθαι πόδα, γυμνὸν δὲ ἔχειν τὸν ἀριστερόν. καλῶς δὲ εἶπεν αὐτὸν μιξοβάρβαρον, ὅτι οἱ Αἰτωλοὶ πάντες ὁπλίζονται, ἀκοντίζουσι δὲ ὡς βάρβαροι. ἴσως γὰρ τότε ἐν τοῖς Θηβαϊκοῖς χρόνοις οἱ μὲν Ἕλληνες ὅπλοις ἐχρήσαντο, οἱ δὲ βάρβαροι ἀκοντίζειν ἠπίσταντο· ὕστερον δὲ καὶ τὸ ἀκοντίζειν Ἕλληνες μεμαθήκασιν.
147. Τίς οὗτος ἀμφὶ μνῆμα Ζήθου) ἡ ζ' αὕτη στροφὴ κώλων ἐστὶ ς'. τὸ α' ἴαμβος τρίμετρος. τὸ β' ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον, εἰς δισύλλαβον. τὸ γ' τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον. τὸ δ' ὅμοιον τῷ πρώτῳ. τὸ ε' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. εἰ δὲ βούλει, ἰωνικὸν ἀπ' ἐλάσσονος, ἡμιόλιον ἐξ ἰωνι-

κοῦ

Maritus est? 139
Quàm alieno colore armorum, semibarbarus!
Sunt enim clypeati omnes Ætoli, O filia,
Et jaculatores, hastis benè collimantes.
An. Tu verò, O senex, quomodo scis certò hæc?
Sen. Videns signa clypeorum tunc notavi,
Quando veni, fidem publicam ferens tuo fratri,
Quæ intuens, novi armatos. 146

Strophe 7.

An. Quis verò iste, qui circa monumentum Zethi transit
Comatus, oculis
Terribilis, & aspectu juvenis?
Sen. *Est* dux. *An.* Quanta multitudo ipsum sequens
Armata circundat. 151
Sen. Hic est Parthenopæus, Atalantæ filius.

Strophe 8.

An. Sed eum per montes cum matre *ejus Atalantâ*
Pro-

ΣΧΟΛΙΑ.

κοῦ καὶ ἰάμβου. ἐπὶ τῷ τέλει παράγραφος. 147. Ἀμφὶ μνῆμα Ζήθου) οὗτος ὁ Ζῆθος, ὥς ἔφαμεν, τειχιστὴς ὢν τῶν Θηβῶν, μεγάλου καὶ ἐπισήμου τάφου ἠξιώθη. Ἀμφὶ μνῆμα τοῦ Ζήθου) κοινὸς μὲν ἀμφοῖν ὁ τάφος Ζήθου καὶ Ἀμφίονος, συλληπτικῶς δὲ εἶπε, τινὲς δέ φασι τὸν Ἀμφίονα. 149. Γοργὸς τ' εἰσιδεῖν, γοργῶδες ἀποβλέπων τοῖς ὄμμασι, καὶ ἅμα καὶ τῶν βοστρύχων παρειλίττων τοῖς ὀφθαλμοῖς τὸ γοργονῶδες. 151. Ἀμφέπει) ἐπακολουθεῖ αὐτῷ ὄχλος πολὺς ὀπισθόπους. τινὲς δὲ ἐπὶ καλζόρας αὐτὸ δέχονται, οἷον ἑκάτερῳ ποδὶ, καὶ μηκέτι ὑποστρέφοντα. ἵν' ᾖ, ὡς ὄχλος νιν ἀμφέπει ἐπὶ ἀπωλείᾳ. 152. Ἀταλάντης γόνος) αὕτη ἐστὶν ἡ Ἰάσου μὲν παῖς, Μειλανίωνος δὲ γυνή. ἔστι δὲ καὶ ἄλλη Σχοινέως θυγάτηρ, Ἱππομένους γυνὴ, Βοιωτική. 153. Ἀλλά νιν) ἀλλ' αὐτὸν ἀπολέσειεν ἡ Ἄρτεμις, ἡ μετὰ τῆς μητρὸς αὐτοῦ κυνηγετοῦσα. εἰκότως δὲ τὴν Ἄρτεμιν κατ' αὐτοῦ ἐπικαλεῖται, ὡς

140. Ὅπλ.) κατὰ τὴν κατασκευὴν τῶν ὅπλων μεμιγμένος Ἕλλην καὶ Βάρβαρος. 145. Σπονδάς) τὰς τῇ διαλλαγῇ ἀγγελίας. 148. Κατάβοστρυχ.) πυκνοὺς καθειμένος βοστρύχους. 153. Ἀλλ' εἴθε ἡ Ἄρτεμις ἡ κατὰ τὰ ὄρη μετὰ τῆς μητρὸς αὐτοῦ διατελοῦσα ὀλέσειεν αὐτὸν, τόξοις δαμάσασα.

Ἄρτεμις ἱεμένα, τόξοις δαμάσασ' ὀ-
λέσειεν, ὃς ἐπ' ἐμὰν πόλιν ἔβα πέρσων.
Παι. Εἴη τάδ', ὦ παῖ, σὺν δίκῃ δ' ἥκουσι γῆν.
« Ὦ, καὶ δέδοικα, μὴ σκοπῶσ' ὀρθῶς θεοί.

Στροφὴ θ'.

Ἀν. Ποῦ ποῦ δ' ὃς ἐμοὶ
Μιᾶς ἐγένετ' ἐκ ματέρος
Πολυπόνῳ μοίρᾳ;
Ὦ φίλτατ', εἰπέ, ποῦ 'στι Πολυνείκης, γέρον.
Παι. Ἐκεῖνος ἑπτὰ παρθένων τάφου πέλας
Νιόβης, Ἀδράστῳ πλησίον παραστατεῖ.
Ὁρᾷς; Α. ὁρῶ δῆτ' οὐ σαφῶς· ὁρῶ δέ πως
Μορφῆς τύπωμα, στέρνα τ' ἐξῃκασμένα.

Στρο-

ΣΧΟΛΙΑ.

ὡς θυμωμένην κατὰ τῆς Ἀταλάντης· ἐπεὶ πρότερον τὴν παρθενίαν ἠγάπα, ὕστερον δὲ τῷ Μειλανίωνι γαμηθεῖσα, κατεφρόνησε τῆς Ἀρτέμιδος· αὕτη δέ ἐστιν ἡ καὶ Μελεάγρῳ συγκυνηγετήσασα. 157. Ὦ καὶ δέδοικα) διὸ καὶ εὐλαβοῦμαι, μὴ τοῦτο δίκαιον σκοπήσαντες οἱ θεοί, ἀπολέσωσιν ἡμᾶς. 158. Ποῦ δ' ὃς ἐμοὶ) ἡ θ' αὕτη στροφὴ κώλων ἐστὶ δ'. τὸ α' χοριαμβικὸν ἡμιόλιον ἐκ χοριαμβικοῦ καὶ ἰάμβου. εἰ δὲ βούλει, τροχαϊκὸν πενθημιμερές, δακτύλου ἀρχομένου. εἰ δὲ βούλει, τροχαϊκόν. τὸ β' παιωνικὸν δίμετρον καταληκτικόν, ἐκ παίωνος δευτέρου καὶ δακτύλου, ἢ κρητικοῦ διὰ τὴν ἀδιάφορον. τὸ γ' ὅμοιον ἡμιόλιον. τὸ δ' ἴαμβος τρίμετρος. ἐπὶ τοῦ τέλους παράγραφος. Ποῦ δ' ὃς) ποῦ ὑπάρχει, ὃς ἐγένετο ἐμοὶ ἐκ μιᾶς μητρός, ἐν πολυπόνῳ καὶ πολυωδύνῳ μοίρᾳ καὶ τύχῃ. ὦ φίλτατε γέρον, εἰπὲ ποῦ ἐστὶν ὁ Πολυνείκης. Ποῦ δ' ὃς ἐμοὶ) παρὰ τὸ Ὁμηρικόν, Δοιὼ δ' οὐ δύναμαι ἰδέειν κοσμήτορε λαῶν. δὶς δὲ παρέλαβε τὸ ποῦ, τὴν σπουδὴν τῆς κόρης παριστῶν. πολυπόνῳ δὲ μοίρᾳ, ἤτοι κακομοιρίᾳ. τῷ γὰρ ἐπιθέτῳ διέστειλε τὸ τῆς μοίρας ὂν τὸ μέσον. 162. Ἑπτὰ παρθένων) ὁ Ἀριστόδημος ἐδήμου ἐν ταῖς Θηβαϊκαῖς φησὶ τῶν Νιοβιδῶν εἶναι τάφον, ὅπερ ἐστὶν ἀληθές. ὡς αὐτοσχεδιάζειν οὖν ἔοικεν Εὐριπίδης. περὶ δὲ τοῦ πλήθους τῶν Νιοβιδῶν, αὐτὸς Εὐ-

ριπίδης

Properans Diana, telis domans per-
dat, qui adversus meam urbem venit eam expugnaturus.

Sen. Sint hæc, O filia, jure tamen veniunt in hanc terram.

" Idcirco etiam metuo, ne rectè *nos* considerent dii.

Strophe 9.

An. Ubi est ille qui mecum
Unâ natus est ex matre
Laborioso fato?
O carissime senex, dic ubi sit Polynices.

Sen. Ille prope sepulchrum septem virginum
Niobes, stat prope Adrastum *Socerum.*
Vides? *An.* Video, sed non satis clarè; video tamen aliquo modo
Simulacrum formæ ipsius, & pectus adumbratum.

Stro-

ΣΧΟΛΙΑ.

ριπίδης ἐν Κρεσφόντῃ φησὶ, καὶ δὶς ἑπτὰ αὐτῆς τέκνα Νιόβης θανόντα Λοξίου τοξεύμασιν. ὁμοίως καὶ Αἰσχύλος ἐν Νιόβῃ, καὶ Ἀριστοφάνης δὲ ἐν δράμασι Νιόβης, ὁμοίως ζ' αὐτὰς λέγουσιν. εἶναι δὲ ἑπτὰ καὶ τοὺς ἄῤῥενας. Τιμαγόρας δὲ ἐν τοῖς Θηβαϊκοῖς φησιν, ὡς κακῶς πάσχοντες ὑπὸ τῶν περὶ Ἀμφίονα οἱ Σπαρτοὶ, ἀνεῖλον αὐτοὺς λοχήσαντες, ἀπιόντας εἰς Ἐλευθερὰς ἐπὶ πατρικὴν θυσίαν· τὴν δὲ Νιόβην εἴασαν ζῆν διὰ Πέλοπα. ἄλλοι δὲ ἄλλως ἱστοροῦσι περὶ αὐτῆς. ὁ μὲν γὰρ Φερεκύδης φησὶν, αὐτὴν ἔχειν παῖδας ς'. Ἀλαλκομενέα, Φηρέα, Εὔδωρον, Λύσιππον, Ξάνθον, Ἀργεῖον· θυγατέρας δὲ ς'. Χιόνην, Κλυτίαν, Μελίαν, Ὤραν, Λαμίππην, Πελοπίαν. Ἑλλάνικος δὲ ἐν τῇ ἐπιγραφῇ Ἀτλαντίδος, ἄρσενας δ' φησὶ, Ἀρχήνορα, Μενέστρατον, Ἀρχαγόραν. θυγατέρας δὲ τρεῖς, Ὠγυγίαν, Ἀστυκράτειαν. Ξάνθος δὲ ὁ Λυδὸς, δέκα, καὶ δέκα, ἐκ Φιλοξένου τοῦ Ἀσσυρίου, ὃς ᾤκει ἐν Σιπύλῳ. 163. Νιόβης Ἀδράστῳ) εἰκότως τούτῳ παρίσταται, καὶ τοῦτον θεραπεύει, δι' ὃ τὴν εἰς τὴν πατρίδα κάθοδον ὑπέσχηκα αὐτῷ βοηθεῖν.

166. Ἀντ-

165. Χαρακτῆρα τοῦ προσώπου ἐκείνου, καὶ στέρνα ἐξωμοιωμένα τοῖς στέρνοις ἐκείνου.

Στροφὴ ί.

Ἀνεμώκεος εἴθε δρόμον νεφέλας
Ποσὶν ἐξανύσαιμι δι' αἰθέρος
Πρὸς ἐμὸν ὁμογενέτορα.
Περὶ δ' ὠλένας δέρα φιλτάτα
Βάλλοιμι, χρόνῳ φυγάδα μέλεον.
Ὡς ὅπλοισι χρυσέοισιν εὐπρεπὴς, γέρον,
Ἑῴαις ὅμοια φλεγέθων
Βολαῖς ἀελίου.

Παι. Ἥξει δόμους τούσδ', ὥστε σ' ἐκπλῆσαι χαρᾶς
Ἔνσπονδος. Αν. οὗτος δ', ὦ γεραιὲ, τίς; πόθεν χωρεῖ;
Ὃς ἅρμα λευκὸν ἡνιοστροφεῖ βεβώς;

Παι. Ὁ μάντις Ἀμφιάραος, ὦ δέσποιν', ὅδε·
Σφάγια δ' ἅμ' αὐτῷ, γῆς φιλαίματοι ῥοαί.

Στροφὴ ιά.

Αν. Ὦ λιπαροζώνου θύγατερ Ἀελίου

ΣΧΟΛΙΑ.

166. Ἀνεμώκεος) ἡ ί αὕτη στροφὴ ἑτέρως μέν ἐστιν ἐσχηματισμένη, ὡς ἄνω τεθέντος τοῦ προσώπου, κώλων δέ ἐστιν ή. τὸ ά ἀναπαιστικὸν δίμετρον ἀκατάληκτον. τὸ β' ὅμοιον ἀκατάληκτον εἰς δισύλλαβον. τὸ γ' ὅμοιον πενθημιμερὲς ἐκ β' προκελευσματικῶν ἤτοι τετραβραχέων. τὸ δ' ἰωνικὸν τρίμετρον βραχυκατάληκτον ἐκ παίωνος τρίτου, ἀντὶ ἰωνικοῦ τροχαϊκῆς συζυγίας, ἤτοι ἐπιτρίτου β' καὶ ἰάμβου. τὸ έ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἰάμβου καὶ ἀναπαίστου, καὶ δύο χορείων. εἰ δὲ βούλει, ἰωνικὸν τρίμετρον καταληκτικὸν, ἐκ παιώνων β', καὶ ά, ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος καὶ χορείου. τὸ ς' τροχαϊκὸν τρίμετρον ὑπερκατάληκτον, Στησιχόρειον. τὸ ζ' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἐκ β' ἀντισπαστῶν καὶ ἰάμβου. τὸ ή ὅμοιον ἡμιόλιον. ἐπὶ τῷ τέλει παράγραφος.

166. Ἀνεμώκεος εἴθε) εἴθε δρόμον νεφέλας ἐξανύσαιμι ποσὶ δι' αἰθέρος, πρὸς ἐμὸν ὁμογενέτορα, φυγάδα μέλεον, περὶ δ' ὠλένας βάλλοιμι τῇ φίλῃ δέρῃ, διὰ χρόνου γάρ· αὕτη δὲ ἡ σύνταξίς ἐστιν, ἐὰν μὴ ἔγκειται τὸ ὡς ἴδον. ἐὰν δὲ ἔγκειται τὸ ὡς ἴδον, οὕτω συντακτέον, χρόνῳ φυγάδα μέλεον ὡς ἴδω. 172. Ἑῴαις ὅμοια) ταῖς ἑωθιναῖς βολαῖς τοῦ ἡλίου ἐοικώς. τὸν Ὁμηρικὸν δὲ Μενέλαον μιμεῖται Εὐριπίδης, ὑπόσπονδον Πολυνείκην ἄγων εἰς τὰς Θήβας,

ὡς

Strophe 10.

Velocis utinam curſum nubis
Pedibus conficere poſſem per aërem
Ad meum fratrem.
Brachia enim circum collum amiciſſimum
Jacerem, longo tempore exulem miſerum.
Armis aureis quàm decorus eſt, O ſenex,
Matutini fulgurans ſicut
Radii ſolis.

Sen. Veniet ad hanc domum, ut te expleat gaudio,
Fide publicâ acceptâ. *An.* Iſte vero, O ſenex,
quis eſt? Unde ortus eſt?
Qui currum candidum gubernat, cui inſidet?

Sen. Eſt vates *Amphiarus*, O domina, hic:
Victimæ verò cum eo, & libationes fluentes in
terram ſanguinis avaram.

Strophe 11.

An. O ſplendidam zonam habentis filia So-

ΣΧΟΛΙΑ.

ὡς ἐκεῖνος εἰς τὴν Ἴλιον εἰσῆλθε καθεδησόμενος τὸν πόλεμον. 178. Σφάγι' ἅμ' αὐτῷ) σφάγια μὲν τὰ ἱερά, ῥοαὶ δὲ σπονδαί. ἢ οὕτως, ὧν τὸ αἷμα τῆς γῆς ῥοαὶ γίνεται, ἢ ὧν τὸ αἷμα συμβαίνει παρὰ τὴν γῆν ἐκχεῖσθαι. τὸ γὰρ φιλεῖν, καὶ ἐπὶ τοῦ συμβαίνειν τάττεται. Ἄλλως. Ἐπίθετον τῆς γῆς ἐστὶ τὰ σφάγια μετήγαγεν. οἱ δὲ γράφουσι γῆς φιλαιμάτου, οἱ δὲ τὸ τέλειον φιλαιμάτοιο λέγουσιν. 176. Ἅρμα λευκὸν) λευκὸν τὸ ἅρμα φησὶ διὰ τοὺς ἵππους. ἐκ γὰρ τῶν ἵππων τὸ ἅρμα λέγει. εἰκότως δὲ ἡσυχῇ, καὶ σωφρόνως ἐλαύνει ὁ Ἀμφιάραος. οἶδε γὰρ ὡς μάντις τὰ ἀποβησόμενα. 179. Ὦ λιπαροζώνου θύγατερ) ἡ ια' αὕτη στροφή, ἑτέρως μέν ἐστιν ἐσχηματισμένη κατὰ τὸ τέλος, κώλων δέ ἐστιν ἕξ. τὸ α' δακτυλικὸν ἑφθημιμερές. τὸ β' χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ χοριάμβου

175. Ἔνσπονδος, ἤγουν ἠσφαλισμένος σπονδαῖς, φιλικός. 178. Σφάγια δ' ἅμ' αὐτῷ, ἤγουν ζῶα δὲ ἐν τῷ ἅρματι αὐτοῦ ἐπὶ τῷ σφαγιασθῆναι καὶ ῥεῦσαι τὸ αἷμα αὐτῶν προσφιλῶς τῇ γῇ. ὅτι δὲ ἐν τῷ ἅρματι αὐτοῦ ἔφερεν ὁ Ἀμφιάραος ζῶα ἕτοιμα εἰς σφαγήν, ἵνα ὅτε δοκεῖ αὐτῷ καλὸν σφάξῃ καὶ μαντεύσοιτο δι' αὐτῶν, δῆλον ἀφ' ὧν λέγει ἔμπροσθεν. εἰς δὲ Προιτίδας πύλας ἐχώρει σφάγια ἔχων ἐφ' ἅρμασιν Ἀμφιάραος.

Ἀελίου σελαναία,
Χρυσεόκυκλον φέγγος,
Ὡς ἀτρεμέα κέντρα
Καὶ σώφρονα πώλοις
Μεταφέρων, ἰθύνει.
Ποῦ δ' ὃς τὰ δεινὰ τῇδ' ἐφυβρίζει πόλει
Καπανεύς;
Παι. Ἐκεῖνος ἑπτὰ προσβάσεις τεκμαίρεται
Πύργων, ἄνω τε καὶ κάτω τείχη μετρῶν.

Στροφὴ ιβ'.

Αν. Ἰὼ Νέμεσις, καὶ Διὸς
Βαρύβρομοι βρονταὶ,
Κεραύνιόν τε πῦρ αἰθαλόεν,
" Σύ τοι μεγαλανορίαν ὑπεράνορα
" Κοιμί-

ΣΧΟΛΙΑ.

ἄμβου καὶ ἐπιτρίτου α'. τὸ γ' ὅμοιον καταληκτικόν. εἰ δὲ βούλει δακτυλικὸν τρίμετρον ἀκατάληκτον εἰς δισύλλαβον. τὸ δ' ὅμοιον ἐκ χοριάμβου καὶ ἀμφιβραχέος. εἰ δὲ βούλει, ἰαμβικὸν ἑφθημιμερές. τὸ ε' ἰωνικὸν ἀπὸ μείζονος ἡμιόλιον. εἰ δὲ βούλει, ἰαμβικὸν πενθημιμερὲς τοῦ β' ποδὸς ἀναπαίστου. τὸ ς' παιωνικὸν τρίμετρον καταληκτικὸν, ἐκ παίωνος δ' καὶ βραχέος. ἐπὶ τοῦ τέλει παράγραφος. 179. Λιπαροζώνου) εὐσφιγκτισώτου. Θύγατερ ἀελίου) Ἡσίοδος φησὶν, ἀδελφὴν ἡλίου εἶναι τὴν Σελήνην. Θεία τ' Ἥλιόν τε μέγαν λαμπράν τε Σελήνην. Αἰσχύλος δὲ καὶ οἱ φυσικώτεροι θυγατέρα, παρόσον ἐκ τοῦ ἡλιακοῦ φωτὸς μεταλαμβάνει, ἀμέλει καὶ μετὰ τὰς ἡλιακὰς ἀποστάσεις μεταμορφοῦται ἡ σελήνη. 182. Κέντρα) μάστιγας. 184. Ἰθύνει) κυβερνᾷ. 185. Ἐφυβρίζει) μετὰ ὕβρεως ἀπειλεῖ τὰ χαλεπὰ τῇ πόλει. 187. Προσβάσεις τεκμαίρεται) τὰς πύλας σκέπτεται. 189. Ἰὼ νέμεσις) ἡ ιβ' αὕτη στροφὴ κώλων ἐστὶ ιδ'. τὸ α' ἰωνικὸν ἀπὸ μείζονος, δίμετρον ἀκατάληκτον, ἐκ παίωνος β' ἀντὶ ἰωνικοῦ. τὸ β' ἰωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ', καὶ σπονδείου, εἰ δὲ βούλει, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ γ' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἰαμβικῆς συζυγίας, ἤτοι διϊάμβου καὶ πυρριχίου, ἢ ἰάμβου διὰ τὴν ἀδιαφορίαν. τὸ δ' προσοδιακὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος β', ἀντὶ ἰω-

lis Luna,
ureo circulo decorum lumen,
uàm placidos ſtimulos,
: modeſtos equis
ferens, gubernat *currum*.
bi verò eſt qui atrocia inſolentèr minatur
huic urbi
ipaneus?
Iſte conſiderat aditus ſeptem
urrium, ſurſum ac deorſum muros metiens.

Strophe 12.

O Nemeſis, & Jovis
raviter ſonantia tonitrua,
: ignis fulminis caliginoſi,
u ſuperbiam immodicam

“ Sedas:

ΣΧΟΛΙΑ.

χοριάμβου. τὸ ε΄ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον, ἐκ βου. τὸ ς΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, ἐκ χορι- ἐπιτρίτου, καὶ τροχαϊκοῦ. τὸ ζ΄ ὅμοιον τῷ ς΄. τὸ η΄ ἀντισπαστικὸν ον ὑπερκατάληκτον, ὃ καλεῖται Σαπφικὸν, ἢ Ἱππωνάκτειον, ίτου δ΄ ἢ τρίτου καὶ συλλαβῆς. τὸ θ΄ χοριαμβικὸν τρίμε- κατάληκτικὸν, ἐξ ἐπιτρίτου α΄, χοριάμβου ἢ ἀμφιβραχέος. ροσοδιακὸν, τρίμετρον βραχυκατάληκτον, ἐκ χοριάμβου παίωνος. εἰ δὲ βούλει, δακτυλικὸν πενθημιμερές. τὸ ια΄ χορι- ον. τὸ ιβ΄, χοριαμβικὸν, ὅμοιον τῷ ζ΄, ἐκ δύο χοριάμβων, ίτου ἢ χοριάμβου ἢ πυρριχίου, ἢ ἰάμβου διὰ τὴν ἀδιάφ- τὸ ιγ΄ χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ χοριάμβου ιάμβου διὰ τὴν ἀδιάφορον. τὸ ιδ΄ ὅμοιον ἡμιολίῳ. εἰ δὲ δακτυλικὸν ὅμοιον τῷ ιβ΄. ἐπὶ τοῦ τέλους δύο διπλαῖ, ἡ β χῇ τοῦ κώλου ἡ δὲ κατὰ τὸ τέλος, δηλοῦσα ὡς τέλος ἀνομοιόστροφα. Ἰὼ νέμεσις) φησὶ ὦ Νέμεσις δίκη, ἢ μεγαλόηχοι βρονταὶ, καὶ φῶς κεραύνιον καυστικὸν, σὺ κοιμίζεις νεῖς τὴν κενοδοξίαν τὴν ὑπεράνορα ἢ ὑψηλήν. 192. Με- ορίαν) μεγαλοφροσύνην, μεγαλορρημοσύνην, ἤγουν μετ- εωρίαν. 193. Ὀλ΄.

Ὡς ἀτρεμαία) λίαν ἡσύχως καὶ εὐτάκτως τὴν μάστιγα ἔχων φέρων τοὺς πώλους, ἰθύνει αὐτοὺς, ἄγων εἰς ὀρθὸν ἀγ.

« Κοιμίζοις. ὃ δ' ἐστὶν, αἰχμαλωτίδας
Ὃς δορὶ Θηβαίας Μυκήναισι,
Λερναία τε δῶσιν Τελαίνα,
Ποσειδωνείοις Ἀμυμωνείοις ὕδασι
Δουλείαν περιβαλών; μήποτε
Μήποτε τάνδ' ὦ πότνια, χρυσεοβόστρυχε
Ὦ Διὸς ἔρνος Ἄρτεμι,
Δουλοσύναν τλαίην.

Παι. Ὦ τέκνον, εἴσβα δῶμα, καὶ κατὰ στέγας
Ἐν παρθενῶσι μίμνε σοῖς, ἐπεὶ πόθου
Εἰς τέρψιν ἦλθες, ὧν ἔχρηζες εἰσιδεῖν.
Ὄχλος γὰρ, ὡς ταραγμὸς εἰσῆλθεν πόλιν,
Χωρεῖ γυναικῶν πρὸς δόμους τυραννικούς.
« Φιλόψογον γὰρ χρῆμα θηλειῶν ἔφυ·
« Σμικράς τ' ἀφορμὰς ἢν λάβωσι τῶν λόγων,
« Πλείους ἐπεισφέρουσιν. ἡδονὴ δέ τις
Γυναιξὶ, μηδὲν ὑγιὲς ἀλλήλαις λέγειν.

ΕΠΩ-

ΣΧΟΛΙΑ.

193. Ὃ δ' ἐστὶν) τὸ ἑξῆς, ὃ δ' ἐστὶν ὡς ἐπαγγέλλεται πολέμου δουλείαν περιβάλλων, αἰχμαλωτίδας γυναῖκας δώσειν Μυκήναισι, Λερναία τε Τελαίνα, τοῖς Ποσειδῶνος καὶ Ἀμυμώνης ὕδασι. διὰ γὰρ τὴν μίξιν τὴν Ποσειδῶνος καὶ Ἀμυμώνης πολύϋδρον γέγονε τὸ Ἄργος. τὸ Ὁμηρικὸν δὲ Ἕκτορος ἐμιμήσατο, φάσκοντος πρὸς Ἀνδρομάχην, Καί κεν ὕδωρ φορέοις Μεσσηΐδος ἢ Ὑπερείης. Ἄλλως. Τινὲς οὕτως. λείπει ὁ καί, καὶ εἰσὶ τὰ κτητικὰ ἀντὶ τῶν πρωτοτύπων. ὕδασι, Ποσειδῶνος καὶ Ἀμυμώνης. 195. Τελαίνα) Τελαινα τόπος Ἄργους, ἔνθα τὴν τελαιαν ὀρθὴν ἔστησεν ὁ Ποσειδῶν, συγγενόμενος τῇ Ἀμυμώνῃ, καὶ εὐθὺς κατ' ἐκεῖνο ὕδωρ ἀνέβλυσεν· ὃ καὶ τὴν ἐπίκλησιν ἔχει ἐξ Ἀμυμώνης. ἦν δὲ καὶ ἑτέρα κρήνη Λέρνη. ἀμφότεραι δὲ τοῦ Ἄργους εἰσίν. εἰπὼν οὖν Τελαίνα, ἐπεξηγήσατο διὰ τοῦ Ποσειδωνίοις, Ἀμυμωνίοις. 201. Σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς ἐν ἐκθέσει στίχων ἰάμβων τριμέτρων θ'. ἐπὶ τῷ τέλει κορωνίς, διὰ τὸ εἰσέρχεσθαι τὸν χορὸν, καὶ ὑποχωρεῖν τοὺς ὑποκριτάς. 201. Ὦ τέκνον, εἴσβα δῶμα) εἴσελθε εἰς τὸν οἶκον. 204. Ὄ-

χλος

“ Sedas: hícne est, captas
Qui *minatur* armis se Thebanas mulieres ad Mycenas
Ducturum, & ad *Lernaam Trianam*
Ad aquas Neptunias Amymones,
Conjiciens eas in servitutem? Nunquam,
Nunquam hanc, O veneranda, auro capillos revincta,
O Jovis filia Diana,
Servitutem sustineam.

Sen. Ingredere in domum, O filia, & in contignatione
In gynæceo maneas tuo: postquam desiderii tui
Ad delectationem venisti, eorum quæ cupiebas videre.
Cœtus enim (postquam tumultus urbem ingressus est)
Mulierum venit ad domum regiam.
“ Calumniosum enim est muliebre genus:
“ Et cum parvas occasiones sermonis accipiunt,
“ Plures addunt. Voluptas verò quædam
“ Mulieribus est, ut nihil sani inter se dicant.

E P O-

ΣΧΟΛΙΑ.

ὄχλος γάρ, ὡς) ἐπεὶ γὰρ ταραγμὸς εἰσῆλθεν εἰς τὴν πόλιν, ὄχλος γυναικῶν χωρεῖ εἰς τὰ βασίλεια, ἵν' ᾖ ὁ νοῦς, παραγινομένων τῶν Ἀργείων, καὶ πολεμούντων τοῖς Θηβαίοις, ὄχλος γυναικῶν εἰς τὰ βασίλεια παραγέγονεν. λέγει δὲ τὰς τοῦ χοροῦ γυναῖκας. αἵ τινες νεωστὶ ἦσαν ἀπὸ Φοινίκης ἐλθοῦσαι. ἔνιοι δὲ στίζουσιν, εἰς τὴν πόλιν, καὶ τὸ χώρει παροξύνουσι, καὶ οὕτως ἐξηγοῦνται, ὅτι γὰρ ὄχλος καὶ ταραγμὸς εἰσῆλθεν εἰς τὴν πόλιν, χώρει πρὸς δόμους τυραννικούς, καὶ μένε ὅπου αἱ γυναῖκες. φιλόψογον γὰρ χρῆμα θηλειῶν ἔφυ, ἵν' ᾖ τὸ ὡς ἀντὶ τοῦ ὅτι.

210. Τύριον

206. Φιλόψ.) φιλολοίδορον χρῆμα, ἤγουν αἱ γυναῖκες φιλερεπικῶς.

ΕΠΩΔΙΚΑ.

Στροφή.

Χο. Τύριον οἶδμα λιποῦσ᾽, ἔβαν
(Ἀκροθίνια Λοξίᾳ

Φοινίσ-

ΣΧΟΛΙΑ.

210. Τύριον οἶδμα) δέον ἐκ Θηβαίων γυναικῶν συνεστάναι τὸν χορὸν, Ἰοκάστην παραμυθουμένων ἐπὶ τοῖς συμβᾶσιν, ἐπειδὴ οὐκ ἐξ ἐγχωρίων, ἀλλ᾽ ἐκ ξένων συνέστηκεν, ὅπως ἀδεῶς ἀντιλέγωσι τῇ Ἐτεοκλέους πλεονεξίᾳ, ὥσπερ ἔμελλον τὸν βασιλέα ἐλέγχειν, οὐχ ὑπ᾽ αὐτοῦ ἐβασιλεύοντο. διὰ τοῦτο Φοίνισσαι εἰσὶν αἰχμαλώτιδες, Ἀγηνοριδῶν ἐκπεπορθηκότων Τύρον, καὶ τὰς ἀκροθίνας αὐτῶν Ἀπόλλωνι πεπομφότων, ἃς καὶ ἀκροθίνια Εὐριπίδης λέγει Λοξίᾳ. ἀπερχόμεναι οὖν διὰ τῶν Θηβῶν ἐκεῖσε, ἠναγκάσθησαν εἰς Θήβας ἐπιμεῖναι, διὰ τὸν ἐπιστάντα πόλεμον τῶν Ἀργείων. Τύριον οἶδμα) τὰ παρόντα εἴδη ἑτέρως εἰσὶν ἐσχηματισμένα. τὰ μὲν γὰρ εἰσὶ μονοστροφικὰ καὶ μικτὰ κατὰ χρῆσιν ἄτακτα, καὶ συστηματικὰ ἐξ ἀνομοίων κατὰ περιορισμοὺς ἀνίσους. εἰσὶ δὲ τὰ κατὰ χρῆσιν μιᾶς στροφῆς. εἰσὶ γοῦν τῆς μονοστρόφου στροφῆς τὰ κῶλα λϛ´. τὸ α´ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἀντισπάστου πυῤῥιχιακοῦ διαλελυμένης τῆς πρώτης μακρᾶς εἰς β´ βραχείας, καὶ διϊάμβου. εἰ δὲ βούλει, ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος δ´ καὶ γ´, ἀντὶ ἰωνικοῦ ἀπ᾽ ἐλάττονος, καὶ συλλαβῆς. τὸ β´ ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. εἰ δὲ βούλει, περίοδος ἐκ τροχαϊκῆς καὶ ἰαμβικῆς συζυγίας. τὸ γ´ ἀντισπαστικὸν τρίμετρον, καταληκτικὸν, φερεκράτειον, ἐξ ἐπιτρίτου δ´ καὶ βακχείου. τὸ δ´ ὅμοιον ἐκ διασπονδείου καὶ βακχείου. τὸ ε´ ἰωνικὸν ἀπ᾽ ἐλάττονος, τρίμετρον βραχυκατάληκτον, ἐκ παίωνος δ´, ἐπιτρίτου, καὶ ἰάμβου. εἰ δὲ βούλει, ἀναπαιστικὸν ἑφθημιμερὲς ἐκ χρείας δακτύλου. τὸ ϛ´ ἰωνικὸν δίμετρον καταληκτικὸν, ἐκ διτροχαίου καὶ βακχείου. τὸ ζ´ ἰωνικὸν ἀπ᾽ ἐλάττονος δίμετρον ἀκατάληκτον, ἐκ παίωνος δ´ καὶ γ´, ἢ ἰωνικοῦ, διὰ τὴν ἀδιαφορον. τὸ η´ ὅμοιον. τὸ θ´ ἀναπαιστικὸν δίμετρον ὑπερκατάληκτον, τοῦ δ´ ποδὸς χρείου. τὸ ι´ ὅμοιον δίμετρον ἀκατάληκτον, τοῦ β´ ποδὸς ἰάμβου. τὸ ια´ ἀντισπαστικὸν τρίμετρον καταληκτικὸν, ἐκ διϊάμβου, ἐπιτρίτου δ´ καὶ ἀμφιβραχέος. τὸ ιβ´ ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ὑπερκατάληκτον, ἐξ ἰωνικοῦ, ἐπιτρίτου δ´ καὶ συλλαβῆς. τὸ ιγ´ ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου δ´ καὶ διϊάμβου. τὸ ιδ´ ὅμοιον τῷ ιγ´. τὸ ιε´ ὅμοιον ἐξ ἐπιτρίτου γ´, καὶ ἀναπαίστου.

εἰ

EPODICA.

Strophe.

Cho. Relinquens Tyrium mare, veni 210
(Primitiæ spoliorum Loxiæ

Phœ-

ΣΧΟΛΙΑ.

εἰ δὲ βούλει, ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, ἐξ ἐπιτρίτου ποδὸς ἀνωτάτου. τὸ ις΄ ὅμοιον τῷ α΄. τὸ ιζ΄ ὅμοιον τῷ γ΄. τὸ ιη΄ δακτυλικὸν τετράμετρον, ἤτοι δίμοιρον ἔπους. ἔστι δὲ ἀκέφαλον. τὸ κ΄ ὅμοιον τῷ α΄. τὸ κα΄ ὅμοιον καθὸ πάντα. τὸ κβ΄ ὅμοιον τῷ ιγ΄. τὸ κγ΄ ὅμοιον τῷ γ΄. τὸ κδ΄, ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου, α΄ καὶ διϊάμβου, καὶ συλλαβῆς. τὸ κε΄ ὅμοιον τὸ γ΄. τὸ κϛ΄ ὅμοιον τῷ β΄. τὸ κζ΄ προσοδιακὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἐπιτρίτου δ΄, χοριάμβου καὶ σπονδείου. τὸ κη΄, χοριαμβικὸν μονόμετρον, ὑπερκατάληκτον, ἐξ ἐπιτρίτου α΄ καὶ διϊάμβου καὶ συλλαβῆς. τὸ κθ΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον. εἰ δὲ βούλει, ἰωνικὸν τρίμετρον ἀκατάληκτον, ἐξ ἐπιτρίτου δ΄ καὶ τροχαίου. τὸ λ΄ ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος δ΄, ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος, καὶ διτροχαίου. τὸ λα΄ ὅμοιον ἐκ σπονδείου καὶ ἰωνικοῦ ἀπ' ἐλάττονος, κατὰ συνίζησιν. τὸ λβ΄ χοριαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ β΄ ποδὸς πεντασυλλάβου, διὰ τὴν ἀδιάφορον. τὸ λγ΄ ὅμοιον τῷ λα΄, ἐξ ἐπιτρίτου α΄ καὶ ἰωνικοῦ κατὰ συνίζησιν. τὸ λδ΄ χοριαμβικὸν δίμετρον ἀκατάληκτον, ἐκ διϊάμβου καὶ χοριάμβου διὰ τὴν ἀδιάφορον. τὸ λε΄ ὅμοιον τῷ ιη΄. τὸ δὲ λϛ΄ ἰωνικὸν ἀπὸ μείζονος, ἡμιόλιον ἐξ ἰωνικοῦ καὶ τροχαίου. εἰ δὲ βούλει, ἀναπαιστικὸν πενθημιμερές. ταῦτα ἐπὶ τῆς μονοστρόφου στροφῆς τὰ κῶλα. τῆς δὲ κατὰ σχέσιν στροφῆς, εἰσὶν ια΄. καὶ τὰ τῆς ἀντιστροφῆς, τοσαῦτα. εἰσὶ δὲ τὸ μ θ΄, καὶ τὸ ιφ΄ τροχαϊκὰ δίμετρα καταληκτικά, ἤτοι ἑφθημιμερῆ, ἃ καλεῖται κυρίως Εὐριπίδεια· ἢ ληκύθια. τὸ δὲ ι΄ ὅμοιον τροχαϊκὸν, τρίμετρον βραχυκατάληκτον. τὸ μέντοι τῆς ἀντιστροφῆς ἐναντίον κῶλον οὐ καλῶς ἔχον, διωρθώθη παρ' ἡμῶν, καὶ ἔχει τὸν δ΄ καὶ τὸν γ΄ πόδα χορείους.

210. Τύριον οἶδμα) τὴν θάλασσαν τῆς Τύρου λιποῦσα ἦλθον ἐξαίρετον ἀνάθημα τῷ Λοξίᾳ, ἤγουν τῷ Ἀπόλλωνι, ἀπὸ χερρονήσου τῆς Φοινίκης· δούλη τῶν οἰκημάτων τοῦ Φοίβου, ὅπου ὑπὸ ταῖς ἀκρωτηρίοις ταῖς χιονοβλήτοις τοῦ Παρνασσοῦ ἐνληρώθην οἰκῆσαι, ναῒ πλεύσασα κατὰ τὸν πόντον τὸν Ἰόνιον, ζεφύρου σφοδρῶς πνεύσαντος ἐν τῷ ἀέρι κάλλιστον κελάδημα ὑπὲρ τῶν πεδίων τῆς Σικελίας τῶν πολυκάρπων· ἐκ τῆς ἐμῆς πόλεως ἐκλεχθεῖσα ἐξαίρετος τῷ Λοξίᾳ.

Φοινίσσας ἀπὸ νάσου
Φοίβῳ δούλα μελάθρων,
Ἵν' ὑπὸ δειράσι νιφοβόλοιο
Παρνασοῦ κατενάσθη)
Ἰόνιον κατὰ πόντον
Ἐλάτᾳ πλεύσασα, περιρ-
ρύτων ὑπὲρ ἀκαρπίστων
Πεδίων Σικελίας,

Ζεφύρου

ΣΧΟΛΙΑ.

χορείους. ἐχρήσατο δὲ τοῖς τροχαϊκοῖς ἐνταῦθα μέτροις, διὰ τὸ τοὺς πολεμίους καὶ σφοδραῖς ἐπελθεῖν ὁρμαῖς, καὶ συνεχέσι δρόμοις τὴν πόλιν κλονίζειν. διὸ καὶ τό, θοῦρος μολὼν ἄρης ἔφη. ἐπὶ τοῖς ἀποθέσεσι τῆς μονοστρόφου στροφῆς τῶν συστημάτων, καὶ ἐπὶ τοῖς ϛ' τῆς κατὰ σχέσιν στροφῆς παράγραφος. ἐπὶ δὲ τὸ τῆς ἀντιστροφῆς, κορωνίς. Τύριον οἶδμα) τοῦτο τὸ μέλος στάσιμον λέγεται. ὅταν γὰρ ὁ χορὸς μετὰ τὴν πάροδον λέγῃ τι μέλος ἀνῆκον τῇ ὑποθέσει, ἀκίνητος μένων, στάσιμον καλεῖται. πάροδος δέ ἐστιν ᾠδὴ χοροῦ βαδίζοντος, ἀδομένη ἅμα τῇ ἐξόδῳ, ὡς τὸ σῖγα λεπτὸν ἴχνος ἀρβύλης τίθετε. ἔνιοι δέ φασιν ἀπὸ συμπολιτίδων, ἢ συγγενίδων τῆς Ἰοκάστης, αἵτινες ἔμελλον παραμυθήσασθαι αὐτὴν ἐπὶ ταῖς συμβάσεσιν. ἐπίτηδες οὐκ εἰσὶν ἐγχώριαι αἱ τοῦ χοροῦ, ἀλλὰ ξέναι, καὶ ἱερόδουλοι, ὅπως ἐν τοῖς ἑξῆς ἀδεῶς ἀντιλέγοιεν πρὸς τὴν Ἐτεοκλέους ἀδικίαν, οὐκ εὖ λέγειν χρὴ ἐπὶ τοῖς ἔργοις μὴ καλοῖς. ἀεὶ γὰρ ὁ χορὸς παρρησιαζόμενος, τοῦ δικαίου προΐσταται. πῶς οὐκ ἔμελλον τὸν βασιλέα ἐλέγχειν, εἰ ἐβασιλεύοντο ὑπ' αὐτοῦ; Οἶδμα) τὸ πέλαγος. Ἀκροθίνια δὲ κυρίως αἱ τῶν καρπῶν ἀπαρχαί, παρὰ τὸν θῖνα, ὅ ἐστι τὸν σωρὸν τῆς ἅλω. καταχρηστικῶς δὲ λέγονται καὶ αἱ ἀπαρχαὶ τῆς λείας. καὶ τὸ κατενάσθην, ἀντὶ τοῦ κατενασθήσομαι. καὶ Σιμωνίδης ἐν ἰάμβοις· Τί ταῦτα τῶν μακρῶν λόγων ἀνέδραμον, ἀντὶ τοῦ ἀναδραμεῖν μέλλω. ἐγὼ δὲ οἶμαι οὕτως ἐστίν, ὥστε ἐν Φοινίκῃ κατεπάχθην οἰκῆσαι τὸν Παρνασσόν.

212. Φοινίσσας ἀπὸ νάσου) οὐ νῆσος, ἀλλ' ἤπειρος ἡ Φοινίκη παράλιος. κατεχρήσατο τοίνυν τῇ φράσει. τινὲς δὲ Φοινίσσας νήσου τῆς Τύρου. νησιάζεται γάρ. οἱ ἀπὸ Ἀγήνορος καταγόμενοι, συγγένειαν ἔχοντες πρὸς τοὺς περὶ Ἐτεοκλέα, ἃς ἔλαβον αἰχμαλώτους τὴν Τύρον ἑλόντες, ἀπέστειλαν αὐτῷ, ἵνα δι' αὐτοῦ τοῦ Ἐτεοκλέους εἰς Δελφοὺς ἀποσταλῶσιν ἀναθήματα τῷ θεῷ. ἐπεὶ οὖν ἄδηλον ἦν, πόθεν ἐληλύθασιν, αὐτὰς πεποίηκε τὴν κατ' αὐτὰς τύχην ἀπαγγεῖλαι.

214. Ἵν' ὑπὸ) ὅπως ὑπὸ ταῖς ἐξοχαῖς ταῖς χιονιζομέναις τοῦ Παρ-

νασοῦ

Phœniſſâ ex inſulâ
Phœbò, miniſtra aulæ,
Ubi ſub jugis nivoſi
Parnaſſi habito)
Ionium per mare
Remo navigans, mariti-
mos juxta ſteriles
Campos *Siciliæ*,

Zephyri

ΣΧΟΛΙΑ.

ναοῦ παχθῆναί με οἰκῆσαι. 216. Ἰόνιον κατὰ πόντον) Διαπορεῦσι πῶς λέγουσιν αἱ κατὰ τὴν χρεὼν Φοινίκης εἰς Δελφοὺς πλεῦσαι κατὰ τὸν Ἰόνιον πόντον καὶ Σικελίαν γεγονέναι, καὶ ταῦτα Ζεφύρου πνεύσαντος, καὶ ἐναντιουμένου τῷ πλῷ. δεῖ οὖν τὸ ἑξῆς ἀκούειν, Τύριον οἶδμα λιποῦσα ἔβην ἐλάτᾳ, λοιπὸν τὴν αἰτίαν τοῦ κώπαις αὐταῖς καὶ μὴ οὐρίᾳ, πεπλευκέναι, ἀποδιδόασι τῇ Ζεφύρου πνοῇ, ὃς ἐκ τῶν δυτικῶν πνέων ἀντιβαίνει τοῖς ἀπὸ ἀνατολῆς ἐπὶ τὰ δυτικὰ πλέουσιν, ὅς ἐστιν ἀπὸ Συρίας εἰς Ἑλλάδα. ἐλάτῃ τοίνυν ἔπλευσα τοῦ ζεφύρου κατὰ τὸν οὐρανὸν πνεύσαντος κάλλιστα κελαδήματα ὑπὲρ ἄνω τῶν Ἰονίων καὶ τῶν ἀκαρπίστων πεδίων, ἅπερ εἰσὶ δυτικά. ἀκάρπιστα δὲ οἱ μὲν τὰ πολύκαρπα, οἱ δὲ τὰ θαλάσσια πεδία, ὅ ἐστι τὰ ἄκαρπα. ὥσπερ καὶ ἀτρύγετον λέγεται. ἔνιοι δὲ Ἰόνιον λέγουσι τὸ κατ' Εὔβοιαν πέλαγος, τὸ περὶ Ἰωνίαν πόλιν Εὐβοίας, ἣν ἔκτισεν Ἴων ὁ Ξούθου, βασιλεύσας ἔτη κζʹ. Ἐλάτᾳ πλευσάσῃ τὸν Ἰόνιον κατὰ πόντον τοῦ ζεφύρου πνεύσαντος, ὑπὲρ ἄνω τῶν ἀκαρπίστων πεδίων τῆς Σικελίας. Σικελίαν δὲ φασὶν εἶναι μικρὰν νῆσον, μεταξὺ Χαλκίδος καὶ Αὐλίδος. ταύτην δὲ ἄκαρπον εἰρῆσθαι, παραβαλλομένην τῇ μεγάλῃ νήσῳ, καὶ πολυκάρπῳ Σικελίᾳ. οἱ δὲ φασὶν, Αἰσχύλῳ αὐτὸν ἑπόμενον πάντα τόπον ἰόνιον λέγεσθαι, ὃν ἀλωμένη ἐπῆλθεν ἡ Ἰώ, ὅθεν καὶ ὡς ἐναντίου ἀνέμου πνέοντος τοῖς ἀπὸ Φοινίκης πλέουσι κώπῃ πεπλευκέναι φασὶν, ἢ καὶ πνεύσαντος ἤδη τοῦ ζεφύρου καὶ πεπαυμένου, ὅτε γαληνὸν ἦν τὸ πέλαγος ἐν ὥρᾳ εἰαρινῇ. ὁ δὲ Κράτης φησὶν αὐτὰς δηλοῦν τὴν ὥραν καθ' ἣν ἐκομίσθησαν εἰς τὴν Ἑλλάδα, τὴν μετὰ ζεφύρου πνοὰς, τοῦ φαινομένου κατὰ τὸν Ἰόνιον κόλπον. Σημαίνει οὖν τὸν ἐαρινὸν καιρόν. οἱ δὲ λέγουσι τοὺς ἀπὸ Συρίας εἰς τὴν Ἑλλάδα εἰσβάλλοντας τὸν Ἰόνιον πόντον περᾶν. 218. Ἀκαρπίστων) τῶν σφοδρῶς ῥεομένων καὶ χεομένων. ἀκάρπιστα δὲ πεδία τὴν θάλασσαν φησὶν, ἐπεὶ ἐπιπλέουσιν αἱ νῆες δοκοῦσιν ὀχήματος τρόπον. οὕτω καὶ Ἴων λέγει· Ὅπου δὲ πόντου πεδίον Αἰγαῖον δραμών. καὶ Αἰσχύλος Νηρηΐσι· Δελφινοφόρον πεδίον πόντου διαμειψάμεναι.

220. Ἱππεύ-

Δικόρυφον σέλας, ὑπὲρ ἄκρων
Βακχείων, Διονύσου οἴνα θ',
Ἃ καθαμέριον στάζεις τὸν
Πολύκαρπον οἰνάνθας ἱεῖσα βότρυν.
Ζάθεά τ' ἄντρα δράκοντος,
Οὔρειαί τε σκοπιαὶ θεῶν,
Νιφόβολόν τ' ὄρος ἱερὸν
Ἑλίσσων ἀθανάτας θεοῦ
Χορὸς, γενοίμαν ἄφοβος,
Παρὰ μεσόμφαλα γύαλα
Φοίβου, Δίρκαν προλιποῦσα.

ANTI-

ΣΧΟΛΙΑ.

235. Δικόρυφον σέλας) δικόρυφον αὐτὸν εἶπεν, ἐπειδὴ ἐν ἀμφοτέραις ταῖς ἄκραις τοῦ Παρνασσοῦ εἰσὶν ἱερὰ, τὸ μὲν Ἀρτέμιδος καὶ Ἀπόλλωνος, τὸ δὲ Διονύσου· ἐπεὶ τοίνυν ἐν ἑκατέρᾳ πῦρ ἀνάπτεται περὶ τὰς θυσίας, τούτου χάριν καὶ τὸ πῦρ δικόρυφον εἶπεν, ἅτε δὴ ἐν ἑκατέρᾳ ἄκρᾳ ἁπτόμενον. οὐκ ἀπὸ τῶν δύο δὲ κορυφῶν ἀναδίδοται αὐτόματον πῦρ, ἀλλ' ἀπὸ ἑνὸς ἄκρου. δοκεῖ τοῖς κάτω ἐκ δύο ἀναδίδοσθαι, διὰ τὸ ἐπίπροσθεν σκόπελον. καὶ ὥσπερ ἐξ αὐτοῦ ἐπιμερίζεσθαι τὸ πῦρ ὑπὲρ ἄκρων. εἰς τὴν τοῦ Διονύσου κορυφὴν, φασὶν εἶναι ἄμπελον, ἥτις καθ' ἑκάστην ἡμέραν ἕνα βότρυν ἔφερεν, ἐξ οὗ ἡ σπονδὴ τῷ Διονύσῳ ἐγένετο. οἰνάνθη δὲ λέγεται ἡ πρώτη ἔκφυσις τῶν βοτρύων. οἰνάνθας οὖν βότρυν, τὸν οἰνάνθης βότρυν προκόπτοντα. οἴνη δὲ καλεῖται ἡ ἄμπελος. Σοφοκλῆς δὲ ἐν Θυέστῃ ἱστορεῖ, καὶ παρ' Εὐβοεῦσιν ὁμοίαν ἄμπελον εἶναι τῇ ἐν Παρνασσῷ, λέγων οὕτως· Νῆσος μὲν ἐστι γάρ τις ἐναλία Τῆς Εὐβοίας, τῇδε Βακχεῖος βότρυς Ἐπ' ἦμαρ ἕρπει· πρῶτα μὲν λαμπρᾶς ἕως Κεκλημάτωται χλωρὸς, οἰνάνθης δέμας· Εἶτ' ἦμαρ αὔξει μέσσον, ὄμφακος τρόπον, Καὶ κλίνεταί τε, κἀποπερκοῦται βότρυς· Δείλη δὲ πᾶσα τέμνεται βλαστουμένη Καλῶς, Ὀπώρα, κἀνακιρνᾶται ποτόν.

Duorum verticum lumine, ſupra cacumen
Bacchi, & tu, ô Bacchi vitis,
Quæ quotidianum exſtillas *potum*,
Fœcundum Vitis florentis producens botrum.
O divina antra draconis,
Montanæque ſpeculæ deorum,
Nivoſúmque montem ſacrum
Circumdans immortalis Deæ ſc. *Dianæ*
Chorus, utinam ſim ſine metu
In medio umbilico latebrarum
Phœbi, relictâ Dirce.

ANTI-

ΣΧΟΛΙΑ.

πεδίον. 236. Οἴνα θ') ὦ ἄμπελε, ἥ τις τὸν πολύκαρπον βότρυν ἀποστάζεις, ἀπὸ τῆς οἰνάνθης αὐτὸν ἐκπέμπουσα. οἰνάνθη δὲ ἡ πρώτη ἔκφυσις τῆς σταφυλῆς. 239. Δράκοντος) τοῦ Δελφίνου, ὃν ἀνεῖλεν ὁ Ἀπόλλων. 240. Σκοπιάς τε θεῶν φησὶ τὸν κατοπτευτήριον τόπον, οὕτω καλούμενον. ἐν Παρνασσῷ κατοπτεύσας Ἀπόλλων, τὸν Δελφὶν κατετόξευσεν. 241. Ἱερὸν ἑλίσσων) τινὲς στίζουσιν εἰς τὸ ἱερόν. τὸ δὲ ἑλίσσων, ἀντὶ τοῦ περιχορεύων. περιττὸς ὁ τε. ἵν' ᾖ, γενοίμην χορὸς τῆς θεοῦ, ἑλίσσων ἐν ταῖς χορείαις τὸ ὄρος. οἱ δὲ στίζουσιν, εἰς τὸ ὄρος ἱερὸν ἑλίσσων, ἵν' ᾖ, καὶ σύ, ὦ Ἄπολλον, περιέπων τὸν Παρνασσόν. 243. Ἄφοβος) οἱ γὰρ ἱερόδουλοι οὐδένα φοβοῦνται. 244. Γύαλα Φοίβου) τὰ κοιλώματα τοῦ ὄρους· τοιαῦται γὰρ αἱ φύσεις τῶν ὀρῶν ἐν ὕψει καὶ ἐν βάθει συγκειμένων.

246. Νῦν

236. Καὶ ὦ οἴνη, ἤγουν ἄμπελε, ἥτις καθ' ἑκάστην ἡμέραν στάζεις οἶνον, διδοῦσα τὸν ἀεὶ καρποφορούμενον βότρυν τῆς οἰνάνθης, τουτέστι τὸν τὴν οἰνάνθην ποιοῦντα, ἤγουν τὸν λεπτότατον οἶνον. 241. Νιφόβολον) ὦ χιονόβλητον ὄρος ἱερὸν τοῦ Παρνασσοῦ πάλιν λέγει. 242. Εἴθε καταλιποῦσα τὴν Δίρκην, τουτέστι τὰς Θήβας, γενοίμην τῆς ἀθανάτου Θεοῦ, τῆς Ἀρτέμιδος χορὸς ἑλισσόμενος, ἤγουν στρεφόμενος, ἄφοβος κατὰ τοὺς ναοὺς τοῦ Ἀπόλλωνος τοὺς κατὰ τὸ μέσον τῆς γῆς.

Καὶ τὸ θεόθεν. οὐ γὰρ ἄδικον
Εἰς ἀγῶνα τόνδ' ἔνοπλος ὁρμᾷ
Παῖς, ὃς μετέρχεται δόμους.

ΠΟΛΥΝΕΙΚΗΣ, ΧΟΡΟΣ, ΙΟΚΑΣΤΗ, ΕΤΕΟΚΛΗΣ.

Ἰαμβοί.

Πολ. ΤΑ μὲν πυλωρῶν κλεῖθρά μ' εἰσεδέξατο
Δι' εὐπετείας, τειχέων εἴσω μολεῖν.
Ὃ καὶ δέδοικα, μή με δικτύων ἔσω
Λαβόντες, οὐ μεθῶσ' ἀναίμακτον χρόα.
Ὧν οὕνεκ' ὄμμα πανταχῇ διοιστέον,
Κἀκεῖσε καὶ τὸ δεῦρο, μὴ δόλος τις ᾖ.
Ὡπλισμένος δὲ χεῖρα τῷδε φασγάνῳ,
Τὰ πιστ' ἐμαυτῷ τοῦ θράσους παρέξομαι.
Ὠή, τίς οὗτος; ἢ κτύπον φοβούμεθα;
« Ἅπαντα γὰρ τολμῶσι δεινὰ φαίνεται,
« Ὅταν δι' ἐχθρᾶς πούς ἀμείβηται χθονός.
Πέποιθα μέν τοι μητρί, κοὐ πέποιθ' ἅμα,

Ἣ

ΣΧΟΛΙΑ.

268. Τὰ μὲν πυλωρῶν) τὰ μὲν πυλώματα τὰ ἐπιτετραμμένα τοῖς πυλωροῖς, δι' εὐκολίας ὑπεδέξαντο. ὅθεν καὶ διὰ τὸ εὐμαρῶς, καὶ εὐχερῶς με ὑποδέξασθαι τοὺς φύλακας, ὑποπτεύω μὴ δόλος ἐστί. 269. Δι' εὐπετείας) δι' εὐμαρείας, δι' εὐχερείας. 271. Οὐ μεθῶσιν) οἱ μὲν ὑποκριταὶ διὰ τὸ δυσέκφορον μεταπλάττουσι τὴν λέξιν. καὶ Φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων ῥημάτων, ὅτι διαλαμβάνει περὶ τοῦ χρῶ, ταύτην τὴν χρῆσιν. ὡπλισμένος δὲ τῷδε φασγάνῳ, ἀνόητον τὴν χρῆσιν φασὶ τῷ ξίφει πιστεύειν, ταῖς σπονδαῖς δὲ μήπω. εἰ δὲ καὶ μόνος ὤν, κρατῆσαι ἐδύνατο ἐπιβουλευόντων τοσούτων. ἀγνοοῦσι δὲ

ὅτι

268. Αἱ μὲν συστηματικαὶ αὗται περίοδοι εἰσὶν ἰαμβικῶν τριμέτρων λ', ὧν τελευταῖος, Καλεῖ δὲ Πολ—— ἐπὶ ταῖς ἀποθέσεσιν ἑκάστου συστήματος, παράγραφος.

Et divinam vindictam. Non enim injustum
Ad certamen hoc armatus ruit
Filius, qui suam repetit domum.

POLYNICES, CHORUS, JOCASTA, ETEOCLES.

Pol. CLaustra quidem janitorum me receperunt
Facilè, ut venirem in urbem.
Propter quod etiam metuo, nè me intra retia
Accipientes, non dimittant sine cæde corpus.
Quapropter circumferendi sunt undique oculi
Huc & illuc, nè quis sit dolus.
Armatus verò manum hoc ense,
Fiduciam mihi ipsi confidentiæ præbebo.
Ohe quid istuc est? an verò strepitum metuo?
Nam cuncta *quamvis* fortibus periculosa viden-
Quando per hostilem pes incedit terram. [tur,
Confisus sum matri (& tamen non planè confido)
Quæ

ΣΧΟΛΙΑ.

ι οἱ μετ' ἀνάγκης ἐπί τινα κίνδυνον ἐρχόμενοι, οὐχὶ ἐκ τῶν ἐνδε-χομένων θηρῶνται τὴν ἀσφάλειαν ἐθέλουσιν, ἀλλ' οἵαν παρὰ τοῦ καιροῦ λαμβάνουσι, καὶ οἱ ἐπ' ἐρημίας μετὰ ξιφιδίου πορεύονται, ἧττον μὲν ὡπλισμένοι τῶν ὑποπτευομένων θηρῶν, ἢ λῃστῶν. ἄμεινον δὲ τῶν ἀόπλων. τοῦτο καὶ Πολυνείκει συνέβη, ἀναγκασθεὶς γὰρ ἐπὶ διαλ-λαγαῖς εἰς τὰς Θήβας ἐλθεῖν, ἔρχεται μετὰ, ἵνα μὴ δόξῃ δύσερις εἶναι. ὅλον δὲ ὑποπτεύων τὴν ἀσφάλειαν κατὰ τὸ δυνατὸν ἐποιήσατο, ν πίστιν τοῦ θαῤῥεῖν, ὅ ἐστι τὴν ἀσφάλειαν τοῦ θαῤῥεῖν. Ὠὴ δὲ, ἐπίφθεγμα ἀνακλήσεως· τὸν κτύπον οὖν φησὶν ἀποφατικῶς ὄντα, ἤγουν κενὸν ψόφον ὑφορώμεθα. 271. Οὐ μεθῶσιν) οὐκ ἀφῶσιν ζῶον. 281. Βώμι-

265. Καὶ τὸ θεόθεν) τὴν δικαιοσύνην. οὐ γὰρ ἀδίκως εἰς τόνδε τὸν ἀγῶνα τὸν τῆς μάχης ὥρμησεν ὁ παῖς ἔνοπλος ὃς μετέρχεται, ζητεῖ, ἐπιζητεῖ τοὺς δόμους, ἀντὶ τοῦ τὴν βασιλείαν.

Ἤ τις μ' ἔπεισε δεῦρ' ὑπόσπονδον μολεῖν.
Ἀλλ' ἐγγὺς ἀλκή· βώμιοι γὰρ ἐσχάραι
Πέλας πάρεισι, κοὐκ ἔρημα δώματα.
Φέρ', ἐς σκοτεινὰς περιβολὰς μεθῶ ξίφος,
Καὶ τάσδ' ἔρωμαι, τίνες ἐφεστᾶσιν δόμοις.
Ξέναι γυναῖκες, εἴπατ', ἐκ ποίας πάτρας
Ἑλληνικοῖσι δώμασιν πελάζετε;

Χο. Φοίνισσα μὲν γῆ πατρὶς, ἡ θρέψασά με·
Ἀγήνορος δὲ παῖδες ἐκ παίδων δορὸς
Φοίβῳ μ' ἔπεμψαν ἐνθάδ' ἀκροθίνιον.
Μέλλων δὲ πέμπειν μ' Οἰδίπου κλεινὸς γόνος
Μαντεῖα σεμνὰ, Λοξίου τ' ἐπ' ἐσχάρας,
Ἐν τῷδ' ἐπεστράτευσαν Ἀργεῖοι πόλιν.
Σὺ δ' ἀνταμείψαι μ', ὅστις ὢν ἐλήλυθας
Ἑπταπύλων πύργωμα Θηβαίας χθονός.

Πολ. Πατὴρ μὲν ἡμῖν Οἰδίπους ὁ Λαΐου·
Ἔτικτε δ' Ἰοκάστη με, παῖς Μενοικέως.
Καλεῖ δὲ Πολυνείκην με Θηβαῖος λεώς.

MONO-

ΣΧΟΛΙΑ.

281. Ξέναι) [illegible] αὐτὰς, εἰ [illegible] ὁ Πολυνείκης [illegible] ταῖς Φοινίσσαις [illegible] Πολυνείκην [illegible] Φοίνισσαι. [illegible] Τὰς τίς [illegible] θεράπας [illegible] τοὺς βωμοὺς πλησίον εἶναι φησὶν, ὡς [illegible] ἱκέτης γενόμενος. Ἐσχάραι δὲ κυρίως [illegible] ἐπὶ [illegible] τὰς κάτω ἐσχαρίδας. Βωμὸς δὲ [illegible] καὶ αἱ βώμιοι ἐσχάραι, τὰ [illegible] 282. Κοὐκ ἔρημα. [illegible] ψυχῆς [illegible] 283. Ἐς σκοτεινὰς εἰς τὸ κοῖλον, [illegible]

Quæ mihi persuasit,ut sub fide huc venirem.
ed propè est Defensio: foci enim altarium
ropè adsunt, & non desertæ domus.
ge dimittam gladium in obscuram vaginam,
t has interrogabo, quænam astent ædibus.
eregrinæ mulieres, dicite, quânam ex patriâ
cceditis ad Græcas domos?
Terra quidem Phœnissa patria aluit me:
genoris verò nepotes ex spoliis
liserunt me huc Phœbo primitias:
umque esset me missurus Oedipi filius inclytus
d venerandum oraculum, & aras Apollinis,
itereà Argivi duxerunt exercitum ad urbem.
u verò vicissim-responde mihi, quisnam sis, qui venis
d Thebas urbem turritam septem-portarum.
Pater mihi quidem est Oedipus Laii filius,
eperit verò me Jocaste filia Menœcei,
ocátque me Polynicem Thebanus populus.

MONO-

ΣΧΟΛΙΑ.

λαῦναι, ὃ ἄμεινον ἵνα κεκαλυμμένον τὸ ξίφος ἔχῃ, καὶ αὐτοὺς ...ων ἐπιμένῃ. 288. Δορὸς) λαφυραγωγίας. 289. Ἀκρο-...) τῆς λείας ἀπαρχήν. 290. Μέλλων δὲ πέμπειν) Σολοικὲς τοῦτο ἐστιν. ἔδει γὰρ εἰπεῖν, μέλλοντος πέμπειν με Οἰδίποδος, ...ἐστράτευσαν Ἀργεῖοι. ἢ οὕτως, μέλλων δὲ πέμψειν περὶ τοὺς Ἀργείους ἐπιστρατεύσοντας, ἐν τοσούτῳ οἱ Ἀργεῖοι ἐπὶ πόλιν ἐστράτευσαν. 291. Λοξίου τ' ἐπ' ἐσχάρας) Διαβωμὸς καὶ ἐσχάρα. βωμὸς γάρ ἐστιν, ὁ εἰς ὕψος ᾠκοδομημένος, ὃ ἀνάβασιν ἔχων. ἐσχάρα δὲ, ἡ ἐν τετραγώνῳ περὶ γῆν βωμοῦ, τάξιν ἔχουσα αὐτοῦ ἀναβάσεως. ἢ ἐσχάρα, κυρίως τὸ ...
294. Ἑπτάστομον) ἑπτάπυλος ἡ Θήβη κατεσκεύασται, ὅτι τὴν ἑπτάχορδον λύραν Ἀμφίονος κιθαρίζοντος ἐτειχίσθη.

 298. Ὦ

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Χο. Ὦ συγγένεια τῶν Ἀγήνορος τέκνων,
Ἐμῶν τυράννων, ὧν ἀπεστάλην ὕπο,
Γονυπετεῖς ἕδρας προσπίτνω
Σ' ἄναξ, τὸν οἴκοθεν νόμον σέβουσα.
Ἔβας, ἔβας, ὦ χρόνῳ γᾶν πατρῴαν.
Ἰὼ, ἰὼ, πότνια, μόλε πρόδρομος,
Ἀναπέτασον πύλας,
Κλύεις, ὦ τεκοῦσα τόνδε; μᾶτερ, τί μέλλεις
Ὑπώροφα μέλαθρα
Περᾶν, θιγεῖν τ' ὠλέναις τέκνου;
Ιο. Φοίνισσαν, ὦ νεάνιδες, βοὰν ἔσω
Δόμων κλύουσα τῶνδε,

Γηρα-

ΣΧΟΛΙΑ.

298. Ὦ συγγένεια) σύστημα κατὰ περικοπὴν ἀνομοιομερὲς, ἔχον καὶ κώλων ι΄. ὁ α΄ καὶ ὁ β΄ ἴαμβοι τρίμετροι. τὸ γ΄ τροχαϊκὸν τρίμετρον ἀκατάληκτον, οὗ α΄ ποὺς χορεῖος. τὸ δ΄ ἰαμβικὸν τρίμετρον καταληκτικὸν, ἐκ διϊάμβου ἐπιτρίτου β΄. τὸ ε΄ καὶ ἕκτον ἀντισπαστικὸν δίμετρον ἀκατάληκτον, ἐκ β΄ ἀντισπάστων, οὗ α΄ καθαροῦ, οὗ β΄ ἐξαβραχέος. τὸ ζ΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον, οὗ α΄ ποὺς χορεῖος. τὸ η΄ ἀντισπαστικὸν δίμετρον, ὅμοιον τῷ ς΄ ἐξ ἀντισπάστου, καὶ διτροχαίου. τὸ θ΄ ἐκ παίωνος γ΄ καὶ ἰωνικοῦ, διὰ τὴν ἀδιαφορίαν. τὸ ι΄ ἀσυνάρτητον ἐξ ἰαμβικῆς βάσεως, καὶ τροχαϊκῆς πενθημιμεροῦς. ἐπὶ τῷ τέλει παράγραφος. Ὦ συγγένεια τοῦ Ἀγήνορος. Ἰοῦς Ἔπαφος, οὗ Λιβύη, ἧς Ἀγήνωρ, οὗ Βῆλος καὶ Ἀγήνωρ, οὗ Κάδμος, οὗ Πολύδωρος, οὗ Λάβδακος, οὗ Λάϊος, οὗ Οἰδίπους, οὗ Ἐτεοκλῆς καὶ Πολυνείκης. 300. Γονυπετεῖς) ὡς τῶν Φοινίκων διὰ γονυκλισίας τιμώντων τοὺς βασιλεῖς. 301. Σέβουσα δὲ) τιμῶσα καὶ φυλάττουσα. ἢ τιμῶσα κατὰ τὸν πάτριον νόμον, ἢ φυλάττουσα τὸ ἔθος τὸ ἐκ τῆς θρησκείας. 308. Φοίνισσαν βοὰν) τὰ τοιαῦτα εἴδη καλεῖται ὡς εἴρηται μονόστροφα, καὶ μετρικὰ ἄτακτα καὶ συστηματικὰ ἐξ ἀνομοίων κατὰ περιορισμοὺς ἀνίσους. ἔστιν οὖν ἡ παροῦσα στροφὴ κώλων ιζ΄. τὸ α΄ ἴαμβος τρίμετρος ἀκατάληκτος. τὸ β΄ ἰαμβικὸν ἑφθημιμερές. τὸ γ΄ χοριαμβικὸν δίμετρον ἀκατάληκτον ἐξ ἐπιτρίτου δ΄, καὶ χοριάμβου.

MONOSTROPHICA.

O cognatio filiorum Agenoris,
Meorum dominorum, à quibus missa sum,
Procumbo ad genua
Tibi, ô rex, colens legem patriam.
Venisti, venisti tandem post longum tempus in terram patriam.
Heus, heus, veneranda Domina, venias extra ædes,
Aperi portas,
Num audis, hunc ô *tu* quæ peperisti? Mater, quid cunctaris
Excelsa atria
Transire, & amplecti ulnis filium?
O puellæ, vocem Phœnissam intra
Ædes istas audiens,

Vetulo

ΣΧΟΛΙΑ.

εἰ δὲ βούλει, ἀναπαιστικὸν δίμετρον βραχυκατάληκτον. τὸ δ΄ ιν ἡμιόλιον, ἐξ ἐπιτρίτου γ΄, καὶ ἰωνικὸν ἡμίσεος. εἰ δὲ βούλει, ιν δίμετρον βραχυκατάληκτον. τὸ ε΄ ἰαμβικὴ βάσις. τὸ ϛ΄ ος τρίμετρος, ὅμοιος τῷ α΄. τὸ ζ΄ ἰωνικὸν δίμετρον ὑπερκατάληκτον, ἐκ διϊάμβου παίωνος δ΄, ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος, υλλαβῆς. εἰ δὲ βούλει, περίοδος ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς ίας. ἔχει δὲ ἡ τροχαϊκὴ συζυγία τὸν α΄ πόδα χορεῖον. τὸ η΄ ϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον, ἢ ληκύθιον. τὸ θ΄ ἰωνικὸν ιμερές. τὸ ι΄ χοριαμβικὸν τρίμετρον καταληκτικὸν, ἐκ δι-ίου, χοριάμβου, καὶ βακχείου. εἰ δὲ βούλει, ἰωνικὸν ἀπ' ἐλάττονος. κὺ καὶ βραχὺ παρ' Ὁμήρῳ εὕρηται. τὸ ια΄ ἰωνικὸν ἀπ' ἐλάττο-ρίμετρον βραχυκατάληκτον, ἐκ παίωνος γ΄ ἀντὶ ἰωνικοῦ ἐπι-γ΄ καὶ ἰάμβου. τὸ ιβ΄ ἰαμβικὸν δίμετρον, ὅμοιον τῷ ια΄. τὸ ιε΄ ὅμοια τῷ β΄ ἰαμβικά. τὸ ιϛ΄ τροχαϊκὸν, ὅμοιον τῷ η΄, τοῦ α΄ χορείου. εἰ δὲ βούλει, ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ἀκατα-, ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου γ΄, ἢ καὶ ἐκ παίωνος δ΄ ἀντὶ ῖ καὶ διϊάμβου. τὸ ιζ΄ ἰαμβικὸν, ὅμοιον τῷ β΄. τὸ ιη΄ ἰωνικὸν, τῷ ιϛ΄, ἐκ παίωνος δ΄ καὶ διτροχαίου. τὸ ιθ΄ ἀντισπαστικὸν ρον ἀκατάληκτον, ἐξ ἀντισπάστου καὶ ἐπιτρίτου γ΄. τὸ κ΄ ἰαμ-βάσις, ὅμοιον τῷ ε΄. τὸ κα΄ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον,

Γηραιῷ τρομερὰν
Ἕλκω ποδὶ βάσιν. ἰὼ, τέκνον, χρόνῳ
Σὸν ὄμμα, μυρίαις ἐν ἁμέραις προσεῖδον,
Ἀμφίβαλλε μαστὸν ὠλέναισι ματρὸς,
Παρηΐδων τ' ὄρεγμα,
Βοστρύχων τε κυανόχρωτα χαίταις
Πλόκαμον, σκιάζων δέραν ἐμάν.

Ἰὼ

ΣΧΟΛΙΑ.

ληκτον, ἐξ ἀντισπάστου, ἐπιτρίτου πενταςυλλάβου καὶ ἰάμβου, διὰ τὸ ἀδιάφορον. εἰ δὲ βούλει, καταληκτικὸν, ἐξ ἀντισπάστου, παίωνος α' καὶ δακτύλου. τὸ κβ' ἰωνικὸν τρίμετρον καταληκτικὸν, ἐκ παίωνος δ' ἀντὶ ἰωνικοῦ ἀπ' ἐλάττονος διιάμβου, καὶ μολοσσοῦ. τὸ κγ' καὶ κδ' τροχαϊκὰ ἰθυφαλλικά. τὸ κε' ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον, ἐκ παίωνος δ', ἀντισπαστικοῦ, καὶ ἰάμβου. τὸ κς' ὅμοιον ἐξ ἀντισπάστου, καὶ διιάμβου καὶ ἐπιτρίτου γ'. τὸ κζ' ἀντισπαστικὸν δίμετρον, ἀκατάληκτον εἰς δισύλλαβον. εἰ δὲ βούλει, ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἀντισπάστου, ἐπιτρίτου α' καὶ τροχαίου. τὸ κη' προσοδιακὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος β' ἀντὶ ἰωνικοῦ, καὶ χοριάμβου. τὸ κθ' ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐκ παίωνος β' ἀντὶ ἰωνικοῦ, καὶ διιάμβου. τὸ λ' ἴαμβος τρίμετρος. τὸ λα' ἀντισπαστικὸν δίμετρον καταληκτικὸν, ἐξ ἀντισπάστου κρητικοῦ ἤτοι ἀμφιμάκρου. τὸ λβ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον, ἴαμβον ἔχον τὸν δ' πόδα. ἔοικε δὲ εἶναι καὶ τοῦτο Στησιχόρειον, κατὰ τὸ Πινδαρικῷ ἔθει. τὸ λγ' ἰωνικὸν δίμετρον καταληκτικὸν, ἐξ ἰωνικοῦ διτροχαίου καὶ κρητικοῦ. τὸ λδ' ὅμοιον. τὸ λε' ἰαμβικὸν, ὅμοιον τῷ ιβ'. τὸ λς' ὅμοιον. τὸ λζ' ὅμοιον τῷ λα'. τὸ λη' χοριαμβικὸν δίμετρον ἀκατάληκτον, καὶ χοριάμβου πενταςυλλάβου, καὶ ἑτέρου κοινοῦ διὰ τὴν κοινὴν, ἢ ἐπιτρίτου γ'. τὸ λθ' ἰωνικὸν δίμετρον ἀκατάληκτον, ἐξ ἰωνικοῦ ἀπὸ μείζονος, καὶ ἐπιτρίτου γ'. τὸ μ' ἴαμβος, τρίμετρος, ὅμοιος τῷ α'. τὸ μα' ἰαμβικὸν τρίμετρον βραχυκατάληκτον, λείπεται γὰρ ὅλου ποδὸς, εἰς τὸ εἶναι τρίμετρον. τὸ μβ', τὸ μγ' καὶ τὸ μδ', καὶ τὸ με' ἰαμβικὰ, ὅμοια τῷ ιβ'. τὸ μς' ὅμοιον ἑφθημιμερές. τὸ μζ' ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἀντισπάστου, ἐπιτρίτου πενταςυλλάβου, καὶ ἰάμβου. τὸ μη' παιωνικὸν ἡμιόλιον, ἐκ παίωνος δ' καὶ ἰάμβου. εἰ δὲ βούλει, τροχαϊκὸν πενθημιμερὲς, τοῦ α' ποδὸς χορείου. τὸ μθ' χοριαμβικὸν δίμετρον καταληκτικὸν, ἐξ ἐπιτρίτου β' καὶ χοριάμβου πενταςυλλάβου. τὸ ν' ἀντισπαστικὸν τρίμετρον ἀκατάληκτον, ἐκ παίωνος δ', ἀντισπάστου

καὶ

:tulo tremulum
cessum pede impello. O fili, post longum intervallum
ıst multos dies aspicio oculum tuum.
nplectere ubera matris brachiis tuis,
:násque cupitas,
ımæque cæruleam *ad meos* capillos
esariem *applica*, obumbrans collum meum.

Io,

ΣΧΟΛΙΑ.

τρίτου πρώτου. εἰ δὲ βούλει, ἰωνικὸν τρίμετρον καταληκτικόν, ροχαίου πεντασυλλάβου, ἰωνικοῦ ἀπὸ μείζονος, καὶ μολοσσοῦ. τὸ ιαμβικὸν ἡμιόλιον, ἐκ χοριάμβου καὶ ἰάμβου. τὸ νβ´ τρο- ἑφθημιμερές, οὗ αἱ πόδες χορείου, ἤτοι τριβραχεῖς. τὸ νγ´ αστικὸν τρίμετρον βραχυκατάληκτον, ἐξ ἐπιτρίτου α´ ἐκ τρίτου ιδείου. τὸ νδ´ προσοδιακὸν δίμετρον ὑπερκατάληκτον, ἐκ ος β´ ἀντὶ ἰωνικοῦ ἀπὸ μείζονος, χοριάμβου καὶ συλλαβῆς. βούλει, ἀναπαιστικὸν ἑφθημιμερές, ἰάμβου ἀρχομένου. τὸ νε´ λικὸν δίμετρον καταληκτικόν. τὸ νϛ´ δακτυλικὸν ὅμοιον. τὸ νζ´ αστικὸν ἀκατάληκτον. τὸ νη´ ἰωνικὸν τρίμετρον ἀκατάληκτον, ἰωνος α´, β´, καὶ διϊάμβου. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. τῷ τέλει τῆς στροφῆς, κορωνίς. 308. Φοίνισσαι ὦ νεάνιδες) εἰ Ἑλληνικῶς ἐλάλουν, ἀλλ' οὖν γε τὴν πάτριον ἀπήχησιν ἔσωζον ῆς. ὡς Σοφοκλῆς ἐν Ἑλένης ἀπαιτήσει· Καὶ γὰρ χαρακτὴρ ἐν γλώσσῃ τί με Παρηγορεῖ Λάκωνος ὀσφρᾶσθαι λόγου. Ἕλκων ποδὸς βάσιν) ἐπείγω μου τὴν βάσιν ὑπὸ τοῦ γήρως ρᾶν. 313. Ἀμφίβαλλε μαστὸν) τὸν μαστὸν τῆς μητρὸς λλε ταῖς σαῖς ὠλέναις. ὁ πᾶς νοῦς. περιπτυξάμενος ἄσπα- ι. ἔστι τὸ ἀμφίβαλλε μαστὸν, ἀπὸ μέρους τὸ στῆθος τῆς μητρὸς ταῖς χερσὶ, καὶ τὸ τῶν παρηΐδων σου ὄρεγμα, ἤγουν ἔκταμα περί- μον. 314. Παρηΐδων τ' ὄρεγμα) ἀντὶ τοῦ ἀγαπητικῶς νοσόμενος. 315. Κυανοχρῶτα) καὶ τὸν κυανοχρῶτά σου ιμον, περίβαλλε τῷ τραχήλῳ μου, καὶ κατασκίαζε τοῦτον τοῖς ;άδεσί σου πλοκάμοις. ἐκ κοινοῦ γὰρ τὸ ἀμφίβαλλε. οὐ γὰρ τὸν πλόκαμον λέγει, ὅτι μικρὸν ὕστερον ἐξυρῆσθαι αὐτὴν φησὶ πένθος.

318. Τί

). Γηραιῷ ποδὶ ἕλκω) ἤγουν βίᾳ τείνω, ἀπὸ τῶν βοῶν τῶν τὰ ἑλκόντων καὶ τὴν ἅμαξαν. βάσιν, ἤγουν πορείαν τρομερὰν τρέμουσαν καὶ οὐ βεβηκυῖαν ὑπὸ τοῦ γήρως.

Ἰὼ, ἰὼ, μόλις φανεὶς
Ἄελπτα κἀδόκητα ματρὸς ὠλέναις. τί φῶ σε;
πῶς ἅπαντα
Καὶ χερσὶ, καὶ κόμαισι, πολυέλικτον ἁδονὰν
Ἐκεῖσε καὶ τὸ δεῦρο περιχορεύουσα, τέρψιν
Παλαιὰν λάβω χαρμονᾶν; ἰὼ, τέκνον,
Ἔρημον πατρῷον ἔλιπες δόμον,
Φυγὰς ἀποσταλεὶς ὁμαίμου λώβᾳ.
Ἢ ποθεινὸς φίλοις;
Ἢ ποθεινὸς Θήβαις;
Ὅθεν ἐμάν τε λευκόχροα κείρομαι,
Δακρυόεσσαν ἱεῖσα πενθήρη, κόμαν,
Ἄπεπλος φαρέων λευκῶν, τέκνον.
Δυσόρφναια δ' ἀμφιτρύχη τάδε σκότι'
Ἀμείβομαι· ὁ δ' ἐν δώμασι πρέσβυς
Ὀμματόστερὴς, ἀπήνας ὁμοπλέκου,
Τὰς ἀποζυγείσας δόμων, πόθον ἀμφιδάκρυτον
Αἰεὶ

ΣΧΟΛΙΑ.

318. Τί φῶ σε) τί σοι εἴπω, πῶς προσφθέγξομαί σε, ἢ πῶς τὰ πάντα λάβω. τέρψιν παλαιὰν καὶ χαρμονὴν, καὶ πολυέλικτον ἡδονὴν χερσί τε καὶ λόγοις ἐκεῖσε, ἢ τὸ δεῦρο περιχορεύουσα, ἀντὶ περισκιρτῶσα πανταχῆ. 319. Πολυέλικτον δὲ) πολύπλοκον ποικίλην τὴν πανταχόθεν με ἔχουσαν ἡδονήν. 321. Παλαιὰν λάβω) παλαιῶν ἡδονῶν χαρμονήν. 322. Ἔρημον πατρῷον) σοῦ ἔρημον δηλονότι. τὴν γὰρ αὐτοῦ ἀπουσίαν, ἐρημίαν τοῦ πατρὸς οἴκου οἴεται. 326. Ὅθεν ἐμάν τε) ἀφ' οὗ, ὦ τέκνον, καὶ τὴν ἐμὴν λευκόχροα κόμην ἐκειρόμην, ἀφιεῖσα φανὴν δηλονότι, θρηνώδη μετὰ δακρύων, ἀμέτοχος ἐνδυμάτων λευκῶν. Ἀμείβομαι δὲ, ἀντὶ ἀλλάσσω, ἀντὶ τοῦ ἤλλαξα, ταῦτα τρύχινα ἐνδύματα, τὰ δυσόρφναια, τὰ σκότια, ἐκ παραλλήλου ἀντὶ τοῦ τὰ μέλανα. 327. Ἄπεπλος) Ἀμέτοχος ἐνδυμάτων λευκῶν, ἀνείμων λευκῶν ἱματίων ὑπάρχουσα, τὰ δυσόρφναια, ἢ σκότια τρύχη διεδέχομαι. Ἄλλως. Ἀντὶ τοῦ μελανοφορῶ· ἢ σκοτίαν ἐν τῷ τέκνον. 331. Ἀπήνας) Ζεύγους συζυγικοῦ, συζυγίας. Ἐποχλία καὶ Πολλωνί-

», Io, vix apparens
ræter ſpem, & præter opinionem in matris brachiis. Quomodo compellam te? quomodo omnia *habeo*,
:t manibus & capillis multiplicem voluptatem,
Iuc & illuc inambulans, & delectationem
'eteris gaudii accipiam? O fili,
.eliquiſti paternam domum deſertam,
:xul miſſus fratris injuriâ.
Quàm deſideratus amicis?
Quàm deſideratus Thebis?
Jnde raſi canos meos,
Lacrymoſam emittens vocem) capillos,
:t non induta ſum candidis veſtibus, ô fili.
Atras verò & ſqualidas has tenebris ædes
ncolo: ſenex verò in domo
:xcæcatus, jugi (*fraterni*) comparis
:jus, quod disjunctum eſt à ſuâ familiâ, deſiderium lacrymoſum

Sem-

ΣΧΟΛΙΑ.

ηλοῖ· Ἀπήνας ὁμόπλεκα, ἀπὸ μεταφορᾶς τῶν ὁμοειδῶν ὀχημάτων· τὸ γὰρ τοῖς αὐτοῖς πτεροῖς χρῆσθαι, γνωρίζουσι τὴν ἑαυτῶν συγγένειαν καὶ τὸ ὁμοειδές. Ἀπήνας) ἤγουν ὑμῶν τῶν δύο ἀδελφῶν τῶν ...θέντων τῶν δύμων ἐπιθυμίαν ἀείδακρυν ἀεὶ ἔχων, ὥρμησε μὲν ... αὐτόχειρα σφαγὴν ξίφους, καὶ ἐπὶ ἀγχόνην ὑπὲρ τὰ ὑψηλὰ ...ῶσαι, μετὰ στεναγμοῦ ἐπαρώμενος ἀρὰς τοῖς τέκνοις. Ἀπήνη δὲ, ; ἐκ δύο βοῶν ἕλκεται. 335. Ὑπὲρ τέρεμνα) καὶ εἰς τὰ ...ερα τῆς ἀγχόνης, ἀπὸ κοινοῦ τὸ ἀνῆξεν. Ἄλλως. καὶ ἐπὶ ἀγχόνην ὥρμησε μὲν, καὶ κατὰ τοῦ ξίφους ὥρμησε, καὶ ἐπὶ σφαγὴν ὁμοίως, ἐγχόνης αὐτόχειρα. 330. Στενάζων διὰ τὰς ἀρὰς, ἃς ...ρᾶτο μετὰ τῶν τέκνων. μετέγνω γὰρ ἐπὶ τῷ καταρᾶσθαι τοῖς παισί.

339. Σὲ

21. Πῶς ἂν λάβω ἀπόλαυσιν τῆς εὐφροσύνης πολύστροφον ἐνθ... ...πημα καὶ διὰ τῶν χειρῶν καὶ διὰ τῆς κόμης ἅπαντα; καὶ τὸ ἐκεῖσε , καὶ τὸ δεῦρο.

Ὄλοιτο τάδ', εἴτε σίδαρος,
Εἴτ' ἔρις, εἴτε πατὴρ ὁ σὸς αἴτιος,
Εἴτε τὸ δαιμόνιον κατεκώμασε
Δώμασιν Οἰδιπόδαο·
Πρὸς ἐμὲ γὰρ κακῶν ἔμολε τῶνδ' ἄχη.

Ἰαμβοί.

Χορ. « Δεινὸν γυναιξὶν αἱ δι' ὠδίνων γοναί·
« Καὶ φιλότεκνόν πως πᾶν γυναικεῖον γένος.
Πολ. Μᾶτερ, φρονῶν εὖ, κοὐ φρονῶν, ἀφικόμην
Ἐχθροὺς ἐς ἄνδρας· « Ἀλλ' ἀναγκαίως ἔχει
« Πατρίδος ἐρᾶν ἅπαντας· ὃς δ' ἄλλως λέγει,
« Λόγοισι χαίρει, τὸν δὲ νοῦν ἐκεῖσ' ἔχει.
Οὕτω δὲ ταρβῶν εἰς φόβον τ' ἀφικόμην,
Μή τις δόλος με πρὸς κασιγνήτου κτάνῃ,
Ὥστε ξιφήρη χεῖρ' ἔχων, δι' ἄστεος
Κυκλῶν πρόσωπον ἦλθον. ἓν δέ μ' ὠφελεῖ,
Σπονδαί τε, καὶ σὴ πίστις, ἥ μ' εἰσήγαγε
Τείχη πατρῷα. πολύδακρυς δ' ἀφικόμην
Χρόνιος ἰδὼν μέλαθρα, καὶ βωμοὺς θεῶν,
Γυμνάσιά θ', οἷσιν ἐνετράφην, Δίρκης θ' ὕδωρ·

Ὧν

ΣΧΟΛΙΑ.

353. Ὄλοιτο τάδ') ἀπόλοιτο τάδε τὰ κακὰ, καὶ μεταβληθείησαν εἰς ἀγαθὰ, εἴ τις αὐτῶν ἐστὶν αἴτιος. λείπει γὰρ τὸ αὐτῶν. Ἄλλως. ὄλοιτο τάδε, ἀντὶ τοῦ τῶνδε. ὡς τὸ, διά τ' ἔντεα καὶ μέλαν αἷμα. ὡς ἂν τούτων αἴτιος καὶ πρόξενος ἀπόλοιτο, ὅστις ποτὲ ἄρα ἐστί. Κατεκώμασε) σφοδρῶς ἐπῆλθεν, τῶν κακῶν κώμων τὰ ἄχη εἰς ἐμὲ ἔσκηψαν. 358. Δεινὸν γυναιξὶ) θαυμαστὸν, τίμιον, ἢ μέγα κακόν. ἢ οὕτως. δεινὸν ἀντὶ τοῦ τίμιον, θαυμαστόν. ὁ δὲ νοῦς, αἱ γοναὶ αἱ ὀδυνώσεις αἴτιαι θαυμαστόν τι καὶ τίμιον παρὰ ταῖς γυναιξί. ἐν ἤθει δὲ θαυμαστικῶς εἴρηται, ὅτι ταῖς γυναιξὶν αἱ ὀδύναι φίλτρον καθεστήκε. καὶ παρὰ πάσαις τὸ φιλότεκνον σώζεται. Ἄλλως. Αἱ δὲ ὠδίνων γοναὶ, καθότι περὶ τοῦ τεκεῖν πολλὴν ταλαιπωρίαν παρέχουσιν· ὥσπερ ἔλεγον καὶ γὰρ τῶν γονῶν ἐπωδυνῶν οὐσῶν, ὅμως φιλότεκνοί εἰσιν αἱ γυναῖκες.

360. Μᾶ-

Pereant iſta, ſive ferrum,
Sive diſſidium, ſive pater tuus in cauſâ eſt,
Sive fatum petulantèr traduxit
Domum Oedipi:
Ad me enim veniunt dolores horum malorum.

Chorus.

“ Graves ſunt mulieribus, qui cum dolore eduntur partus.
“ Ac totum genus muliebre amans eſt liberorum.

Pol. Mater, benè & non benè cogitans, veni
Ad viros inimicos. “ Sed neceſſe eſt
“ Omnes amare patriam: qui verò aliter dicit,
“ Verbis delectatur, mentem verò illic habet.
Eò autem metûs & ad timorem veni,
Nè quis dolus à fratre me occidat,
Ut habens manum armatam gladio per urbem
Venerim circumferens vultum. Unum vero me juvat,
Induciæ & tua fides, quæ me introduxit
Intra mœnia paterna: veni verò multum lacrymans,
Poſt longum tempus videns aulam & aras deorum,
Et gymnaſia, in quibus nutritus ſum, & aquam Dirces:

A

ΣΧΟΛΙΑ.

360. Μῆτερ, φρονῶν) φρονῶν μὲν, καθὸ πεισθείς σοι ἦλθον. οὐ φρονῶν δὲ, καθότι κατὰ τῆς πατρίδος ἀφιλήθην, καὶ πρὸς τοὺς ἐχθροὺς παραγέγονα. ὅθεν ἐπιφέρει, ἀλλ' ἀναγκαίως ἔχει πατρίδος ἐρᾶν ἅπαντας, ἀπολογούμενος ὑπὲρ τῆς ἀφίξεως. 362. Πατρίδος ἐρᾶν) εἰ καὶ ἥμαρτον ἐξοπλισάμενος, ὅμως συγγινώσκει μοι τῆς πατρίδος ἔρως. 364. Οὕτω δὲ ταρβῶν) εἰς τοσοῦτον τοῦ τάρβους καὶ εἰς τὸν φόβον τοσοῦτον ἀφικόμην. Εἰς φόβον τ') περισσὸς ὁ τέ. 366. Ξιφήρη) ξίφει ἡρμοσμένος τὴν χεῖρα, τῇδε κἀκεῖσε περιφέρων, καὶ περιάγων. Χεῖρ' ἔχων) ὑπακουστέον ἐν τῷ ἔχων. 367. Ἓν δέ μ' ὠφελεῖ) παρηγορεῖ, θαρρεῖν ποιεῖ.

372. Ὦν

363. Νοῦν ἐκεῖσ' ἔχει) εἰς τὸ φιλεῖν τὴν πατρίδα. 370. Χρόνῳ) ἐπιρρηματικῶς, ἀντὶ τοῦ μακροῦ χρόνου.

Ὧν οὐ δικαίως ἀπελαθεὶς, ξένην πόλιν
Ναίω, δι' ὄσσων ὄμμ' ἔχων δακρυῤῥοοῦν.
Ἀλλ' ἐκ γὰρ ἄλγους ἄλγος αὖ σε δέρκομαι,
Κάρα ξυρηκὲς, καὶ πέπλους μελαγχίμους
Ἔχουσαν, οἴμοι τῶν ἐμῶν ἐγὼ κακῶν.
« Ὡς δεινὸν ἔχθρα, μᾶτερ, οἰκείων φίλων,
« Καὶ δυσλύτους ἔχουσα τὰς διαλλαγάς.
Τί γὰρ πατήρ μοι πρέσβυς ἐν δόμοισι δρᾷ,
Σκότον δεδορκώς; τί δὲ κασίγνηται δύο;
Ἦ που στένουσι τλήμονες φυγὰς ἐμάς;
Ιο. Κακῶς θεῶν τις Οἰδίπου φθείρει γένος.
Οὕτω γὰρ ἤρξατ', ἄνομα μὲν τεκεῖν ἐμὲ,
Κακῶς δὲ γῆμαι πατέρα σὸν, φῦσαί τε σέ.
« Ἀτὰρ τί ταῦτα; δεῖ φέρειν τὰ τῶν θεῶν.
Ὅπως δ' ἔρωμαι, μή τι σὴν δάκω φρένα,
Δέδοιχ', ἃ χρῄζω. διὰ πόθου δ' ἐλήλυθας.
Πο. Ἀλλ' ἐξερώτα, μηδὲν ἐνδεὲς λίπῃς.
Ἃ γὰρ σὺ βούλει, ταῦτ' ἐμοὶ, μᾶτερ, φίλα.
Ιο. Καὶ δή σ' ἐρωτῶ πρῶτον, ὧν χρῄζω τυχεῖν.
« Τί, τὸ στέρεσθαι πατρίδος, ἦ κακὸν μέγα;

Πο.

ΣΧΟΛΙΑ.

372. Ὧν οὐ δικαίως) ἀφ' ὧν διωχθεὶς ξένην πόλιν οἰκῶ. Δι' ὄσσων) τῶν ὀφθαλμῶν τὴν ὄψιν δακρυῤῥοοῦσαν ἔχων. ἔστι δὲ ποιητικὴ περίφρασις. τὸ αὐτὸ γὰρ σημαίνει, ὡς τὸ ποδὸς ἴχνιον ποδῶν. 374. Ἀλλ' ἐκ γὰρ ἄλγους) ἀλλ' ἐκ τῆς παλαιᾶς δυστυχίας τῆς καταχυθείσης μοι, ἕτερον ἄλγος ὁρῶ σε ἔχουσαν, κάρα ξυρηκὲς, ἐξυρημένην τὴν κεφαλὴν, καὶ πέπλους μέλανας ἔχουσαν. ξυρηκὲς δὲ ὡς ἀπλῶς τοῦ τόνου. Ἄλλως. Ὑπερβολικῶς εἴρηκεν, ἐκέκαρτο γὰρ ὡς ἀνωτέρω εἶπεν, ὅθεν ἐμοὶ ἄν τι λευκόχροα κέκαρμαι χαίταν, οὐ ξυρεῖ δὲ, ἀλλ' ὡς ἐν πένθει. 376. Οἴ μοι ἐγὼ) οἴ μοι ἐγὼ, ἕνεκα τῶν ἐμῶν κακῶν. 377. Ὡς δεινὸν) λίαν χαλεπὸν πρᾶγμά ἐστι, μῆτερ, ἔχθρα συγγενῶν. δυσδιορθώτους γὰρ ἔχει τὰς φιλιώσεις. ἀλλὰ τί μοι πράττει ἐν οἴκοις ὁ γέρων πατὴρ, ἐν σκότει διατελῶν; καὶ τί

δρῶσιν

. quibus non justè pulsus, peregrinam urbem
:abito, habens aspectum per oculos lacryman-
tem. [video,
:d enim ob dolores meos dolorem te quoque
:aput rasum, & vestes atratas
[abentem, Hei mihi propter mea mala.
Quàm misera res est, ô mater, odium inter domesticos;
:t quam difficilem habet reconciliationem!
Quid verò meus pater senex in ædibus agit,
'idens tenebras? quid etiam sorores duæ?
ın non miseræ gemunt exilium meum!
Aliquis Deus malè perdit genus Oedipi.
ic enim cœpit, ut ego parerem contra fas,
:t ut malè duceret uxorem pater tuus, tuque nascereris.
:d ista quorsum? ferre nos fatum decet.
Quomodo autem interrogem, (nè mordeam tuum animum,
letuo) quæ volo: venis enim mihi desideratus.
At exquirere nihil omittas.
Quæ enim tu vis, ea & mihi grata sunt, mater.
Interrogo igitur primum, quæ volo consequi.
Magnum ne patriâ vivere extorrem malum?

Pol.

ΣΧΟΛΙΑ.

ν αἱ δύο ἀδελφαί; ἆρα λυποῦνται τὴν ἐμὴν ἐξορίαν; Καὶ δυσλύτους ἔχουσα τὰς διαλλαγάς) ὁ στίχος οὗτος ἐν ὐ φέρεται. 383. Οὕτω γὰρ) οὕτως ὁ δαίμων ἤρξατο ειν τὸ γένος, οὕτω φησὶν ἐξ ἀρχῆς δυστυχῶ, ἀφ' οὗ ἀνόμως ι. ἀνόμως γὰρ καὶ ἀσεβῶς παρεσκεύασέ με τεκεῖν. 385. Ἀ-ά) καὶ δὲ τί δὲ ταῦτα, φημὶ δηλονότι, οἰστέον τὰ τῶν θεῶν. Δέδοιχ' ἃ χρῄζω) δέδοικα φησὶ μή πως ἔρωμαι ἃ χρῄζω, ίκω σε τὴν φρένα, ὅμως ἐπιθυμῶ σε ἐρέσθαι κἂν λυπῶ σε.

393. Τίς

ι7. Θέλω ἐρωτῆσαι, δηλονότι ποθῶ δὲ ἐρωτῆσαι.

Πο. Μέγιστον· ἔργῳ δ' ἐστὶ μεῖζον, ἢ λόγῳ.
Ιο. Τίς ὁ τρόπος αὐτοῦ; τί φυγάσιν τὸ δυσχερές;
Πο. Ἓν μὲν μέγιστον, οὐκ ἔχει παῤῥησίαν.
Ιο. Δούλου τόδ' εἶπας, μὴ λέγειν ἅ τις φρονεῖ.
Πο. Τὰς τῶν κρατούντων ἀμαθίας φέρειν χρεών.
Ιο. Καὶ τοῦτο λυπρὸν, συνασοφεῖν τοῖς μὴ σοφοῖς.
Πο. Ἀλλ' εἰς τὸ κέρδος παρὰ φύσιν δουλευτέον.
Ιο. Αἱ δ' ἐλπίδες βόσκουσι φυγάδας, ὡς λόγος.
Πο. Καλοῖς βλέπουσί γ' ὄμμασιν, μέλλουσι δέ.
Ιο. Οὐδ' ὁ χρόνος αὐτὰς διεσάφησ' οὔσας κενάς;
Πο. Ἔχουσιν Ἀφροδίτην τιν' ἡδεῖαν θεόν.
Ιο. Πόθεν δ' ἐβόσκου, πρὶν γάμοις εὑρεῖν βίον;
Πο. Ποτὲ μὲν ἐπ' ἦμαρ εἶχον, εἶτ' οὐκ εἶχον ἄν.
Ιο. Φίλοι δὲ πατρὸς καὶ ξένοι σ' οὐκ ὠφέλουν;
Πο. Εὖ πρᾶσσε· τὰ φίλων δ' οὐδὲν, ἤν τις δυστυχῇ.
Ιο. Οὐδ' ηὑγένειά σ' ἦρεν εἰς ὕψος μέγα;

Πο. Κα—

ΣΧΟΛΙΑ.

393. Τίς ὁ τρόπος τῆς δυστυχίας, τῶν φυγάδων δηλονό-
396. Τὰς τῶν κρατούντων) τοῦτο ὡς Ἀθηναῖος ἔφη ὁ ποιητὴς, καὶ μὴ φυγὰς ᾖ τις, ὅμως φέρει τὰς τῶν κρατούντων ἁμαρτίας, κἂν μὴ θέλῃ. γράφουσι δὲ τινὲς τὰς τῶν πολιτῶν, κρατοῦσι γὰρ οἱ πολῖται. 397. Λυπρὸν) λυπηρὸν, ἀλγεινόν. Συνασοφεῖν) συνανοηταίνειν τοῖς ἀνοήτοις. 398. Ἀλλ' εἰς τὸ κέρδος) οὐκ ἀξιόχρεως ἥρωος ὁ λόγος. 399. Αἱ δ' ἐλπίδες) αἱ ἐλπίδες, καὶ ἡ προσδοκία τοῦ ἐπιβήσεσθαι τῆς πατρίδος. ἐντεῦθεν ἐστὶν ἡ παροιμία, αἱ δ' ἐλπίδες βόσκουσι τοὺς κενοὺς βροτούς. 400. Καλοῖς) ὄμμασι καλοῖς ὁρῶσιν αἱ ἐλπίδες, ἀλλὰ βραδύνουσιν. 401. Οὐδ' ὁ χρόνος) οὐδὲ ἡ πολλὴ παράτασις τοῦ χρόνου διασαφεῖ αὐτὰς οὔσας ματαίας. 402. Ἔχουσιν ἀφροδίτην) τέρψιν τινὰ ἡδεῖαν ἔχουσιν πρὸς τὰς συμφοράς. 403. Πόθεν) ἀπὸ ποίου δὲ πόρου ἐτρέφου πρὸ τοῦ διὰ τοῦ γάμου. 404. Ἐπ' ἦμαρ) ἐν μιᾷ ἡμέρᾳ εἶχον τροφὴν, ἐν ἄλλῃ δὲ, οὔ. 406. Εὖ πρᾶσσε) εὔχου εὐτυχεῖν. ἀνδρὸς γὰρ κακῶς πράσσοντος ἐκποδὼν φίλοι. πῶς δὲ ταῦτα φησὶν ὅπου

ὑπὸ

. Maximum: reverò majus est, quàm verbis.
. Quonam modo hoc? quid est usque adeò malum exulibus?
. Unum quidem est maximum, non habet *exul* libertatem dicendi.
. Servi est (quod dixisti) non loqui quæ sentias.
. Oportet ferre stultitias illorum, qui dominantur.
. Et hoc acerbum est, condesipere cum desipientibus.
l. Sed serviendum est ob quæstum præter ingenium.
. At spes alunt exules, ut dicitur?
l. Aspiciunt eæ pulchris oculis, cunctantur tamen.
. Neque tempus ostendit tibi eas esse inanes?
l. Habent Venerem, suavem deam quandam.
. Unde verò alebaris, priusquam per nuptias invenires victum?
l. Aliquando habebam in diem, aliquando non habebam.
. Non juvabant te amici patris, & hospites?
l. Feliciter rem gere; amicorum enim res in calamitatibus nihil sunt.
. Non extulit te nobilitas ad magnum gradum?

Pol. Ma-

ΣΧΟΛΙΑ.

τ̃ φίλων εἰς τὴν πατρίδα κατάγεσθαι, ἢ τάχα περὶ γάμου ὑπὸ ... φίλων δυστυχῶν ἠγνοεῖτο. γήμας δὲ, καὶ τῆς δυστυχίας ἀπαλλαγεὶς, πάλιν φίλους ἔχει. περὶ τοῦ τὸν εὐτυχεῖν τῷ Ἀδράστῳ, ταῦτα ... φησί.

411. Πῶς

392. Ἔργῳ μεῖζον, πείρᾳ ἢ λογισμῷ. τίς ἡ διάθεσις τοῦ πράγματος, ἡ δυστυχία τοῖς ἐξορίστοις; 398. Δουλευτέον, ἄξιον δυ... ην. 399. Αἱ ἐλπίδες εὐνοοῦσι καὶ καλὰ ἐπαγγέλλονται καὶ ... παρασκευάζουσι τῇ εὐνοίᾳ, μέλλουσι δὲ καὶ βραδύνουσι.

Πο. Κακὸν τὸ μὴ ἔχειν. τὸ γένος οὐκ ἐβόσκε με.
Ιο. Ἡ πατρὶς, ὡς ἔοικε, φίλτατον βροτοῖς;
Πο. Οὐδ' ὀνομάσαι δύναιμ' ἂν, ὡς ἐστὶν φίλον.
Ιο. Πῶς δ' ἦλθες Ἄργος; τίν' ἐπίνοιαν ἔσχεθες;
Πο. Ἔχρησ' Ἀδράστῳ Λοξίας χρησμόν τινα.
Ιο. Ποῖον; τί τοῦτ' ἔλεξας; οὐκ ἔχω μαθεῖν.
Πο. Κάπρῳ, λέοντί θ' ἁρμόσαι παίδων γάμους.
Ιο. Καὶ σοὶ τί θηρῶν ὀνόματος μετῆν, τέκνον;
Πο. Οὐκ οἶδ'. ὁ δαίμων μ' ἐκάλεσεν πρὸς τὴν τύχην.
Ιο. Σοφὸς γὰρ ὁ θεός. τίνι τρόπῳ δ' ἔσχες λέχος;
Πο. Νὺξ ἦν. Ἀδράστου δ' ἦλθον εἰς παραστάδας.
Ιο. Κοίτας ματεύων, ἢ φυγὰς πλανώμενος;
Πο. Ἦν ταῦτα. κᾆτά γ' ἦλθεν ἄλλος αὖ φυγάς.
Ιο. Τίς οὗτος; ὡς ἄρ' ἄθλιος χἀκεῖνος ἦν.
Πο. Τυδεὺς, ὃν Οἰνέως φασὶν ἐκφῦναι πατρός.
Ιο. Τί θηρσὶ δ' ὑμᾶς δῆτ' Ἄδραστος ᾔκασεν;
Πο. Στρωμνῆς ἐς ἀλκὴν οὕνεκ' ἤλθομεν πέρι.

Ιο. Ἐν-

ΣΧΟΛΙΑ.

411. Πῶς δ' ἦλθες) πῶς εἰς τὸ Ἄργος ἦλθες, καὶ οὐκ εἰς ἄλλην πόλιν. ἄτοπον δέ φασιν τὸν Ἄδραστον πιστεύσαντα τῷ θεῷ, τοσαῦτα δυστυχῆσαι κατὰ τὰς Θήβας, καὶ μόνον φυγάδα σωθῆναι ὑπὸ τοῦ ἰδίου ἵππου Ἀρείονος. πρὸς οὓς λεκτέον, ἐκδοῦναι προσέταξε τὰς θυγατέρας ὁ θεὸς, ἀλλ' οὐχὶ καὶ ἐπιστρατεῦσαι ταῖς Θήβαις. 412. Ἔχρησ' Ἀδράστῳ) ἡ μὲν τὴν αἰτίαν τῆς εἰς Ἄργος ἀφίξεως ἐρωτᾷ. ὁ δὲ τὴν αἰτίαν τῆς αὐτόθι καταμονῆς λέγει. εἰ μὴ γὰρ διὰ τὸν χρησμὸν τοῦ γάμου παρέμεινεν, ἴσως ἂν ἕωθεν παρώδευσε τὸ Ἄργος. ἀλλά φησι διὰ τὸ πεπρωμένον ἦλθον ἐπὶ τὸ Ἄργος. ὁ γὰρ χρησμὸς ἐκεῖσε ἤγαγεν. 414. Κάπρῳ) ἔχρησεν ὁ θεὸς ἑνῶσαι τὰς θυγατέρας λέοντι καὶ κάπρῳ. 415. Καὶ σοὶ τί) καὶ κατὰ τί σοι τοῦ ὀνόματος τῶν θηρῶν ἦν μετουσία, τέκνον. 416. Οὐκ οἶδα) τὸ εἱμαρμένον ἤγαγεν ἡμᾶς εἰς τοῦτο τῆς συντυχίας. καὶ οὐκ ἐκ προνοίας μοι ἀπέβη ὁ γάμος, ἀλλ' αὐτομάτως ἐκ τῆς τύχης. Ἄλλως. ὁ χρησμὸς ὑπὸ Μνασέου οὕτως ἀναγέγραπται. Χρησμὸς δοθεὶς τῷ Ἀδράστῳ. Κούρας μὲν γαμβροῖσι ζεῦξον Κάπρῳ

ἠδὲ

Pol. Malum eſt nihil habere. Genus non aluit me.
Ioc. Patria, ut videtur, cariſſima res mortalibus eſt.
Pol. Non quidem dicere poſſum, quam dulcis ſit.
Ioc. Quomodo veniſti Argos? quid conſilii habuiſti?
Pol. Apollo Adraſto quoddam oraculum dedit.
Ioc. Quale? quid hoc dixiſti? non poſſum intelligere.
Pol. Juſſit dare nuptum filias Apro & Leoni.
Ioc. At tibi quænam ſocietas erat nominis beſtiarum, ô fili?
Pol. Non ſcio, fatum me ad hanc fortunam vocabat.
Ioc. Sapiens enim eſt Deus. Sed quomodo nactus es connubium?
Pol. Nox erat, cùm veni ad porticus Adraſti.
Ioc. An quærens cubile, ſicut exul errans?
Pol. Hæc erat cauſa: deinde venit etiam alius exul.
Ioc. Quis iſte? quàm verò miſer & ille erat?
Pol. Tydeus, quàm dicunt natum Oeneo patre.
Ioc. Quare verò feris vos Adraſtus comparavit?
Pol. Eo quòd venimus in certamen de ſtragulis.
Ioc. Ibi

ΣΧΟΛΙΑ.

ἠδὲ Λέοντι, Οὕς κεν ἴδοις προθύροισι τεοῦ δόμου ἐξ ἱεροῖο Ἡμετέρου στείχειν· Μηδὲ φρεσὶ σῇσι πλανηθῇς. καὶ οἱ μὲν λέγουσιν, ὡς ἀπὸ τῶν ἐπισήμων τῶν ἀσπίδων συνέβαλεν Ἄδραστος. ὁ μὲν γὰρ εἶχε τὸν Καλυδώνιον σῦν, ὁ δὲ τὴν λεοντοπρόσωπον Σφίγγα. οἱ δ' ὡς κρύους γενομένου, ἀφίκοντο εἰς τὸ Ἀπόλλωνος ἱερὸν, καὶ δορὰς εὑρόντες λέοντος, καὶ συὸς ἀναθήματα κυνηγετῶν, ἐφιλονείκησάν τε, καὶ περὶ τῆς στάσεως εἰς κρίσιν ἀχθέντες τῷ βασιλεῖ, τῶν γάμων ἔτυχον. ἀπείκασε γὰρ τὸν μὲν, λέοντι· τὸν δὲ Τυδέα κάπρῳ, ὃς ἔγημε Δηϊπύλην, ὁ δὲ Πολυνείκης Ἀργείαν. 423. Τί θηρσὶ δ' ὑμᾶς) κατὰ τί δὲ ὑμᾶς ὁ Ἄδραστος ὡμοίωσε τοῖς θηρσί. 424. Στρωμνῆς ἐς ἀλκὴν) διότι ἤλθομεν εἰς μάχην ἕνεκα στρωμνῆς· στρωμνῆς νῦν τοῦτο

411. Ἐπίνοιαν, σκοπὸν, νοῦν εἶχες. 417. Πῶς τὴν συνοίκησιν μετὰ τῆς θυγατρὸς τοῦ Ἀδρ.

Ιο. Ἐνταῦθα Ταλαοῦ παῖς συνῆκε θέσφατα;
Πο. Κἄδωκεν ἡμῖν δύο δυοῖν νεάνιδας.
Ιο. Ἆρ' εὐτυχεῖς οὖν τοῖς γάμοις ἢ δυστυχεῖς;
Πο. Οὐ μεμπτὸς ἡμῖν ὁ γάμος εἰς τόδ' ἡμέρας.
Ιο. Πῶς δ' ἐξέπεισας δεῦρό σοι σπέσθαι στρατόν;
Πο. Δισσοῖς Ἄδραστος ὤμοσεν γαμβροῖς τόδε,
Τυδεῖ τε, κἀμοὶ, σύγγαμος γὰρ ἔστ' ἐμὸς,
Ἄμφω κατάξειν εἰς πάτραν· πρόσθεν δ' ἐμέ.
Πολλοὶ δὲ Δαναῶν καὶ Μυκηναίων ἄκροι
Πάρεισι, λυπρὰν χάριν, ἀναγκαίαν δ' ἐμοὶ
Διδόντες· ἐπὶ γὰρ τὴν ἐμὴν στρατεύομαι
Πόλιν. θεοὺς δ' ἐπώμοσ', ὡς ἀκουσίως
Τοῖς φιλτάτοις τοκεῦσιν ἠράμην δόρυ.
Ἀλλ' εἰς σὲ τείνει τῶνδε διάλυσις κακῶν
Μᾶτερ, διαλλάξασαν ὁμογενεῖς φίλους,
Παῦσαι πόνων με, καὶ σὲ, καὶ πᾶσαν πόλιν.
Πάλαι μὲν οὖν ὑμνηθὲν, ἀλλ' ὅμως ἐρῶ·
" Τὰ χρήματ' ἀνθρώποισι τιμιώτατα,
" Δύναμίν τε πλείστην τῶν ἐν ἀνθρώποις ἔχει.
Ἃ 'γὼ μεθήκω δεῦρο, μυρίαν ἄγων

Λόγ-

ΣΧΟΛΙΑ.

τοῦτό ἐστι τῆς καταικήσεως, ὅτι θηριώδεις ἐμαχεσάμεθα πρὸς ἀλλήλους θηρσὶν ἡμᾶς εἴκασεν. ἔνιοι οὐ διὰ τοῦτο, ἀλλ' ὅτι ὁ μὲν κάπρου, ὁ δὲ λέοντος δορὰν ἠμφίεστο. Αἰόλου Κρηθεὺς, οὗ Ἀμυθάων, οὗ Βίας, Ταλαὸς, οὗ Ἄδραστος. 425. Ἐνταῦθα) ἐν τούτῳ ὁ τοῦ Ταλα[οῦ] παῖς Ἄδραστος ἔγνω τὰ μαντεύματα; ναὶ δηλονότι. καὶ ἔδωκεν ἡμ[ῖν] τοῖς δυσὶν τὰς δύο αὐτοῦ θυγατέρας. 429. Σπέσθαι) ἕπεσθαι, ἀ[κο]λουθῆσαι. 433. Πολλοὶ δὲ Δαναῶν) καθὸ κατὰ πατρίδος ἐ[στ]ράτευε, λυπρὰν φησὶ τὴν χάριν, ἀναγκαίαν· οὐκ ἐξῆν γὰρ ἄλλως γενέσθαι δίχα πολέμου. ἔμφρων δὲ καὶ ἐλεεινὸς ὁ λό[γος]. 437. Τοῖς φιλτάτοις τοκεῦσι) γράφεται καὶ ἑκοῦσιν. ἵν' ᾖ, τῶ[ν] φίλων μου. ὁ γὰρ Ἐτεοκλῆς ἑκὼν ποθεῖ τὴν βασιλείαν, διὰ τ

αι

- Ibi filius Talai intellexit vaticinia?
P. Et dedit nobis duobus duas puellas.
·. Suntne igitur felices aut infaustæ nuptiæ?
I. Non reprehendo nuptias ad hoc usque tempus.
·. Quomodo persuasisti huc te sequi exercitum?
I. Adrastus juravit duobus generis hoc,
Tydeo & mihi, (hic enim est affinis meus)
Se reducturum utrumque in patriam, me verò prius.
Multi autem principes Danaorum & Mycenæorum
Adsunt, officium mihi triste, sed necessarium
Dantes: duco enim exercitũ adversus meam
Patriam. Deos autem juro, quòd invitus
Intuli bellum carissimis parentibus.
Sed ad te pertinet reconciliatio horum malorum,
O mater. ut reconciliatis caris fratribus,
Liberes à laboribus me, & te, & totam urbem.
Jam olim quidem celebratum est, sed tamen dicam:
Opes hominibus sunt honoratissimæ,
Summamque vim inter homines habent.
Quas ego propter huc vehio, ducens multas

Ha-

ΣΧΟΛΙΑ.

ίστασθαι τῆς βασιλείας. Ἠρέμμλω δόρυ, ἐκίνησα πόλεμον.
9. Διαλλάξασαν) φιλιώσασαν. 441. Πάλαι μὲν ὑμνηθὲν) πά-
λαι λαληθέν. ἀλλ' ὅμως ἐρῶ. παροιμιώδης δὲ ὁ στίχος. Καὶ ὁ ῥήτωρ,
τ δὲ χρημάτων, [καὶ ἄνευ τούτων οὐδὲν ἐστι γενέσθαι τῶν δεόντων.]
4. Ἁ 'γὼ μεθ' ἥκω) ἐφ' ἃ χρήματα κἀγὼ ἥκω.

449. Μῆτερ,

431. Σύζγαμβρος ὁ Τυδεύς. 433. Ἄκροι. προὔχοντες, ἔνδοξοι.
36. Ἀντὶ ἐπόμνυμι. 438. Ἀλλ' εἰς σὲ ἀφορᾷ, ὦ μῆτερ, ἡ
διάλυσις τούτων τῶν κακῶν συναλλάξασαν ἡμᾶς εἰς φιλίαν, παῦσαι
ἐμὲ πόνων, καὶ σαυτὴν καὶ πᾶσαν πόλιν. 443. Τῶν) τῶν
όντων πραγμάτων.

Λόγχην. « Πένης γὰρ οὐδὲν εὐγενὴς ἀνήρ.
Χο. Καὶ μὴν Ἐτεοκλῆς εἰς διαλλαγὰς ὅδε
Χωρεῖ· σὸν ἔργον, μᾶτερ Ἰοκάστη, λέγειν
Τοιούσδε μύθους, οἷς διαλλάξεις τέκνα.
Ετε. Μᾶτερ, πάρειμι· τὴν χάριν δέ σοι διδοὺς
Ἦλθον. τί χρὴ δρᾶν; ἀρχέτω δέ τις λόγου.
Ὡς ἀμφὶ τείχη καὶ ξυνωρίδας λόχων
Τάσσων, ἐπέσχον πόλιν, ὅπως κλύοιμί σου
Κοινὰς βραβείας, αἷς ὑπόσπονδον μολεῖν
Τόνδ' εἰσεδέξω τειχέων, πείσασά με.
Ιοκ. Ἐπίσχες. « Οὔτι τὸ ταχὺ τὴν δίκην ἔχει·
« Βραδεῖς δὲ μῦθοι, πλεῖστον ἀνύουσι σοφόν.
Σχάσον δὲ δεινὸν ὄμμα, καὶ θυμοῦ πνοάς.
Οὐ γὰρ τὸ λαιμότμητον εἰσορᾷς κάρα
Γοργόνος, ἀδελφὸν δ' εἰσορᾷς ἥκοντα σόν.
Σύ τ' αὖ πρόσωπον πρὸς κασίγνητον στρέφε,
Πολύνεικες· εἰς γὰρ ταυτὸν ὄμμασι βλέπων,
Λέξεις ἄμεινον, τοῦδέ τ' ἐνδέξῃ λόγους.
Παραινέσαι δὲ σφῷν τι βούλομαι σοφόν.

« Ὅταν

ΣΧΟΛΙΑ.

449. Μῆτερ, πάρειμι) κάλλιστα πεποίηται τῷ τραγικῷ τὸ πρόσωπον οἷον δεῖ εἶναι ἄδικον ἄνδρα. γινώσκων γὰρ ὡς οὐδὲν δίκαιον ἔχει λέγειν, ἐπείγει τὴν κρίσιν, τὸν ἐκ τῆς δικαιολογίας κατὰ λεπτὸν γινόμενον ἔλεγχον ἐκφεύγων. 450. Ἀρχέτω δέ τις) οὗτος ὁ Πολυνείκης. 451. Καὶ ξυνωρίδας) παραζεύξεις. ὁ δὲ καὶ παρέλκει. Ξυνωρίδας) τοὺς ἱππέας τοῦ στρατοῦ ἐκ τῶν ἁρμάτων δηλοῖ· ξυνωρίδας, τὰ ἁρμάτια. λόχων δὲ, στρατευμάτων. 452. Τάσσων) στρατολογῶν. Ὅπως κλύοιμί (σου) διὰ σὲ, ὦ μῆτερ, τὴν διακόσμησιν τοῦ στρατοῦ ἐπέσχον, ὅπως ἀκούσω πρότερον τὰς παρὰ σοῦ γινομένας κοινὰς ἡμῖν διαλύσεις. βραβείας γὰρ διαλύσεις, ὅ ἐστι τοὺς μετὰ κρίσεως λόγους. 454. Τόνδ' εἰσεδέξω) ἀντὶ τοῦ εἴσω ἐδέξω, ὡς εἴσιθι ἀντὶ τοῦ εἴσω ἴθι. τούτῳ δὲ ἐναντίον τὸ Ἴλιον εἴσω, ἀντὶ τοῦ εἰς τὴν Ἴλιον,

ἐκεῖσε

Iaſtas: “ Nam nobilis vir, ſi pauper ſit, nihil eſt.
. Atqui Eteocles ad reconciliationem ipſe
ccedit: tui officii eſt, ô mater Iocaſte, dicere
ales ſermones, quibus reconciliare poſſis filios.
o. Mater, adſum: dans verò tibi hanc gratiam,
eni. Quid me facere oportet? incipiat aliquis dicere:
Quia circa mœnia Currus bijuges manipulorum
nſtruens, inhibui civitatem, ut audirem tuas
De communi pace diſceptationes, ob quas factis induciis profectum
Hunc recepiſti intra muros, perſuaſo me.
Expecta, “ Celeritas non juſtè agit:
Tarda verò conſilia efficiunt multa ſapienter.
Remitte torvum lumen, & animi flatus:
Non enim intueris præciſum à collo caput
Gorgonis, ſed vides venientem fratrem tuum.
Tu quoq; viciſſim vultum ad fratrem verte,
Polynices: nam in idem videns oculis,
Dices meliùs, & meliùs excipies hujus ſermones.
Admonere verò vos aliquid ſapientèr volo.
“ Quando

ΣΧΟΛΙΑ.

τε γὰρ ἀντὶ προσθέσεως παραλαμβάνεται. 455. Ἐπίσχες) ἔπαυσον, καρτέρησον, ἄνες. 457. Σχάσαι) ἡ μεταφορὰ τῶν ἐρεσσόντων. σχάσαι γὰρ τὸ ἐπισχεῖν τῶν κωπῶν τὴν εἰρεσίαν. δεῖς δὲ μῦθοι, οἱ μετ' ἐπισκέψεως, οἱ καὶ τὸ σοφὸν ἔχουσι. φε) τρέπε. 461. Εἰς γὰρ ταυτὸν) ἀπ' ἐναντίας. . Ἐνδέξῃ λόγους) ἀπὸ κοινοῦ τὸ ἄμεινον. Σφῷν) ὑμῶν. ὸν) φρόνιμον.

464. Ὅταν)

50. Ἀρχέτω, προηγείσθω, ὅτι ἐπέσχον ἐμαυτὸν δηλονότι πάσαν πολίτας περὶ τὰ τείχη καὶ τὰς συντάξεις τῶν ταγμάτων, ὅπως ταιμι σ. κ. β. 457. Δεινὸν ὄμμα, ἀντὶ δεινότητα τοῦ ὄμματος.

“ Ὅταν φίλος τις ἀνδρὶ θυμωθεὶς φίλῳ,
“ Εἰς ἓν συνελθὼν, ὄμματ᾽ ὄμμασιν διδῷ,
“ Ἐφ᾽ οἷσιν ἥκει, ταῦτα χρὴ μόνον σκοπεῖν·
“ Κακῶν δὲ τῶν πρὶν μηδαμῶς μνείαν ἔχειν.
Λόγος μὲν οὖν σὸς πρόσθε, Πολύνεικες, τέκνον·
Σὺ γὰρ στράτευμα Δαναϊδῶν ἥκεις ἄγων,
Ἄδικα πεπονθὼς, ὡς σὺ φῄς· κριτὴς δέ τις
Θεῶν γένοιτο, καὶ διαλλακτὴς κακῶν.
Πολ. Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ,
“ Κ᾽ οὐ ποικίλων δεῖ τἄνδιχ᾽ ἑρμηνευμάτων.
“ Ἔχει γὰρ αὐτὰ καιρόν. ὁ δ᾽ ἄδικος λόγος
“ Νοσῶν ἐν αὑτῷ, φαρμάκων δεῖται σοφῶν.
Ἐγὼ δὲ πατρὸς δωμάτων προὐσκεψάμην,
Τοὐμόν τε, καὶ τοῦδ᾽, ἐκφυγεῖν χρῄζων ἀρὰς,
Ἃς Οἰδίπους ἐφθέγξατ᾽ εἰς ἡμᾶς ποτὲ,
Ἐξῆλθον ἔξω τῆσδ᾽ ἑκὼν αὐτὸς χθονὸς,
Δοὺς τῷδ᾽ ἀνάσσειν πατρίδος ἐνιαυτοῦ κύκλον,
Ὥστ᾽ αὐτὸς ἀρχὴν αὖθις ἀνὰ μέρος λαβὼν,

Καὶ

ΣΧΟΛΙΑ.

464 Ὅταν) ὁπόταν τις φίλος θυμωθεὶς ἀνδρὶ φίλῳ, συνελθὼν ἐκείνῳ δηλονότι τὰ αὐτοῦ ὄμματα τοῖς ἐκείνου δώσῃ, ταῦτα μόνον πρέπει σκοπεῖν δι᾽ ἅπερ ἦλθε, τῶν προτέρων δὲ κακῶν μὴ μνήμην ἔχειν. 468. Σὸς πρόσθεν) ἀντὶ τοῦ πρότερος λελέχθω, ἤγουν προηγείσθω. 470. Ὡς φῄς) τοῦτο θεραπεύει τὸν Ἐτεοκλέα. 471. Διαλλακτὴς) ὀξυτόνως. παρὰ ῥῆμα γὰρ, ὡς ποιητὴς, κολυμβητὴς, καὶ τὰ ὅμοια. 473. Κ᾽ οὐ ποικίλων) γράφεται, δεῖ τὰ ἄνδιχ᾽ ἑρμηνευμάτων. ἵν᾽ ᾖ, καὶ οὐ ποικίλης δεῖται ἔξωθεν ἀπολογίας ἡ ἀλήθεια. ἔχει γὰρ αὐτὰ τὰ ἀληθῆ ἀφ᾽ ἑαυτῶν τὸ εὔκαιρον. ἄνδιχα γὰρ, ἀντὶ τοῦ ἔξωθεν. Ἄλλως. τὰ ἔνδικα, ἀντὶ τοῦ τὰ δίκαια. τὸ δὲ χ᾽ διὰ τὴν δασεῖαν. 474. Ἔχει γὰρ αὐτὰ) τὰ δίκαια ἔχει ἰσχὺν, καὶ εὐκαιρότητα. 475. Νοσῶν ἐν αὑτῷ) ἐν ἑαυτῷ κακῶς ἔχων, συνηγόρων δεῖται, θεραπειῶν πεπαιδευμένων. καιρὸν δὲ, ἰσχὺν, εὐκαιρίαν, εὐτυχίαν. 476. Προὐσκεψάμην) ἐγὼ φησὶ προνοησάμενος.

“ Quando amicus aliquis iratus amico
“ Congrediens, mutuò aſpicit,
Oportet tantùm ea conſiderare, propter quæ venit,
“ Priorum verò malorum nequaquam meminiſſe.
O fili Polynices, tua oratio prior *erit:*
Tu enim venis adducens exercitum Græcorum,
Paſſus injuſta, ut tu dicis: judex verò aliquis
Deorum fiat, & reconciliator malorum.
Pol. Oratio veritatis ſimplex eſt,
“ Et non variis egent, quæ juſta ſunt, interpretationibus.
“ Habent enim in ſe vim & utilitatem: injuſta autem oratiò,
“ Ægra cum ſit per ſe, medicamentis eget ſophiſticis.
Ego equidem Domui Patris proſpexi;
Et meo *pariter* commodo, ac hujus; & vitare volens execrationes,
Quas Oedipus dixit adverſus nos aliquando,
Diſceſſi ſponte-meâ ex hâc terrâ,
Concedens huic, ut regnaret in patriâ per unum annum,
Ut ipſe regnarem rurſus per vices accipiens,

Et

ΣΧΟΛΙΑ.

μενος τῆς πατρικῆς οὐσίας, καὶ βουλόμενος ἐμέ τε καὶ τοῦτον ἐκφυγεῖν τὰς Οἰδίποδος ἀράς, ἐξῆλθον ἀπὸ τούτων τῶν ὅρων τῆς γῆς. Ἄλλως. ἐγὼ δὲ προνοησάμενος τὸ ἐμὸν καὶ τὸ τούτου συμφέρον, χρήζων τὰς ἀρὰς τοῦ πατρὸς ἐκφυγεῖν, ἃς ἐφθέγξατο, ἐξῆλθον ἔξω τῆς ἐμῆς πατρίδος. 481. Λαβὼν) Ἀττικὴ ἡ σύνταξις, λαβὼν ἀντὶ τοῦ λαβόντα, αὐτὸν ἐμὲ λαβόντα. ὡς τὸ, Ἔξον καθεύδειν τὴν ἐρωμένην ἔχων. Καὶ νῦν ἕτοιμός εἰμι τὸν μὲν στρατὸν ἀποστεῖλαι, οἰκεῖν δὲ κατὰ διαδοχὴν τὸν ἐμὸν οἶκον λαβόντα.

484. Ὁ

470. Κριτὴς δ. τ. ἀπὸ τῶν θεῶν εἴθε διαλλακτὴς τῆς ἔχθρας. 472. Ἀποίκιλος λόγος, ἤγουν ἡ ἀλήθεια λόγῳ χρῆται ἀποικίλῳ. δεῖ ἀντὶ τοῦ δεῖται. 475. Νοσῶν) ἀδυνατῶν ἑαυτῷ, λόγων δεῖται μετὰ τέχνης καὶ στροφῆς λεγομένων.

Καὶ μὴ δι' ἔχθρας τῶνδε καὶ φόνου μολὼν,
Κακόν τι δρᾶσαι, καὶ παθεῖν, ἃ γίνεται.
Ὁ δ' αἰνέσας ταῦθ', ὅρκιούς τε δοὺς θεοὺς,
Ἔδρασεν οὐδὲν, ὧν ὑπέσχετ', ἀλλ' ἔχει
Τυραννίδ' αὐτὸς, καὶ δόμων ἐμῶν μέρος.
Καὶ νῦν ἕτοιμός εἰμι τἀμαυτοῦ λαβὼν,
Στρατὸν μὲν ἔξω τῆσδ' ἀποστεῖλαι χθονὸς,
Οἰκεῖν δὲ τὸν ἐμὸν οἶκον ἀνὰ μέρος λαβὼν,
Καὶ τῷδ' ἀφεῖναι τὸν ἴσον αὖθις αὖ χρόνον,
Καὶ μήτε πορθεῖν πατρίδα, μήτε προσφέρειν
Πύργοισι πηκτῶν κλιμάκων προσαμβάσεις.
Ἃ μὴ κυρήσας τῆς δίκης πειράσομαι
Δρᾶν. μάρτυρας δὲ τῶνδε δαίμονας καλῶ,
Ὡς πάντα πράσσων σὺν δίκῃ, δίκης ἄτερ
Ἀποστεροῦμαι πατρίδος ἀνοσιώτατα.
Ταῦτ' αὔθεκαστα, μῆτερ, οὐχὶ περιπλοκὰς
Λόγων ἀθροίσας εἶπον, ἀλλὰ καὶ σοφοῖς
Καὶ τοῖσι φαύλοις ἔνδιχ', ὡς ἐμοὶ δοκεῖ.
Χο. Ἐμοὶ μὲν, εἰ καὶ μὴ καθ' Ἑλλήνων χθόνα
Τεθράμμεθ', ἀλλ' οὖν ξυνετά μοι δοκεῖς λέγειν.
Ἐτε. Εἰ πᾶσι ταὐτὸ καλὸν ἔφυ, σοφόν θ' ἅμα,

« Οὐχ

ΣΧΟΛΙΑ.

484. Ὁ δ' αἰνέσας) συγκατατεθεὶς, συνθέμενος. 492. Πηκτῶν κλιμάκων) διὰ πεπηγμένων κλιμάκων ἀναβάσεις. 493. Ἃ μὴ κυρήσας) ἅ τινα ἀποπειρᾶν ποιήσομαι πράττειν, μὴ ἐπιτυχὼν τοῦ δικαίου. ἢ ἄλλως. καὶ λείπει ἡ εἰς. εἰς ἃ μὴ κυρήσας, πειράσομαι δρᾶν τὰ ἀπὸ τῆς δίκης. ἐπιβοῶμαι δὲ μάρτυρας τούτων τοὺς θεοὺς, ὅτι πάντα πράττων μετὰ δικαιοσύνης, ἀπαλλοτριοῦμαι τῆς πατρίδος ἀδικώτατα. 497. Οὐχὶ περιπλοκὰς) ταῦτα ἁπλῶς εἶπον, οὐ συστροφὰς συντάξας λόγων, ἀλλ' ἃ καὶ λογίοις καὶ ἀτέχνοις ὑπάρχειν δίκαια φαίνεται. Ἄλλως. αὐθέκαστα, τὰ κεφάλαια καὶ τὰ ἀναγκαιότατα τῶν λόγων μου ταῦτά εἰσι. 500. Ἐμοὶ μὲν) εἰ

καὶ

Et non huc veniens per inimicitiam & cædem,
Aliquid mali facerem & paterer, quæ fiunt, *sc. bello.*
Ipſe approbans hæc, & invocans deos teſtes,
Nihil eorum fecit, quæ dixit, ſed tenet
Ipſe regnum *ſolus*, & partem meæ domûs.
Et nunc paratus ſum mea recipiens,
Exercitum extra hanc terram dimittere,
Et gubernare meam domum per vices accipiens;
Et huic permittere æquale rurſus tempus *regendam*,
Et non vaſtare patriam, neque admovere
Turribus compactarum ſcalarum gradus *ad aſcendendum.*
Quæ non conſecutus jus experiar,
Ut faciam *quæ ſtatui*. Teſtes verò horum deos voco,
Quòd omnia juſtè faciens, præter jus
Spolier patriâ iniquiſſimè.
Hæc ſingula, ut facta ſunt, mater, non perplexos
Sermones colligens dixi, ſed & ſapientibus
Et rudibus juſta *ſunt*, ut mihi videtur.

Cho. Mihi quidem, etiamſi non in Græciâ
Simus educatæ, videris tamen prudentèr dicere.

Ete. Si omnibus idem eſſet pulchrum, egregiúmque ſimul,

" Non

ΣΧΟΛΙΑ.

καὶ μὴ κατὰ γῆν τῶν Ἑλλήνων ἀνετράφημεν, ὅμως συνετά μοι δοκεῖς λέγειν. ἵνα πλεονάζῃ ὁ μὲν, καὶ μία ἀντωνυμία. 502. Εἰ πᾶσι) εἰ ταὐτὸ καλὸν ἦν καὶ σοφὸν πᾶσιν ὁμοῦ, οὐκ ἦν ἀμφίβολος φιλονεικία καὶ μάχη ἐν ἀνθρώποις. νῦν δὲ μέχρις ὀνόματος τὸ ὅμοιον καὶ τὸ ἴσον σώζει]

483. Δρᾶσαι καὶ παθεῖν) ποιῆσαι αὐτὸν καὶ ὑπ᾽ αὐτοῦ παθεῖν, καθὰ συμβαίνει, ἃ εἴωθε γίνεσθαι. 486. Ἤγουν καὶ τὸ ἀνῆκον ἐμὸν μέρος τῶν δόμων. 502. Εἰ παρὰ πᾶσιν ἅμα τοῖς ἀνθρώποις ἦν αὐτὸ πρᾶγμα καλὸν καὶ σοφὸν, ἤγουν φρόνιμον, καὶ μὴ τὸ μὲν δηλονότι ἐδόκει τῷδε καλὸν, ἑτέρῳ δὲ τοὐναντίον.

“ Οὐκ ἦν ἂν ἀμφίλεκτος ἀνθρώποις ἔρις.
“ Νῦν δ᾽ οὔθ᾽ ὅμοιον οὐδὲν, οὔτ᾽ ἴσον βροτοῖς,
“ Πλὴν ὀνομάσαι. τὸ δ᾽ ἔργον οὐκ ἔστιν τόδε.
Ἐγὼ γὰρ οὐδὲν, μῆτερ, ἀποκρύψας, ἐρῶ.
Ἄστρων ἂν ἔλθοιμ᾽ ἡλίου πρὸς ἀντολὰς,
Καὶ γῆς ἔνερθε, δυνατὸς ὢν δρᾶσαι τάδε,
Τὴν θεῶν μεγίστην ὥστ᾽ ἔχειν Τυραννίδα.
Τοῦτ᾽ οὖν τὸ χρηστὸν, μῆτερ, οὐχὶ βούλομαι
Ἄλλῳ παρεῖναι μᾶλλον, ἢ σώζειν ἐμοί.
“ Ἀνανδρία γὰρ, τὸ πλέον ὅστις ἀπολέσας,
“ Τοὔλασσον ἔλαβε. πρὸς δὲ τοῖσδ᾽, αἰσχύνομαι
Ἐλθόντα σὺν ὅπλοις τόνδε, καὶ πορθοῦντα γῆν,
Τυχεῖν ἃ χρήζει. ταῖς γὰρ ἂν Θήβαις τόδε
Γένοιτ᾽ ὄνειδος, εἰ Μυκηναίου δορὸς
Φόβῳ, παρείην σκῆπτρα τἀμὰ τῷδ᾽ ἔχειν.

Χρ...

ΣΧΟΛΙΑ.

σώζει) τοῖς ἀνθρώποις. ὀνομάζομεν γὰρ κοινῇ πάντες Ἕλληνες χρυσὸν, καὶ τὸ μὲν ὄνομα ὁμοίως προφερόμεθα, διχοστατοῦμεν δὲ περὶ τὴν τούτου δόξαν, οἱ μὲν ἀγαθὸν, οἱ δὲ φαῦλον αὐτὸν φάσκοντες. ὁμοίως καὶ ἐπὶ τῆς σωφροσύνης, καὶ πάντων τῶν ἄλλων. 505. Πλὴν ὀνομάσαι) ἐξ ὀνόματος καλέσαι. ἤτοι ὄνομα μόνον, ἡ πρᾶξις δὲ οὐκ ἔστι τοῦτο. 507. Ἄστρων ἀνέλθοιμι) εἴθε ἠδυνάμην εἰς οὐρανὸν ἀνελθεῖν, καὶ εἰς ᾅδου κατελθεῖν, ἐπὶ τῷ κατορθῶσαί μοι τὴν τῶν θεῶν τυραννίδα. οὐκ ἐπιτιμητέον δέ. ἁρμόδιοι γὰρ οἱ λόγοι πρὸς πλεονεξίαν διώκοντι, καὶ τῶν ἄστρων, καὶ τοῦ ἡλίου καταχρατῆσαι, καὶ τοῦ θρόνου τοῦ Διὸς οὐκ ἂν παραιτήσαιτο. 508. Δυνατὸς ὢν δρᾶσαι τάδε) εἰ ἠδυνάμην τοῦτο ποιῆσαι. 510. Τοῦτο οὖν τὸ χρηστὸν) ἀλόγιστος φησὶν ὁ Ἐτεοκλῆς. ἐξὸν γὰρ αὐτῷ τῷ τοῦ πρεσβυτέρου χρήσασθαι δικαιώματι, ᾧ μᾶλλον ἐπιβάλλει ἡ ἀρχὴ, ἀδικεῖν ὁμολογεῖ ἑαυτὸν, εἰ πλεονεκτεῖν φησι. πρὸς ὃ ῥητέον, ὅτι μίμησιν ἀνδρὸς ἀδίκου ἐξεικονίζει ὁ Εὐριπίδης ἡμῖν, μήτι τῷ δοκεῖν εὐσεβεῖν βουλομένου. ἄλλως τε εἰ ἔφασκε ἄρχειν, ὡς πρεσβύτερος, ἠκολούθει τῷ λόγῳ, τὸ τῶν κτημάτων μέρος δεῖν ἀπονέμειν. 511. Ἢ σώζειν ἐμοί) ἀλλὰ σώζειν ἐμαυτῷ. 512. Ἀνανδρία γὰρ) δειλία γάρ ἐστι τῷ ἀνθρώπῳ ἐκείνῳ,

ὅστις

Non esset utique ambigua dissensio inter homines.
Nunc verò nihil simile, nihil æquale hominibus est,
Præter nomina; factum verò non est idem.
Ego enim, mater, non occultans, dicam:
Astra ascenderem Solis ad ortum, [hæc,
Et sub terram *descenderem*, si possem efficere
Ut haberem Tyrannidem Dearum maximam.
Hoc igitur bonum, ô mater, non volo
Alteri concedere magis quàm mihi servare.
Ignavus enim est, re majori quisquis amissâ
Minorem acceperit. Prætereà verò pudet me
Venientem hunc cum armis, & vastantem terram,
Consequi, quæ postulat. Thebis enim hoc
Fuerit probrum, si hastæ Mycenææ
Metu, traderem sceptra mea, ut hic haberet.

Opor-

ΣΧΟΛΙΑ.

ς φθείρας τὸ μεῖζον, τὸ ἔλαττον ἐδέξατο. 513. Πρὸς δὲ τοῖσδε) ρὸς δὲ τοῖσδε, οἷς εἶπον δηλονότι, αἰσχύνη καὶ ὄνειδος ἐστὶν, ἂν ῄζει τοῦτον τυχεῖν, ἐπὶ πορθήσει παραγινόμενον. Ἄλλως. αἰσχύνη σὶν ἐστιν, εἰ συγχωρήσαιμι τὴν ἐμὴν βασιλείαν τῷ Πολυνείκει βεῖν τῷ φόβῳ τοῦ Μυκηναίου πολέμου. ἔπρεπε δ' αὐτὸν τὸν Πολυνείυ, ὦ μῆτερ, οὐ δι' ὅπλων ποιεῖσθαι τὰς φιλίας. πᾶν γὰρ πρᾶγμα τορθοῖ ὁ λόγος, ὅπερ καὶ ὁ σίδηρος τῶν πολεμίων ποιήσειεν ἄν. ιόγος φησὶν, ἴσος ἐστὶ σιδήρῳ. πάντα γὰρ χειροῦται καὶ κατορθοῖ ὁ γος διὰ τῆς πειθοῦς, ἅπερ σίδηρος βίᾳ.

521. Ἀλλ'

503. Ἀμφίλεκτος, ἀμφισβητήσιμος. 504. Ἄλλως· νῦν οὔτε ὅμοιον οὐδέν ἐστι παρὰ τοῖς ἀνθρώποις, οὔτε ἴσον πλέον ὀνομάσαι. μάζεται μὲν γὰρ παρὰ πᾶσιν ἀνθρώποις ὅμοιον καὶ ἴσον, καὶ συμφωνοῦσι κατὰ τοῦτο πάντες, τὸ δὲ ἔργον τοῦτο οὐκ ἔστι παρ' αὐτοῖς. νῦν, ὅμοιον μὲν ὄνομα καὶ ἴσον ἐστὶ, ἔργον δὲ ὅμοιον καὶ ἴσον οὐκ ἔστιν. κτος γὰρ τὸ πλέον ζητεῖ καὶ τὸ κρεῖττον. 507. Ἂν ἦλθον, ῆς ἐπιτολάς. 509. Τυραννίδα. Βασιλείαν. 512. Ἀπολέσας) ις ὤφειλεν· ἐπεὶ δὲ ταύτην τὴν δωρεὰν ὅταν δηλονότι διδῷ τις τὰ λέον ἵνα λάβῃ τὸ ἔλαττον ἀπώλεσε νομίζει, ἀπολέσας λέγει.

Εἰσῆλθε, κἀξῆλθ', ἐπ' ὀλέθρῳ τῶν χρωμένων.
« Ἐφ' ἣ σὺ μαίνῃ. Κεῖνο κάλλιστον, τέκνον,
« Ἰσότητα τιμᾶν· ἣ φίλους ἀεὶ φίλοις,
« Πόλεις τε πόλεσι, ξυμμάχους τε ξυμμάχοις
« Συνδεῖ. τὸ γὰρ ἴσον, νόμιμον ἀνθρώποις ἔφυ.
« Τῷ πλείονι δ' αἰεὶ πολέμιον καθίσταται
« Τοὔλασσον, ἐχθρᾶς θ' ἡμέρας κατάρχεται.
« Καὶ γὰρ μέτρ' ἀνθρώποισι καὶ μέρη σταθμῶν
« Ἰσότης ἔταξε, κἀριθμὸν διώρισε·
« Νυκτός τ' ἀφεγγὲς βλέφαρον, ἡλίου τε φῶς,
« Ἴσον βαδίζει τὸν ἐνιαύσιον κύκλον·
« Κοὐδέτερον αὐτοῖν φθόνον ἔχει νικώμενον.
« Εἶθ' ἥλιος μὲν, νύξ τε δουλεύει βροτοῖς.
Σὺ δ' οὐκ ἀνέξῃ δωμάτων ἔχων ἴσον,
Καὶ τῷδ' ἀπονεῖμαι; κᾆτα ποῦ 'στιν ἡ δίκη;
Τί τὴν τυραννίδ' ἀδικίαν εὐδαίμονα
Τιμᾷς ὑπέρφευ, καὶ μέγ' ἥγησαι τόδε;
Περιβλέπεσθαι τίμιον; κενὸν μὲν οὖν.
Ἢ πολλὰ μοχθεῖν, πόλλ' ἔχων ἐν δώμασι

Βουλ

ΣΧΟΛΙΑ.

537. Ἐπ' ὀλέθρῳ τῶν χρωμένων) πολλὰ γὰρ τῶν κακῶν ἐπὶ φθορ[ᾷ] τῶν ἀπολλυμένων ἀπαλλάσσεται, ὡς νόσος, καὶ πυρετοὶ σφοδροὶ καὶ διάφοροι. 541. Τὸ γὰρ ἴσον νόμιμον) ἀντὶ τοῦ δίκαιον, καὶ ἀσφαλὲς, καὶ βέβαιον. οἱ γὰρ νόμοι ἀμετάτρεπτοι εἰσίν. ἐν τούτοις γὰρ σώζεται τὸ ἴσον. καὶ γὰρ διὰ τῶν μέτρων καταλαμβάνεται τὸ ἴσο[ν]. Εἶθ' ἥλιος μὲν καὶ ἡ νὺξ τῷ ἴσῳ δουλεύουσι, σὺ δὲ ἐν βροτοῖς οὐκ ἀνέξῃ τῶν δωμάτων ἔχων τὸ ἴσον, δουλεύειν τῇ ἰσότητι. 552. Τ[ί] τὴν τυραννίδ') λείπει τὸ οὖσαν, καὶ τὸ ὡς. τί τιμᾷς τὴν τυραννίδ[α] ἀδικίαν οὖσαν, ὡς εὐδαίμονα καὶ μακαρίαν. Ἄλλως. αὐτὴν τ[υ]ραννίδα, εὐδαίμονα ἀδικίαν φησί. τί τιμᾷς τὴν εὐδαίμονα ἀδικίαν; ἔδει φασὶν δυσδαίμονα αὐτὴν εἰπεῖν, ἵνα τὸν Ἐτεοκλέα [...]ει αὐτὴν ἀσεβοῦς ἐπιθυμίας ἀποστρέψῃ. διὰ μέσου δὲ μετὰ χαρακτηρισμοῦ τὸ ὑπέρφευ ἀναπεφώνηται. 553. Ὑπέρφευ) ὑπερφυῶς καὶ

μεγα

Intravit, & egreſſa eſt cum pernicie utentium:
Propter quam tu inſanis. Illud multo melius eſt, ô fili,
Æqualitatem colere, quæ ſemper amicos amicis,
Urbes urbibus, & ſocios ſociis
Ligat. Æqualitas enim habet vim legis inter homines.
Abundantiori verò ſemper inimicum eſt
Id quod Minus *eſt*, & autor *eſt* hoſtilis diei.
Etenim menſuras hominibus & pondera pro proportione
Æqualitas ordinavit, & numeros conſtituit:
Obſcura palpebra noctis, & lumen ſolis,
Æqualiter circuit annuum circulum,
Et neutrum horum duorum victum invidet alteri,
Atque ita ſol & nox ſerviunt hominibus.
Tu autem non ſuſtinebis habere æquam partem regni,
Et huic tribuere ſuam partem? Tum verò ubi eſt jus?
Quid Tyrannidem, beatam injuſtitiam,
Honoras ſupra modum, & magni facis hoc?
Circumſpici, *ſuſpicique putas eſſe* honorificum? at hoc eſt inane.
An multum laborare, habens multa in domo, Vis?

ΣΧΟΛΙΑ.

μέγα τοῦτο νομίζεις τὸ ἄρχειν. τὸ γὰρ περιβλέπεσθαι καὶ θαυμάζεσθαι τίμιον τοῦτο δηλοῖ. ἤγουν τὸ ἄρχειν. Ἄλλως ἐν ἤθει πευστικόν. μέγα νομίζεις τὸ περίβλεπτος εἶναι, καὶ περιφανὴς παρὰ πᾶσιν; ἢ οὕτως. ἀλλὰ τὸ περιβλέπεσθαι τίμιον νενόμικας. κενὸν μὲν οὖν τοῦτο.

557. Ἐπεὶ

537. Εἰσῆλ. κἀξ.) ἀπέβη, ἐτελεύτησεν ἐπ' ἀπώλειαν αὐτῇ χρωμένων, ἧς σὺ ἐρᾷς τοιαύτης οὔσης δηλονότι. 541. Νόμιμον) νόμου δύναμιν ἔχον, τουτέστιν ἀσφαλὲς, φίλιον ὑπάρχει. 549. Δουλεύει) κατὰ διαδοχὴν καὶ ἰσότητα.

Βούλει; τί δ' ἔστι τὸ πλέον; ὄνομ' ἔχει μόνον·
« Ἐπεὶ τά γ' ἀρκοῦνθ' ἱκανὰ τοῖσι σώφροσιν.
« Οὔτοι τὰ χρήματ' ἴδια κέκτηνται βροτοί,
« Τὰ τῶν θεῶν δ' ἔχοντες ἐπιμελούμεθα·
« Ὅταν δὲ χρήζωσ', αὔτ' ἀφαιροῦνται πάλιν.
« Ὁ δ' ὄλβος οὐ βέβαιος, ἀλλ' ἐφήμερος.
Ἄγ', ἤν σ' ἔρωμαι δύο λόγους προθεῖσ' ἅμα,
Πότερα τυραννεῖν, ἢ πόλιν σῶσαι θέλεις;
Ἐρεῖς τυραννεῖν; ἢν δὲ νικήσῃ σ' ὅδε,
Ἀργεῖά τ' ἔγχη δόρυ τὸ Καδμείων ἕλῃ,
Ὄψει δαμασθὲν ἄστυ Θηβαίων τόδε·
Ὄψει δὲ πολλὰς αἰχμαλωτίδας κόρας,
Βίᾳ πρὸς ἀνδρῶν πολεμίων πορθουμένας.
Ὀδυνηρὸς ἄρ' ὁ πλοῦτος, ὃν ζητεῖς ἔχειν,
Γενήσεται Θήβαισι. Φιλότιμος δὲ σύ.
Σοὶ μὲν τάδ' αὐδῶ· σοὶ δὲ, Πολύνεικες, λέγω.
Ἀμαθεῖς Ἄδραστος χάριτας εἰς σ' ἀνήψατο·
Ἀσύνετα δ' ἦλθες καὶ σὺ πορθήσων πόλιν.

Φέρ',

ΣΧΟΛΙΑ.

557. Ἐπεὶ τά γ' ἀρκοῦνθ') ἐπειδὴ τὰ ἀρκετὰ, καὶ μεμετρημένα τοῖς φρονίμοις ἱκανὰ λελόγισται. ἱκανὰ) εἴ τις τὸ πρᾶγμα ζητῶν φρονήσει λογίζοιτο. Εἰ οὖν ἱκανὰ, τὰ ἀρκοῦντα, τὸ πλέον δηλονότι οὐκ ἀρκοῦντος, ἄχρηστον ἂν εἴη καὶ περιττόν· εἰ δὲ περιττὸν, ἔστι καὶ πρὸς οὐδὲν χρήσιμον· εἶτα πλέον λέγεται), ὀνόματι δηλονότι μόνον λέγεται· ἔργῳ δὲ τί ἂν πλέον ποιήσειεν ἐκεῖνο, οὗ χρεία οὐδεμία ἐστί; 558. Ἴδια) φυσικὰ, ἤγουν περιτετμημένα τῇ ἰδίᾳ φύσει· τὰ δὲ τῶν θεῶν δὲ ἔχοντες χρήματα φροντίζομεν. ὁπόταν δὲ θέλωσιν, αὐτὰ πάλιν ἀφ' ἡμῶν λαμβάνουσι. Ἄλλως. ὅταν δὲ βούλονται παρέχειν αὐτὰ ἑτέροις, πάλιν ἀφαιροῦνται). 561. Ὁ δ' ὄλβος) ὁ δὲ πλοῦτος οὐ μόνιμος, ἀλλὰ πρόσκαιρος. 562. Ἄγ' ἤν σ') ἄγε, ἀποκρίθητι, ἐάν σε ἐρωτήσω δύο λόγους προβαλλομένη. ἆρα τυραννεῖν θέλεις, ἢ τὴν πόλιν σῶσαι; πάντως ἐρεῖς μοι τυραννεῖν. ἐὰν δὲ νικήσῃ οὗτος, καὶ ἡ τῶν Ἀργείων ἰσχὺς τοὺς Καδμείους νικήσῃ,

θεάσῃ

Vis? quid est Superfluitas? nomen habet tantùm:
" Nam quæ satis-sunt sufficiunt Moderatis.
" Neque enim homines proprias possident opes,
" Sed habentes à diis datas, curamus eas: 559
" Quum autem *illi* volunt, auferunt ipsas rursus.
" Opulentia enim non est stabilis, sed in diem.
Age, si interrogem, duas sententias proponens simul,
Utrum regnare, an urbem servare mavis?
Regnare velle dices? Si verò vicerit te iste,
Et Argivorum hastæ exercitum Thebanum ceperint, 565
Videbis domitam Thebanorum civitatem hanc:
Videbis etiam multas puellas captivas,
Vi raptas ab hostibus.
Dolorem igitur hæc potentia, quam habere quæris, 569
Allatura est Thebanis: tu verò es ambitiosus.
Tibi quidem hæc dico: tibi verò, Polynices, hæc declaro.
Adrastus contulit in te intempestivam gratiam:
Et stultè venisti tu quoque, expugnaturus *tuam* patriam.

Age,

ΣΧΟΛΙΑ.

ἴδῃς ἢ φθαρὲν τὸ ἄστυ τῶν Θηβαίων, καὶ πολλὰς κόρας τὰς ἐν νεαρᾷ, φησὶν ἡλικίας, αἰχμαλωτιζομένας σὺν βίᾳ παρὰ τῶν πολεμίων ἀνδρῶν. 569. Ἐπώδυνος λοιπὸν ὁ πλοῦτος καὶ αἰσχύνης αἴτιος γενήσεται ταῖς Θήβαις, ὅντινα ζητεῖς κεκτῆσθαι. γράφεται δὲ καὶ δαπανηρὸς, ὅ ἐστιν ἐπιζήμιος· ἀνάγκη γὰρ εἰς πόλεμον συμμάχους συστρέψαντα, καὶ δαπανᾶν. 570. Φιλότιμος) φιλόνεικος. 572. Ἀνῆψατο) ἀνέθηκε, παρέψατο. ἀπὸ μεταφορᾶς τῶν πλοίων, ἀποδεσμευομένων εἰς λιμένα. 573. Πορθήσων) ἀσυνέτως δὲ καὶ τῆς ὕλης λεηλατήσων τὴν πόλιν. ἐὰν γὰρ διαφθειρόμενος, ἁπάσῃ τῇ πόλει ἐπάγεις κίνδυνον. καὶ ταῦτα ἐπιστάμενος, οὐ δημοκρατουμένην, ἀλλὰ μοναρχουμένην.

Φέρ', ἢν ἕλῃς γῆν τήνδ', ὃ μὴ τύχοι ποτὲ
Πρὸς θεῶν, τρόπαια πῶς ἀναστήσεις δορός;
Πῶς δ' αὖ κατάρξῃ θυμάτων ἑλὼν πάτραν,
Καὶ σκῦλα γράψεις πῶς ἐπ' Ἰνάχου ῥοαῖς;
Θήβας πυρώσας, Τάσδε Πολυνείκης θεοῖς
Ἀσπίδας ἔθηκε· μή ποτ', ὦ τέκνον, κλέος
Τοιόνδε σοὶ γένοιτ' ἂν ὑφ' Ἑλλήνων λαβεῖν.
Ἢν δ' αὖ κρατηθῇς, καὶ τὰ τοῦδ' ὑπερδράμῃ,
Πῶς Ἄργος ἥξεις, μυρίους λιπὼν νεκρούς;
Ἐρεῖ δὲ δή τις, ὦ κακὰ μνηστεύματα,
Ἄδραστε, προσθεὶς, διὰ μιᾶς νύμφης γάμον
Ἀπωλόμεσθα. δύο κακὼ σπεύδεις, τέκνον,
Κείνων στέρεσθαι, τῶνδέ τ' ἐν μέσῳ πεσεῖν.
" Μέθετον τὸ λίαν, μέθετον· ἀμαθία δυοῖν,
" Εἰς ταὔθ' ὅταν μόλητον, ἔχθιστον κακόν.

Χο. Ὦ

ΣΧΟΛΙΑ.

575. Τρόπαια) νικητήρια. ἀπὸ τοῦ τρέψαι καὶ διῶξαι τοὺς πολεμίους. λέγει δὲ τὰ ἱστάμενα σύμβολα τῆς νίκης. Τὰ δὲ σκῦλα γράψεις, ἀντὶ τοῦ τὰ ὅπλα ἐπιγράψεις, ἤτοι τὰ ἀναθήματα τῶν πεφονευμένων. τί δ' ἔσται τὸ ἐπίγραμμα; Θήβας πυρώσας τάσδε Πολυνείκης θεοῖς ἀσπίδας ἔθηκεν; μὴ γένοιτό σοι, τέκνον, λαβεῖν ὑπὸ τῶν Ἑλλήνων τοιαύτην φήμην. 581. Ὑπεκδράμῃ) παρέλθῃ, νικήσῃ. μετενήνοχε δὲ ἀπὸ τῶν δρομέων, οἷον ὑπέρτερος γένηται. 586. Κείνων στέρεσθαι) τοῦ Ἄργους δηλονότι. ὁ δὲ νοῦς, μήτε ἐκεῖνα μήτε ταῦτα ἔχειν, ἤτοι κἀκείνων στερηθῆναι, καὶ τούτων μὴ τυχεῖν. τὸ γὰρ ἐν μέσῳ πεσεῖν, τουτέστι τὸ πρὸ τοῦ ἀφικέσθαι ἐπ' αὐτὰ ἐκπεσεῖν τῆς ἐλπίδος. 587. Μέθετε τὸ λίαν) τὴν ὑπερβολὴν τῆς ὀρέξεων. ἢ τὸ γνωμικόν. καὶ ἐν Ὀρέστῃ, Τὸ λίαν χρῆσθαι καλῶς. Ἄλλως. ἐν τούτοις οὐδὲν Ἰοκάστη συμβεβούλευκε τοῖς παισὶ κοινωφελές. ἀλλὰ τῷ μὲν λέγει, εἰς τί φιλοτιμῇ τυραννεῖν; τῷ δὲ, εἰς τί πολεμεῖς τὴν πατρίδα; ἐχρῆν δὲ τούτοις συμβουλεῦσαι, διελομένους τὰ πατρῷα καὶ τὴν βασιλείαν, παύσασθαι τῆς διχοστασίας, ὅπως ὑπέστησαν ἐξ ἀρχῆς ἀνὰ μέρος ἄρχειν. καὶ γὰρ ἐπὶ τῷ ποιητῇ ἦν ποιῆσαι αὐτοὺς μὴ πειθομένους, ὅπως τὰ τῆς ἱστορίας μένῃ βέβαια. εἵμαρτο γὰρ αὐτοὺς

ἀλλη-

Agè, si ceperis hanc urbem (quod avertant Dii) quomodo eriges trophæa istius pugnæ?
Quomodo deinde primitias dedicabis in sacrificando, captâ patriâ?
Et quomodo inscribes spolia ad flumen Inachi?
Nempe de Thebis incensis, POLYNICES DIIS HOS
CLYPEOS POSUIT: Nunquam, ô fili, gloriam
Talem tibi contingat à Græcis consequi.
Sin fueris victus, & res hujus supercurrant:
Quomodo Argos redibis innumeris relictis mortuis?
Et dicet aliquis: O miseras Desponsationes,
Adraste, promovens, propter unius puellæ conjugium
Perimus. Duplex malum acceleras, ô fili,
Illis privari, & his, quæ in medio sunt, excidere.
" Mittite ambo Nimium, mittite. Absurditas enim duorum,
" Quandò eôdem pervenerint, maximum malum est.

Ch. O

ΣΧΟΛΙΑ.

ἀλληλοκτόνους γινομένους, κατὰ τὰς ἀρὰς τοῦ πατρὸς ἀποθανεῖν. νῦν δὲ, οὐδὲν τούτων πεποίηκεν. Ἀμαθίαι δυοῖν) αἱ τῶν δύο ἀμαθίαι, ὅταν μολῶσιν εἰς ταυτὸν, μέγιστον κακὸν γίνονται. Ἄλλως. Δεινὸν κακὸν, ὅταν εἰς τὸ αὐτὸ κακὸν τῆς ἀμαθίας ἔλθητε· ὅμοιον δὲ ἐστὶ τὸ μηδὲν ἄγαν, τῷ, ἄφετε τὸ λίαν φιλονεικεῖν.

590. Ξύμ-

574. Εἰπὲ, ἣν παραλάβῃς κείνην, εἴθε μὴ συμβαίη. 577. Ποταμὸς ἐν τῷ Ἄργει ὁ Ἴναχος. 578. Ἆρα ἐπιγράψεις τοῦτο τὸ ἐπίγραμμα; ΤΑΣ, &c. 584. Προσθεὶς) συνθέμενος, συμφωνήσας· 586. Στέρεσθαι) τῶν κατὰ τὸ Ἄργος, καὶ τοῦ ἐκπεσεῖν ἐν τῷ μεταξύ. 587. Ἀμ.) ἀπαιδευσίαι ἀνθρώπων εἰς ταυτὸ ὅταν ἔλθωσιν, ἤγουν ὅταν συνδυασμῶσι, πάνυ μεμισημένοι.

Χο. Ὦ θεοί, γένοισθε τῶνδ' ἀποτροπαὶ κακῶν·
Καὶ ξύμβασίν τιν' Οἰδίπου τέκνοις δότε.

Τροχαῖοι.

Ετ. Μῆτερ, οὐ λόγων ἀγὼν ἔστ', ἀλλ' ἀναλοῦται χρόνος
Οὑν μέσῳ μάτην, περαίνει δ' οὐδὲν ἡ προθυμία.
Οὐ γὰρ ἂν ξυμβαῖμεν ἄλλως, ἢ 'πὶ τοῖς εἰρημένοις,
Ὥστε με σκήπτρων κρατοῦντα, τῆσδ' ἄνακτ' εἶναι χθονός.
Τῶν μακρῶν δ' ἀπαλλαγεῖσα νουθετημάτων μ' ἔα.
Καὶ σὺ τῶνδ' ἔξω κομίζου τειχέων, ἢ κατθανῇ.
Πολ. Πρὸς τίνος; τίς δ' ὧδ' ἄτρωτος, ὅστις εἰς ἡμᾶς ξίφος
Φόνιον ἐμβαλὼν, τὸν αὐτὸν οὐκ ἀποίσεται μόρον;
Ετε. Ἐγγύς· οὐ πόρρω βέβηκας· εἰς χεῖρας λεύσσεις ἐμάς;
Πολ. Εἰσορῶ· δειλὸν δ' ὁ πλοῦτος, καὶ φιλόψυχον κακόν.
Ετε. Κᾆτα σὺν πολλοῖσιν ἦλθες, πρὸς τὸν οὐδὲν ἐς μάχην;

Πολ.

ΣΧΟΛΙΑ.

590. Ξύμβασιν) ξυμβίβασιν. 591. Οὐ λόγων) οὐκ ἔστιν ὁ ἀγών. ἀπώλετο γὰρ ὁ καιρὸς ὁ ἐν μέσῳ ἀκαίρως. περαίνει δὲ, ἤτοι πληροῖ οὐδαμῶς ἡ σὴ προθυμία. ὁ δὲ νοῦς, περαίνει δ' οὐδὲν ἡ προθυμία, ἀντὶ τοῦ προθυμουμένη ἡμᾶς εἰς φιλίαν ἀγαγεῖν, οὐ πείθεις. οὐ γὰρ φιλιωθείημεν, καὶ εἰς ξύμβασιν καὶ φιλίαν ἔλθοιμεν ἄλλως, ἢ ἐπὶ τοῖς εἰρημένοις ὑπ' ἐμοῦ· ὥστε με τὰ σκῆπτρα κατέχειν δηλονότι, καὶ βασιλέα ὑπάρχειν τῆς χθονὸς τῆσδε. τῶν ἐπὶ πολὺ δὲ παρατεινομένων νουθετημάτων ἀποστᾶσα, ἄφες ἡμᾶς. καὶ σὺ δὲ τῶν τειχῶν τούτων ἐξέρχου, εἰ δὲ μὴ, ἀποθανῇ. 597. Πρὸς τίνος) παρὰ τίνος ἀποθανοῦμαι; τίς δ' οὕτως ἄτρωτός ἐστιν, ὅστις εἰς ἡμᾶς φονικὸν ἐμβαλὼν ξίφος, τὸν ὅμοιον οὐκ ἀπολαβὼν οἴσεται θάνατον; 599. Ἐγγὺς οὐ πόρρω) οὐ τινος ἐγγὺς καὶ ἔμπροσθεν ἵστασαι. τὸ

δὲ

Ch. O dii, ſitis averſores iſtorum malorum,
Et date compoſitionem quandam filiis Oedipi.

Eteocles.

Mater, non eſt certamen diſputationis, ſed perit tempus,
Quod eſt in medio, fruſtra, *tua* verò diligentia nihil efficit.
Non enim poſſumus aliter paciſci, niſi prædictis conditionibus,
Ut ego ſceptra tenens, rex ſim hujus terræ.
Omittens verò longas admonitiones, ſine me.
Et tu Polynices vade extra hæc mœnia, aut morieris.

Pol. Quâ manu? quis ſic eſt invulnerabilis, qui in nos enſem
Letalem immittens, non feret ſimilem necem?

Ete. Prope adeſt, ante quem ſtas: aſpicíſne manus meas?

Pol. Cerno: verum ignava, vitæ parca res Opulentia eſt.

Ete. Et ideo cum exercitu veniſti ad eum qui nihil eſt in pugnâ?

Pol.

ΣΧΟΛΙΑ.

δὲ εἰς χεῖρας λεύσσεις ἐμάς, ἐν ἐρωτήσει. λεύσσεις εἰς χεῖρας ἐμάς; οὐκ τούτων θνήσκεις. 600. Δειλὸν δ' ὁ πλοῦτος) παρ' ὅσον οἱ πλούσιοι δειλοί εἰσι πρὸς θάνατον, ὡς μεγάλων ἀγαθῶν στερούμενοι. οἱ δὲ πένητες ῥιψοκίνδυνοί εἰσιν, ἐπιλογιζόμενοι, ὡς λυσιτελεῖ κινδυνεύσαντας κλήσασθαι, καὶ ἀποθανεῖν μᾶλλον ἢ πτωχοὺς ὄντας ζῆν. φησὶ γοῦν ὅτι φιλόψυχος εἶ σύ. 601. Πρὸς τὸν οὐδὲν ἐς μάχην) καὶ εἶπε πρὸς τὸν φιλόζωον, καὶ ἄνανδρον σὺν πλείστοις ἦλθες μαχέσασθαι.

602. Ἀσφα-

589. Ἤγουν ἐκκρούσατε, ἀποπέμψατε τάδε τὰ κακά. 600. Δειλὸν) ἀντὶ τοῦ δειλίας ποιητικὸν καὶ φιλοζωΐας. 601. Ἦλθες εἰς μάχην πρὸς τὸν ὄντα δειλόν;

Πολ. Ἀσφαλὴς γάρ ἐστ᾽ ἀμείνων, ἢ θρασὺς στρατηλάτης.

Ετε. Κομπὸς εἶ σπονδαῖς πεποιθὼς, αἵ σε σώζουσιν θανεῖν.

Πολ. Καὶ σὲ δεύτερόν γ᾽ ἀπαιτῶ σκῆπτρα, καὶ μέρη χθονός.

Ετε. Οὐκ ἀπαιτούμεσθ᾽. ἐγὼ γὰρ τὸν ἐμὸν οἰκήσω δόμον.

Πολ. Τοῦ μέρους ἔχων τὸ πλεῖον; Ετε. Φημί. ἀπαλλάσσου δὲ γῆς.

Πολ. Ὦ θεῶν βωμοὶ πατρῷοι. Ετε. Οὓς σὺ πορθήσων πάρει.

Πολ. Κλύετέ μου. Ετε. Τίς δ᾽ ἂν κλύοι σου πατρίδ᾽ ἐπεστρατευμένου;

Πολ. Καὶ θεῶν τῶν λευκοπώλων δώμαθ᾽. Ετε. Οἵ στυγοῦσί σε.

Πολ. Ἐξελαυνόμεσθα πατρίδος. Ετε. Καὶ γὰρ ἦλθες ἐξελῶν.

Πολ. Ἀδικίᾳ γε σῇ, ὦ θεοί. Ετε. Μυκήναις, μὴ 'νθάδ᾽ ἀνακάλει θεούς.

Πολ. Ἀνόσιος πέφυκας. Ετε. Ἀλλ᾽ οὐ πατρίδος, ὡς σὺ, πολέμιος.

Πολ. Ὅς

ΣΧΟΛΙΑ.

602. Ἀσφαλὴς γὰρ) ναὶ, καὶ γὰρ ὁ ὠχυρωμένος ἐν ὅπλοις στρατηλάτης κρείττων ἐστὶ τοῦ θρασέος. Ἄλλως. ὁ ἠσφαλισμένος γὰρ δυνάμει ἀξιολόγῳ στρατηλάτης ἐστὶν ἀμείνων, ἢ ὁ χωρὶς δυνάμεως θρασυνόμενος. 603. Κομπὸς εἶ) ἀλαζονικὸς ὑπάρχεις, θαῤῥῶν ἐν σπονδαῖς, αἵ σε τηρῶσι θανεῖν. Κόμπος) τὸ μὲν προσηγορικὸν, ὡς τέμπος. τὸ δὲ ἐπίθετον, ὡς καρπὸς κομπός. λόγος κομπὸς. κομπαστής. ὁ δὲ νοῦς, μεγαλοφρονεῖς ἐπὶ ταῖς γινομέναις σπονδαῖς, καὶ συνθήκαις, αἵ τινές σε ῥύονται τοῦ ἤδη τεθνήξεσθαι.

604. Καὶ

Cautus enim dux præſtat feroci.

Superbus es, confidens induciis, quæ te ſervant à morte.

Iterum repoſco à te ſceptra, & partem terræ.

Non repoſcimur-*juſtum-debitum*. ego enim meam habitabo domum.

Tenens plus quàm partem? *Ete*. Ità affirmo. verum diſcede ex terrâ.

O deorum aræ paternæ. *Ete*. Quas tu everſurus ades.

Audite me. *Ete*. Quis vel audiret te gerentem bellum contra patriam?

Et domus deorum, qui vehuntur candidis equis. *Ete*. Qui oderunt te.

Expellimur ex patriá. *Ete*. Etenim veniſti patriam everſurus.

Id fit tuâ injuſtitiâ, ô dii. *Ete*. Mycenis, non hîc deos invoca.

Impius es. *Ete*. Sed non ſum hoſtis patriæ, ſicut tu es.

Pol. Qui

ΣΧΟΛΙΑ.

. Καὶ σὲ δεύτερον) ἰδοὺ φησὶν ἐκ δευτέρου σοι λέγω ἀποδοῦναι ...ον μοι τὸ μέρος τῆς βασιλείας. ἅπαξ γὰρ εἶπεν ἄνω, Καὶ ναοῦ...μός εἰμι τἀμαυτοῦ λαβὼν Στρατὸν μὲν ἔξω τῆσδ' ἀποστείλας ...νός. 605. Οὐκ ἀπαιτούμεθα) οὐ χρεωστούμεθα. 606. Τοῦ ...ρους) τοῦ ἐπιβάλλοντός σοι μέρους κεκτημένος τὸ περισσότερον; ...αι) ναὶ λέγω. ἀλλ' ὅμως δὲ καὶ ἀπαλλάσσου τῆς γῆς. 607. Πατρῷοι) πατρικοί. Πάρει) παραγένου. 609. Τῶν λευκοπώλων) Κάστορος καὶ Πολυδεύκους. ἢ Ζήθου καὶ Ἀμφίονος, ὅπερ ἄμεινον. ...ο. Ἐξελῶν) ἐξελάσων, πορθήσων τὴν πατρίδα. 611. Ἀδικίᾳ γε) τὸ ἑξῆς, ἐξελαυνόμεθα τῆς πατρίδος ἀδικίᾳ τῇ σῇ. τὸ δὲ θεοὶ διὰ μέσου.

613. Ἀμοι-

603. Σώζ.) ῥύοντα μὴ θανεῖν. 607. Ἀντὶ τοῦ ὦ βωμοὶ τῶν θεῶν τῶν πατρῴων.

Πολ. Ὅς μ' ἄμοιρον ἐξελαύνεις. Ετε. Καὶ κατακτανεῖν γε πρός.

Πολ. Ὦ πάτερ, κλύεις ἃ πάσχω; Ετε. Καὶ γὰρ οἷα δρᾷς κλύει.

Πολ. Καὶ σύ, μᾶτερ; Ετε. Οὐ θεμιτόν σοι ματρὸς ὀνομάζειν κάρα.

Πολ. Ὦ πόλις. Ετε. Μολὼν ἐς Ἄργος, ἀνακάλει Λέρνης ὕδωρ.

Πολ. Εἶμι, μὴ πόνει, σὲ δ' αἰνῶ, μᾶτερ. Ετε. Ἔξιθι [χθονός.

Πολ. Ἔξειμι· πατέρα δέ γέ μοι δὸς εἰσιδεῖν. Ετε. Οὐκ ἂν τύχοις.

Πολ. Ἀλλὰ παρθένους ἀδελφάς. Ετε. Οὐδὲ τάσδ' ὄψει ποτέ.

Πολ. Ὦ κασίγνηται. Ετε. Τί ταύτας ἀνακαλεῖς, ἔχθιστος ὤν;

Πολ. Μᾶτερ, ἀλλά μοι σὺ χαῖρε. Ιοκ. Χαρτὰ γοῦν πάσχω, τέκνον; [λία πέφυκ' ἐγώ.

Πολ. Οὐκέτ' εἰμὶ παῖς σός; Ιοκ. Εἰς πόλλ' ἀθ-

Πολ. Ὅδε γὰρ εἰς ἡμᾶς ὑβρίζει. Ετε. Καὶ γὰρ ἀνθυβρίζομαι.

Πολ. Ποῦ ποτε στήσῃ πρὸ πύργων; Ετε. Ὡς τί μ' ἱστορεῖς τάδε;

Πολ. Ἀντιτάξομαι κτενῶν σε. Ετε. Κἀμὲ τοῦδ' ἔρως ἔχει.

Ιοκ. Ὦ τάλαιν' ἐγώ. τί δράσετ', ὦ τέκν'; Ετε. Αὐτὸ σημανεῖ. Ιοκ. Πα-

ΣΧΟΛΙΑ.

613. Ἄμοιρον) χωρὶς μερίδος. 617. Μὴ πόνει) μὴ κάμνε, μὴ θορυβοῦ τούτου χάριν· ἄπειμι γάρ. ἐπίτηδες δὲ περιεσταλμένη φρονήματα ταῦτά φησι, προσδοκῶν εἰς τὸ δίκαιον ἔτι καλέσειν τὸν ἀδελφόν. σὲ δὲ ἐπαινῶ, μῆτερ, ὅτι ἐσπούδασας ἡμᾶς εἰς φιλίαν ἀγαγεῖν. 621. Ἀλλὰ

I. Qui me expellis carentem parte hæreditatis. *Ete.* Insuper etiam interficiam te.

I. O pater, audis quæ patior? *Ete.* Et qualia facis, audit.

I. Et tu, ô mater? *Ete.* Non fas est te matris nominare caput.

I. O urbs. *Ete.* Profectus Argos, invoca Lerneam aquam.

I. Vado, nè sis sollicitus: te autem laudo, mater. *Ete.* Egredere è terrâ.

I. Egredior: verum concede mihi, ut videam patrem. *Ete.* Non poteris consequi.

I. Sed sorores virgines. *Ete.* Neque has unquam videbis.

I. O sorores. *Ete.* Quid has vocas, cum *illis* sis inimicissimus?

I. Mater, tu læta vale. *Ioc.* Num læta patior, fili?

I. Non amplius sum filius tuus. *Ioc.* Ad multa ego calamitosa sum.

I. Ille enim injuriâ me afficit. *Ete.* Et ego vicissim injuriâ afficior.

I. Ubinam stabis ante turres? *Ete.* Ad quid hoc me interrogas?

I. Adversus te *in acie* stabo. *Ete.* Et me amor habet hujus rei.

Ioc. Me miseram! quid facietis, ô filii? *Ete.* Res ipsa ostendet. *Ioc.* Non

ΣΧΟΛΙΑ.

1. Ἀλλὰ) ἀντὶ τοῦ καί. Χαρτὰ) ἐν ἤθει. ἄξια χαρᾶς πάσχω, ...νου. 624. Ποῦ ποτε) κατ' ἐρώτησιν, ἀντὶ τοῦ ἐν ποίῳ τόπῳ ἐφεστήξῃ· ἵνα κἀγὼ ἐκεῖ παρατάξωμαι. 626. Αὐτὸ σημ.) πρᾶγμα.

627. Πα-

613. Ἀμ.) ἐστερημένον τοῦ ἀνήκοντός μοι μέρους. 617. Μὴ ...) μὴ δεινοπάθει. ἐπαινῶ ἕνεκα τῆς σπουδῆς τῶν ἀδελφῶν. ...5. Ἀντὶ τοῦ κτενῶ σε.

Ιοκ. Πατρὸς οὐ φεύξεσθ' Ἐρινῦς; Πολ. ἐρρέτω πρόπας δόμος.

Ετε. Ὡς τάχ' οὐκέθ' αἱματηρὸν τοὐμὸν ἀργήσει ξίφος.

Πολ. Τὴν δὲ θρέψασάν με γαῖαν, καὶ θεοὺς μαρτύρομαι,
Ὡς ἄτιμος οἰκτρὰ πάσχων, ἐξελαύνομαι χθονός,
Δοῦλος ὥς, ἀλλ' οὐχὶ ταὐτοῦ πατρὸς Οἰδίπου γεγώς.
Κἄν τι σοι, πόλις, γένηται, μή με, σύ γ' τόνδ' αἰτιῶ.
Οὐχ ἑκὼν γὰρ ἦλθον, ἄκων δ' ἐξελαύνομαι χθονός.
Καὶ σὺ, Φοῖβ', ἄναξ Ἀγυιεῦ, καὶ μέλαθρα χαίρετε,
Ἥλικές θ' οὑμοὶ, θεῶν τε δεξίμηλ' ἀγάλματα.
Οὐ γὰρ οἶδ', εἴ μοι προσειπεῖν αὖθις ἔσθ' ὑμᾶς ποτε.
" Ἐλπίδες δ' οὔπω καθεύδουσ', αἷς πέποιθα σὺν θεοῖς
Τόνδ' ἀποκτείνας, κρατήσειν τῆσδε Θηβαίας χθονός.

Ετε. Ἔξιθ' ἐκ χώρας· ἀληθῶς δ' ὄνομα Πολυνείκην πατὴρ
Ἔθετό σοι θείᾳ προνοίᾳ, νεικέων ἐπώνυμον.

ΕΠΩ-

ΣΧΟΛΙΑ.

627. Πατρὸς οὐ φεύξεσθε) ἀποφαντικῶς, ὅτι ἐὰν μαχήσησθε, πάντως ἀπόλλυσθε. Ἀγυιεῦ). ἐν τοῖς προπυλαίοις καὶ οἰκήμασιν ἱδρυμένε, ὅτι τὰ ἀγυιέα πρὸ πυλῶν ἵστασιν. κίων δὲ ἦν οὗτος ἐπὶ εἰς ὀξὺ λήγων. 635. Δεξίμηλα) τὰ δεχόμενα τὰς θυσίας. Καθεύδουσι) ἀπιστοῦσιν. 640. Νεικέων ἐπώνυμον) παρετυμολογεῖ τὰ

Ioc. Non effugietis patris diras? *Pol.* Pereat tota domus.

Ete. Quàm citò ensis meus cruentus non erit amplius ociosus?

Pol. Et terram quæ me aluit, & deos testor,
Quòd inhonoratus miseranda patiens ejicior è terrâ,
Sicut servus, nec ut ab uno patre natus Oedipo.
Et si quid acciderit tibi, ô civitas, ne me, tu, sed hunc accusato:
Invitus enim veni, invitus etiam expellor è patriâ.
Et tu, Phœbe rex Agyieû, & atria valete,
Et æquales mei, & statuæ deorum, recipientes victimas:
Nescio enim, an aliquando licebit mihi rursus vos alloqui.
" Spes verò nondum obdormiunt; quibus confido cum diis,
Hoc interfecto, me potiturum hâc Thebanâ terrâ.

Ete. Discedito ex terrâ. Verè enim nomen Polynicis pater
Indidit tibi divinâ providentiâ, cognomen contentionis.

ΕΡΟ-

ΣΧΟΛΙΑ.

τὸ ὄνομα Πολυνείκους, ὄνομα νεικέων φερώνυμον, τουτέστιν ἀπὸ τῶν νεικέων τὴν ἐπωνυμίαν λαβόν.

641. Κάδ-

627. Οὐ φεύξεσθ' ὡς ἔοικεν κατάρας τοῦ πατρός. Π. φθειρέσθω πᾶσα ἡ γενεά. 628. Ὡς τάχ') ὅτι ἴσως. 632. Καὶ ἐάν τι δέ σοι συμβῇ ὑπ' ἐμοῦ, ὦ πόλις, μή με τούτων αἰτιῶ, ἤγουν αἴτιον νόμιζε, ὅμοιον τῷ. Κοινὰ δ', εἴ τι πείσεθ' ἐπτάπυργος ἅδε γᾶ, v. 251.

ΕΠΩΔΙΚΑ.

Στροφή.

Χο. Κάδμος ἔμολε τάνδε γᾶν
Τύριος, ᾧ τετρασκελὴς
Μόσχος ἀδάμαστον πέσημα δίκε,

Τε-

ΣΧΟΛΙΑ.

641. Κάδμος ἔμολε) τὰ τοιαῦτα εἴδη τοῦ χοροῦ, καλεῖται ἐπῳδικὰ, ὡς εἴρηται. εἰσὶ δὲ τὰ παρόντα τελείως ἐπῳδικά. τὰ κῶλα δὲ τῆς μονοστροφῆς, τοσαῦτα. τὸ α΄ ἰωνικὸν ἀπὸ μείζονος, δίμετρον ἀκατάληκτον, ἐκ παίωνος α΄, ἀντὶ ἰωνικοῦ καὶ διιάμβου. εἰ δὲ βούλει, τροχαϊκὸν ἑφθημιμερὲς, τοῦ β΄ ποδὸς χορείου. ἐχρήσατο τῷ τοιούτῳ μέτρῳ ἐνταῦθα διὰ τὴν τοῦ Κάδμου κίνησιν. τὸ β΄ ὅμοιον ἰωνικὸν ἀπ᾽ ἐλάττονος, ἐκ παίωνος δ΄, ἀντὶ ἰωνικοῦ καὶ διιάμβου. εἰ δὲ βούλει, τροχαϊκὸν ἑφθημιμερὲς, τοῦ α΄ ποδὸς χορείου. τὸ γ΄ ὅμοιον τῷ α΄, δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος α΄, ἀντὶ ἰωνικοῦ ἐπιτρίτου τετάρτου, καὶ συλλαβῆς. εἰ δὲ βούλει, τροχαϊκὸν ἑφθημιμερὲς δίμετρον ἀκατάληκτον, τοῦ β΄ ποδὸς ἀναπαίστου. τὸ δ΄ ὅμοιον τῷ β΄, δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος δ΄ ἀντὶ ἰωνικοῦ διιάμβου καὶ συλλαβῆς. τὸ ε΄ τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον. τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον, χορεῖον ἔχει τὸν πρῶτον πόδα. τὸ ς΄ ὅμοιον τῷ β΄. τὸ ζ΄ ἰωνικὸν ἀπὸ μείζονος, ὅμοιον τῷ α΄, ἐξ ἰωνικοῦ πεντασυλλάβου, καὶ διτροχαίου. τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς, τὸν μὲν πρῶτον ἔχει πόδα διτρόχαιον, τὸν β΄ ἐπίτριτον. τὸ η΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον, ἐκ τροχαίου καὶ χορείων. τὸ θ΄ τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον. τὸ ι΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ια΄ τροχαϊκὸν καθαρὸν πενθημιμερές. τὸ ιβ΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον, τοῦ α΄ ποδὸς χορείου. τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον, καθαρόν ἐστι. τὸ ιγ΄ καὶ ιδ΄ τροχαϊκὸν Εὐριπίδειον. τὸ ιε΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ γ΄ ποδὸς χορείου. τὸ ις΄ ὅμοιον καθαρὸν ἰαμβικόν. τὸ ιζ΄ ἴαμβος καθαρὸς τρίμετρος. τὸ ιη΄ τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται ἰθυφαλικόν. τὸ ιθ΄ ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον, ἐκ διτροχαίου καὶ ἐπιτρίτου δ΄. τὸ μέντοι τῆς ἀντιστροφῆς, παράμετρος. Κάδμος ἔμολε) Κάδμος ζητῶν τὴν ἀδελφὴν Εὐρώπην, μαντεῖον ἔλαβε περὶ αὐτῆς, οὐδὲν αὐτῷ σημαῖνον, ἀλλ᾽ ὥστε αὐτὸν ἐξελθόντα ἕπεσθαι βοῒ, καὶ οὗ δ᾽ ἂν αὐτόματος πέσῃ, κτίζειν πόλιν. ἔχει δὲ ὁ χρησμὸς τοῦ Πυθίου οὕτως.

Χρησ-

EPODICA.

Strophe.

Cadmus venit in hanc terram
Ex Tyro, cui quadrupes
Vitula nondum experta jugum corpus pro-
stravit,

Com-

ΣΧΟΛΙΑ.

Χρησμὸς δοθεὶς τῷ Κάδμῳ.

Φράζεο δή μοι μῦθον Ἀγηνόρεος ἔκγονε Κάδμε·
Ἠοῦς ἐγρόμενος, προλιπὼν ἱερὴν Πυθὼ δῖαν,
Ἐνθάδ' ἔχων ἐσθῆτα καὶ αἰγανέην μετὰ χερσί,
Τὴν διά τε Φλεγύων καὶ Φωκίδος ἕς τ' ἂν ἵκηαι
Βουκόλον ἠδὲ βόας κηρεσιφόρος Πελάγοντος·
Ἔνθάδε προσπελάσας ξυλλάμβανε βοῦν ἐριμυκον,
Ἥ κεν δὴ νώτοισιν ἐπ' ἀμφοτέροισιν ἔχησι
Λευκὸν σῆμ' ἑκάτερθε περίδρομον, ἠύτε μήνης·
Τὴν δὲ σύ γ' Ἡγεμόνα σχὲς πετρωπέπλοιο κελεύθου.
Σῆμα δέ τοί γ' ἐρέω μάλ' ἀριφραδές· οὐδέ σε λήσει·
Ἔνθα κέ τοι πρώτιστα βοὸς κέρας ἀγραύλοιο
Ἵζηται κλίνῃ τε πέδῳ γόνυ ποιήεντι
Καὶ τότε τὴν μὲν ἔπειτα μελαμφύλλῳ χθονὶ ῥέζειν
Ἁγνῶς καὶ καθαρῶς· Γαίῃ δ' ὅταν ἱερὰ ῥέξῃς,
Ὄχθῳ ἐπ' ἀκροτάτῳ κτίζειν πόλιν εὐρυάγυιαν,
Δεινὸν Ἐνυαλίου πέμψας φύλακ' Ἄϊδος εἴσω.
Καὶ σύ γ' ἐπ' ἀνθρώπων ὀνομάκλυτος ἔσσεαι αὖθις,
Ἀθανάτων λεχέων ἀντήσας, Ὄλβιε Κάδμε.

Τοῦτο ἀκούσας Κάδμος, ἀφίκετο εἰς τὸ βουκόλιον τοῦ Πελάγοντος μφιδάμαντος καὶ ἀγοράσας βοῦν, καὶ ἡγεμόνα ταύτην τῆς ὁδοῦ πέμενος, κτίζει τὰς Θήβας ὁμωνύμως τῶν Αἰγυπτίων Θηβῶν, ἐπεὶ νέκαθεν Αἰγύπτιος ἦν ὁ Κάδμος. καὶ ἡ Βοιωτία δὲ ἀπὸ τοῦ βοὸς θη. 643. Ἀδάμαστον) τὸ μὴ ὑπό τινος ἠναγκασμένον πτῶμα, αὐτορριφές. πέσημα δὲ τὸ σῶμα ἀπὸ τοῦ παρεπομένου. ἢ ἀντὶ τοῦ μαθον ἔβαλλε τὸ σῶμα ἐπὶ τὴν γῆν. δίκειν γάρ, τὸ βάλλειν. ἄθω κος. τινὲς δὲ τὸ ἀδάμαστον πέσημα, τὸ μηδέπω δαμασθὲν λη σῶμα, ἐμφαίνει δὲ τὸν νέον μόσχον. 643. Δίκε) κατέβαλε. Βάκχαις· Δίκετε τρομερὰ σώματα· ὅπου κατῳκίσθη πόλις. 5. Ἐνταῦθα ἔπεσεν, ὅπου κατῴκισε Κάδμος τὴν πόλιν.

645. Οὗ

Τελεσφόρον διδοῦσα
Χρησμὸν, οὗ κατῴκισεν.
Πεδία μὲν τὸ θέσφατον
Πυροφόρα δόμων ἔχρησε,
Καλλιπόταμος ὕδατος ἵνα τε
Νοτὶς ἐπέρχεται γαίας
Δίρκας χλοηφόρους,
Καὶ βαθυσπόρους γύας.
Βρόμιον ἔνθα τέκετο
Μάτηρ, Διὸς γάμοισι,
Κισσὸς ὃν περιστεφὴς
Ἑλικτὸς, εὐθὺς ἔτι βρέφος
Χλοηφόροισιν ἔρνεσι
Κατασκίοισιν ὀλβίσας ἐνώτισεν,
Βακχεῖον χόρευμα
Παρθένοισι Θηβαίαισι,
Καὶ γυναιξὶν Εὐΐοις.

Ἀντιστροφή.

Ἔνθα φόνιος ἦν δράκων

Ἄρεος

ΣΧΟΛΙΑ.

645. Οὗ κατῴκισε) ἐν ἐνίοις τῶν ὑπομνημάτων, ἀντὶ τοῦ οὐ κατῴκισε, κατοικίσαι. ὁ δὲ λόγος πλεονάζοντος τοῦ μὲν, ἀντὶ τοῦ οὐ καθοικίσαι μὲν, καὶ οἱονεὶ κτίσαι τὰ πεδία τῶν δόμων, ὁ θεὸς ἐμαντεύσατο. ἔνθα ἡ τῆς Δίρκης πηγὴ καταρδεύει τὰς γύας. 646. Πεδία μὲν) τοῦτο ἀπ' ἄλλης ἀρχῆς. κεῖται γὰρ νῦν ὁ μὲν, ἀντὶ τοῦ δή. ἵν' ᾖ, πεδία δὲ πυροφόρα ὁ θεὸς ἔχρησεν ἔσεσθαι. Ἄλλως. Ὁ νοῦς, τὸ θέσφατον δὲ ἔχρησεν ἐκεῖ ἀρχοὺς γενέσθαι, ὅπου ἡ καλλιπόταμος νοτὶς ἐπινέμεται τὰς γύας τῆς Δίρκης. Δίρκη δὲ ποταμὸς Θήβας, ὁμώνυμος τῇ πηγῇ. 651. Βαθυσπόρους γύας) ὡς Ὅμηρος ἐριβώλακας λέγει. ἔπαινος δέ ἐστι τῆς γῆς, τὸ μὴ ξηρὰν αὐτὴν εἶναι, ἀλλὰ λιπαρὴν, καὶ εἰς βάθος παρέχουσαν ῥιζοῦσθαι τὰ σπέρματα. 652. Ἔνθα τέκετο) ἔνθα φησὶν, ἐν Θήβῃ τὸν Διόνυσον τῷ Διῒ ἡ Σεμέλη ἔτεκε· κισσὸς δὲ πανταχόθεν αὐτὸν περισκέψαι. τοῦ γὰρ οἴκου κεραυνωθέντος,

ἐξήμ-

npletum reddens
aculum, ubi habitaret.
npos enim oraculum
'entes-tricitum, loca ædium fore respondit,
›i pulchrifluus aquæ
ımor percurrens rigat terras,
rces viridi gramine florentes,
profundos habentia sulcos arva,
:chum ubi peperit
ıter conceptum ex Jove,
ıem hederâ circumdatâ
involutâ, statim adhuc puerum
rentibus frondibus
›umbrantibus beans texit,
cchicâ-Festivitate-*celebrandam rem*
rginibus Thebanis,
mulieribus Eviis.

Antistrophe.

sanguinolentus erat draco

Mar-

ΣΧΟΛΙΑ.

ωσει αὐτὸν ἡ μήτηρ φοβηθεῖσα· κισσὸς δὲ περιέλιξεν. ὅντινα Διόνυσον κισσὸς ἔξωθεν περιπλακεὶς ἔτι βρέφος ὄντα; ' νῶτα ἐκάλυψεν. ἱστορεῖ γὰρ Μνασέας, ὅτι τῶν Καδμείων βασιλ-ερειμωθέντων, κισσὸς περὶ τὰς κίονας φυεὶς, ἐκάλυψεν αὐτὸν, ·η αὐθημερὸν, καὶ ἐν μηδενὶ τὸ βρέφος διαφθαρῇ καλυπ-]ὸ ἐπ περικιόνιος ὁ θεὸς ἐκλήθη παρὰ Θηβαίοις. 657. Κα-σιν) Κατάσκιος τόπος, ὁ ὑπό τινος σκιαζόμενος· ἐνταῦ-κατάσκιοι κλάδοι, οἱ σκιὰν ἐμποιοῦντες τῇ πυκνότητι τῶν φύλλων. ας ἐνώτισε) τὸ νῶτον περιέλιξε, μεγάλη γὰρ αὐτῷ δόξα, τὸ ροδόξου σωτηρίας τέλος. ὀλβίσας δὲ αὐτὸν τὸν Διόνυσον ὁ κισσὸς, ν τὸ τοῦ βακχεύειν καὶ χορεύειν τὰς Θήβας αἴτιον. 660. Γυναι-ις) ταῖς Διονύσῳ χορευούσαις. καὶ τὸ εὐοῖ, εὐαῖ, ἐπιφθέγγ-. 661. Ἔνθα φοίνιος) παρὰ τῇ Δίρκῃ δεινὸς ἦν δρά-ιμος τὴν φύσιν, φύλαξ ὑπὸ τοῦ Ἄρεος καταστα θεὶς τῆς Δίρκης ὃ ὁ μηδένα ἀπ' αὐτῆς ὑδρεῦσαι.

Ἄρεος, ὠμόφρων φύλαξ,
Νάματ' ἔνυδρα, καὶ ῥέεθρα
Χλοερὰ δεργμάτων κόραισι
Πολυπλάνοις ἐπισκοπῶν.
Ὃν ἐπὶ χέρνιβας μολὼν
Κάδμος, ὤλεσε μαρμάρῳ,
Κρᾶτα φόνιον, ὀλεσίθηρος
Ὠλέναιν δικὼν βολαῖς,
Δίας ἀμάτορος
Παλλάδος φραδαῖσι,
Γαπετεῖς δικὼν ὀδόντας
Εἰς βαθυσπόρους γύας.
Ἔνθεν ἐξανῆκε γᾶ
Πάνοπλον ὄψιν ὑπὲρ ἄκρων
Ὅρων χθονός. σιδαρόφρων
Δέ νιν φόνος πάλιν ξυνῆψε φίλα γᾷ.
Αἵματος δ' ἔδευσε
Γαῖαν, ἅ νιν εὐηλίοισι
Δεῖξεν αἰθέρος πνοαῖς.

Ἐπῳδός.

ΣΧΟΛΙΑ.

662. Ἄρεος ὠμόφρων φύλαξ) ὡς τὸ βασιλέως ἄρχων, ἀντὶ τοῦ βασιλέως κατασταθεὶς ἄρχων. 664. Δεργμάτων) ταῖς κόραις τῶν ὀφθαλμῶν. 665. Πολυπλάνοις) ταῖς πανταχοῦ [illegible]μέναις. 666. Ἐπὶ χέρνιβας) ἐπὶ τὸ νίψασθαι τὰς χεῖρας. ἐβούλετο γὰρ τὴν βοῦν θῦσαι τοῖς θεοῖς. ὅτι σύμβολον αὐτὸ αὐτόθι γέγονε τοῦ κτίσαι τὴν πόλιν· ὁ μὲν οὖν Ἑλλάνικος λίθῳ φησὶν ἀναιρεθῆναι τὸν δράκοντα. ὁ δὲ Φερεκράτης, ξίφει. Ἄλλως. Ἐπὶ χέρνιβας, ἕνεκα τοῦ πρὸς τὴν θυσίαν ὕδατος λαβεῖν μολών. ἔθυε γὰρ τῇ γῇ τὴν βοῦν. Χέρνιβας) χερνίπτρα. ἀπὸ τοῦ χέρνιψ. 668. Ὀλεσίθηρος) τοῦ ἀπολέσθαι ἄξιος θηρ. ἢ ὀλεσίθηρος, αὐτὸς ὁ Κάδμος. 672. Δικὼν ὀδόντας) ἀντὶ τοῦ ἔδικεν, ἐγκατέσπειρεν. μετοχὴ ἀντὶ ῥήματος. 674. Ἔνθεν ἐξανῆκε γᾶ) ἐκ τῶν ὀδόντων ἐξανῆκεν ἡ γῆ ὁπλοφόρους ἄνδρας. εἰσὶ δὲ οὗτοι ἐξ αὐτῶν ὑπολειφθέντες,

Πέλωρ,

Martis, crudelis custos,
Flumina & fluenta
Viridantia oculorum pupulis
Passim errantibus custodiens.
Quem ad lavacra profectus
Cadmus, interfecit marmore;
Caput sanguineum, interfector ferarum,
Brachiorum saucians jactibus,
Divæ matre carentis
Palladis consiliis,
In terram lapsos jaculatus dentes
In profundos habentia sulcos arva:
Unde *mox* emisit terra
Armatum spectaculum supra summos
Fines terræ, *i. e. supra terræ superficiem.* ferrea
Verò cædes ipsum rursus conjunxit caræ terræ,
Sanguine verò rigavit
Terram, quæ ipsum apricis
Ostendit cœli flatibus.

Epodus.

ΣΧΟΛΙΑ.

Πέλωρ, Ἐχίων, Χθόνιος, Ὑπερήνωρ. καλεῖ δὲ Τιμαγόρας, καὶ Κρέων. Ἄλλως. Ὁ μὲν Στησίχορος ἐν Εὐρωπείᾳ τὴν Ἀθηνᾶν ἐσπαρκέναι τοὺς ὀδόντας φησίν. ὁ δὲ Ἀνδροτίων, σπαρτοὺς αὐτοὺς φησί, διὰ τὸ συλλεχθέντας αὐτῷ ἐκ Φοινίκης Κάδμῳ, σποράδην οἰκῆσαι. Ἀμφίλοχος δὲ, διὰ τὸ ἐπισπᾶσθαι τοῖς οἰκοῦσιν ἐν Θήβαις. Διονύσιος δὲ ἔθνος Βοιωτίας αὐτοὺς φησίν. ἔνιοι δὲ παῖδας Κάδμου αὐτούς φασιν. ἐκ διαφόρων γυναικῶν ιγ´ τὸν ἀριθμόν. 675. Ὑπὲρ ἄκρων ὅρων γῆς) εἰς τὴν ἐπιφάνειαν τῆς γῆς. 676. Σιδηρόφρων δέ νιν) τὸ νιν πρὸς τὸ ὄψιν. Σιδηρόφρων) οὗτοι φησὶν οἱ ἀναφανέντες ἐκ γῆς ὁμοῦ τῇ πανοπλίᾳ, εὐθὺς ἅμα τῷ φανῆναι, ἀλλήλους ἐφόνευσαν. τὸ οὖν νιν πρὸς τὴν ὄψιν ἀπέδωκε. τουτέστιν αὐτὴν δὲ τὴν πανοπλίαν, ὄψιν, τὴν ἀναδοθεῖσαν ἐκ γῆς, ὁ καθ' ἀλλήλων φόνος, πάλιν εἰς γῆν κατήνεγκε. τὴν δὲ ὄψιν ὅταν λέγῃ, τοὺς ἄνδρας σημαίνει. 677. Συνῆψεν) ἥνωσε τῇ προσφιλεῖ γῇ.

681. Καὶ

666. Ὃν ὁ Κάδμος ὤλεσε σπείρων τοὺς ὀδόντας αὐτοῦ εἰς τὰς αὔλακας τῆς γῆς.

Ἐπῳδός.

Καὶ σὲ τὸν προμάτορος
Ἰοῦς ποτ' ἔκγονον
Ἔπαφον, ὦ Διὸς γένεθλον,
Ἐκάλεσ', ἐκάλεσα
Βαρβάρῳ βοᾷ.
Ἰὼ βαρβάροις λιταῖς
Βᾶθι, βᾶθι τάνδε γᾶν,
Σοί νιν ἔκγονοι κτίσαν.
Αἱ διώνυμοι θεαὶ
Περσέφασσα, καὶ φίλα
Δαμάτηρ θεὰ, ἁπάντων
Ἄνασσ', ἁπάν-
των δὲ γᾶ τροφὸς,
Ἐκπέμψατε πυρφόρους
Θεὰς ἀμῦναι τᾷδε γᾷ.
« Πάντα δ' εὐπετῆ θεοῖς.

ΕΤΕΟ-

ΣΧΟΛΙΑ.

681. Καὶ σὲ τ' προμάτορος Ἰοῦς ποτ' ἔκγονον Ἔπαφον) τῆς ἐπῳδῆς ταύτης τὰ κῶλα ιϛ'. τὸ α' τροχαϊκὸν ἑφθημιμερὲς Εὐελπίδειον. τὸ β' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ γ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον, οὗ α' ποδὸς χορείου. εἰ δὲ βούλει, ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος δ' ἀντὶ ἰωνικοῦ διϊάμβου ἐκ συλλαβῆς. τὸ δ' τροχαϊκὸν πενθημιμερὲς, ἐκ χορείου β' καὶ συλλαβῆς. τὸ ε' ὅμοιον τροχαϊκὸν πενθημιμερὲς καθαρόν. τὸ ϛ' ἀντισπαστικὸν δίμετρον, καταληκτικὸν Φερεκράτειον, ἐξ ἀντισπάστου, καὶ κρητικοῦ. εἰ δὲ βούλει, τροχαϊκὸν ἑφθημιμερὲς ἰάμβου ἀρχομένου. τὸ ζ'. τὸ θ', τὸ ι'. ὅμοια τῷ α', τροχαϊκὰ Εὐελπίδεια. τὸ ια' ὅμοιον τῷ ε'. τὸ ιβ' ἰαμβικὸν πενθημιμερές. τὸ ιγ'. ἰαμβικὸν, ὅμοιον τῷ ιβ'. τὸ ιδ' τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον. τὸ ιε' ἰαμβικὸν δίμετρον ἀκατάληκτον, καθαρόν. τὸ ιϛ' τροχαϊκὸν Εὐελπίδειον, ὅμοιον τῷ α'. ἐπὶ τῷ τέλει κορωνὶς, καὶ παράγραφος. 683. Ἔπαφον) Ἔπαφος ἐκλήθη, ὅτι ὁ Ζεὺς ἐπαφησάμενος τῆς Ἰοῦς, πάλιν εἰς γυναῖκα αὐτὴν μετεμόρφωσε. καὶ σὲ ἐπικαλούμεθα, ὦ Ἔπαφε, ὃς Ἰοῦς καὶ Διὸς γένεθλον

ὑπάρ-

Epodus.

t te ex aviâ
› quondam natum
paphum, ô Jovis fili,
ocavi, vocavi
arbarâ voce.
› barbaris precibus
eni, veni *in* hanc terram,
ibi eam posteri conditam coluerunt.
'bi deæ binomines (*i. e. duæ*)
:oserpina, & amica
eres dea, omnium
omina (omni-
n enim Tellus est altrix)
ɔssidêrunt, mitte frugiferas
eas quæ tueantur hanc terram.
'mnia enim facilia sunt diis. ETEO-

ΣΧΟΛΙΑ.

χεις. ἐλθὲ δὴ σωτὴρ εἰς τὰς Θήβας ταῖς ἡμῶν λιταῖς
πας. οἱ γὰρ σοὶ ἔκγονοι, καὶ τὰ ἑξῆς. 688. Σοί νιν ἔκγονοι)
ἔκγονος Κάδμος ὁ Ἐπάφου τὰς Θήβας ἔκτισε, τούτῳ τῷ
ἐν ᾧ αἱ διώνυμοι θεαὶ ᾤκησαν. δέδοται γὰρ τὰς Θήβας τῇ
φόνῃ ὑπὸ τοῦ Διὸς ἀνακαλυπτήρια, ὡς Εὐφορίων· Ἀλλ'
Θήβη πεπορωμένα κεῖτο τάλαντα. Τὴν ῥά ποτε Κρονίδης
πόρε Περσεφονείῃ, Ἐς γαμετὴν ὅτε πρῶτον ὀπωπήσασθαι
, Νυμφιδίου προτέροιο παρακλίνασα καλύπτρην. γράφεται
ν ἐκγόνῳ κτίσαι, ἵν' ᾖ τῷ ἐκγόνῳ σου τῷ Κάδμῳ, αἱ θεαὶ
πισαν τὰς Θήβας. γέγονε δὲ περὶ τὴν ἀρχὴν ἁμάρτημα. ἐπ'
ος γὰρ Ἀθήνησιν Εὐκλείδου, μήπω τῶν μακρῶν εὑρημένων, τοῖς
σιν ἀντὶ μακρῶν ἐχρῶντο, τῷ ι ἀντὶ τοῦ η. καὶ τὸ ο ἀντὶ τοῦ ω
ον. ἔγραφον οὖν τῷ δήμῳ μετὰ τοῦ ι δήμοι. μὴ νοήσαντες δὲ καὶ ὅτι
τὴν ἀρχαίαν γραφὴν καὶ δεῖ μεταπεθεῖναι τὸ ο εἰς τὸ ω μέγα,
ξαν τὸ νοητόν. 689. Αἱ διώνυμοι) τὸ αἱ Δωρικόν ἐστιν, ἀντὶ
ὅ ἐστιν ὅπου. τὸ δὲ ἐκτίσαντο, ἀντὶ τοῦ ᾤκησαν. ὡς τὸ ὀρει-
τυὸς, παρὰ Πινδάρῳ, ἀντὶ τοῦ ὀρεοίκου, ἱερὰν δὲ τῆς Δήμητρος
Θήβην εἶπεν, ἢ διὰ τὸ εὔκαρπον· ἢ ἐπεὶ πάντα τὰ ἐκ γῆς
να, ἱερὰ τῇ θεᾷ. καὶ οἱ καρποὶ οὖν ἐκ τῆς γῆς. Διώνυμοι δὲ
τον ἡ μὲν κόρη καὶ Περσεφόνη, ἡ δὲ Δημήτηρ καὶ γῆ καλεῖται, ἡ
ρβυτέρα, ἡ δὲ νεωτέρα.

641. ΠΑράφρασις. Ὁ Κάδμος ἦλθεν εἰς τήνδε τὴν γῆν ὁ Τύριος, οὗ χάριν ἡ τετράπους μόσχος ἔρριψεν ἑαυτὴν αὐτόματον πτῶμα, μὴ ὑπό τινος πληγῆς γεγονὸς πτῶμα, ἀποδεικνῦσα τέλος φέρονται τὸν χρησμὸν, ὅπου οἰκεῖν σε ἐποίησε πεδία τὰ πυροφόρα τῶν ἀρουρῶν, ὁ χρησμὸς ἔχρησε γενέσθαι δηλονότι. ὅπου τε ἡ καλλιπόταμος νοτὶς τοῦ ὕδατος τῆς Δίρκης ἐπέρχεται τὰς βοτανηφόρους αὔλακας τῆς γῆς, καὶ βαθυσπόρους, ἔνθα τὸν Διόνυσον ἔτικτεν ἡ μήτηρ αὐτοῦ ἡ Σεμέλη διὰ τῶν γάμων τοῦ Διός. ὅν τινα τὸν Διόνυσον εὐθὺς ἔτι βρέφος ὄντα κισσὸς φύσιν ἔχων ἑλίσσεσθαι κύκλῳ, ἐσκέπασε μακάριον δεῖξας, κλάδοις χλοηφόροις, κατασκίοις. κισσὸς δὲ εἰπὼν, ἐπειδὴ Βακχεῖον χόρευμα. ἤγουν λέγω χόρευμα βακχικὸν, τῶν παρθένων τῶν Θηβαίων, καὶ τῶν γυναικῶν τῶν εὐΐων, ἤγουν τῶν βακχικῶν. Ἔνθα δράκων ἦν τοῦ Ἄρεως φοινικὸς ἄγριος, ἀπηνὴς, φύλαξ τῆς πηγῆς δηλονότι. τὰ νάματα τὰ εὔυδρα, καὶ τὰ ὑγρὰ ῥεῖθρα ἐφορῶν ὀφθαλμοῖς, ἐπὶ πολλὰ διάγων τὸ βλέμμα, καὶ σκοπευμένοις. ὃν ὁ Κάδμος ὁ ὀλεσίθηρος ἐπὶ θυσίας ἐλθὼν, ὀλέσας, λίθῳ βαλὼν αὐτὸν βολαῖς χειρῶν κατὰ τὸ κράτος

ΕΤΕΟΚΛΗΣ, ΚΡΕΩΝ, ΧΟΡΟΣ, ΤΕΙΡΕΣΙΑΣ, ΜΕΝΟΙΚΕΥΣ.

Ἰαμβοί.

Ετε. Χώρει σὺ, καὶ κόμιζε τὸν Μενοικέως
Κρέοντ', ἀδελφὸν ματρὸς Ἰοκάστης ἐμῆς,
Λέγων τάδ', ὡς οἰκεῖα καὶ κοινὰ χθονὸς
Θέλω πρὸς αὐτὸν συμβαλεῖν βουλεύματα,
Πρὶν

ΣΧΟΛΙΑ.

697. Χώρει σὺ) αἱ συμμαχικαὶ αὗται περίοδοι, καὶ αἱ ἑξῆς ἀμοιβαῖοι στίχοι, ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι ιδ΄, ὧν τελευταῖος, Προσδεξόμεσθα τήνδε διασῶσαι πόλιν. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει κορωνίς. Χώρει σὺ) διὰ τὸ γενεῖν, ὅτι τοῦ χοροῦ ᾄδοντος, ἔσω ἦν ὁ Ἐτεοκλῆς. νῦν δὲ ἔξεισιν οἰκέτης, ἐπιταχθεὶς καλέσαι τὸν Κρέοντα. Χωρῶ, τὸ δέχομαι, ἀφ' οὗ τοσοῦτον ὕδωρ τόδε τὸ ἀγγεῖον χωρεῖ, ἀφ' οὗ χώρα· καὶ τὸ Ἐκχωρῶ, τὸ ἐνδέχεσθαι. Συγχωρῶ, ἤτοι ἑκὼν ἀπολύω τι. καὶ Παραχωρῶ, ὅταν ἄκων

φόνιον, κατὰ βουλὰς τῆς ἐνδόξου Ἀθηνᾶς, ἢ τῆς ἀπὸ τοῦ Διὸς τῆς νήτορος, ἔσπειρε χαμαιρεφεῖς τοὺς ὀδόντας αὐτοῦ, εἰς αὔλακας δυσπόρους. ὅθεν ἀνέδωκεν ἡ γῆ ὡπλισμένους ἄνδρας ἐπάνω τῆς ἐπιφανείας τῆς γῆς. σιδηρόφρων δὲ φόνος πάλιν ἥνωσεν αὐτὴν, (ἐν πάνοπλον ὄψιν ἀνδρῶν) τῇ φιλεῖ γῇ. ἀπὸ δὲ τοῦ αἵματος αὐτῆς ἔδευσε τὴν γῆν. ἥτις, ἤγουν ἡ γῆ, ἔδειξεν αὐτὴν ταῖς αὔραις τοῦ ἀέρος, ταῖς εὐκόλως ὑπὸ τοῦ ἡλίου φωτιζομέναις. καὶ δὴ τὸ γένεθλον τοῦ Διὸς, τὸν Ἔπαφον λέγω, τὸν υἱὸν τῆς ποτὲ Ἰοῦς τῆς προμήτορος ἡμῶν, ἀντὶ τοῦ τῶν ἀρχόντων ἡμῶν. οἰκειοῦνται γὰρ τὰ δεσποτῶν. ἐπικαλοῦμαι βαρβαρικῇ βοῇ, βαρβαρικαῖς λιταῖς. δὲ Ἰὼ διὰ μέσου. βᾶθι, ἤγουν ἐλθὲ εἰς τήνδε τὴν γῆν. οἱ σοὶ ἔγγονοι ἔκτισαν αὐτὴν ἐκεῖ, ὅπου αἱ διτταὶ θεαὶ, ἡ Περσεφόνη, καὶ φιλὴς Δημήτηρ, ἡ θεὰ ἡ γῆ, ἡ πάντων ἄνασσα, πάντων τροφὸς, ἐκτίσαντο καὶ κατῴκισαν, ἢ τὴν κτῆσιν ἔχον· πέμπε πυρφόρους θεὰς, ταύτας δηλονότι, τὴν Δήμητρα καὶ τὴν Περσεφόνην ἀμῦναι τῇδε τῇ γῇ. πάντα δὲ εὔκολα τοῖς θεοῖς.

TEOCLES, CREON, CHORUS, TIRESIAS, MENOECEUS.

te. VAde tu, & adduc Menœcei filium,
Creontem, fratrem meæ matris Iocastæ,
Dicens hæc, quòd de privatâ & publicâ salute terræ
Velim cum ipso conferre consilia,

ΣΧΟΛΙΑ.

κῶν ἀπολύω. καὶ Προχωρεῖ ἀντὶ τοῦ προβαίνει, καὶ Ἀναχωρεῖ ἀντὶ τοῦ ἐπαναστρέφει, καὶ Ἀποχωρεῖ ἀντὶ τοῦ ἀφίσταται, καὶ Ὑποχωρεῖ ἀντὶ τοῦ ὑπεξίσταται. 699. Οἰκεῖα καὶ κοινὰ) τουτέστιν μοῦ ἴδια καὶ κοινὰ τῆς χθονὸς, ἤγουν καὶ ὁμοῦ περὶ πάσης τῆς γῆς. Διττῶς δὲ δύναται ταῦτα νοεῖσθαι· λέγοιτο γὰρ ἂν βουλεύομαι ἴδια ἐμοῦ, ἢ διότι ἐγὼ αὐτὰ ἰδίως συμβουλεύσομαι, ἢ ἴδια περὶ ἐμοῦ ἐγὼ αὐτὰ συμβουλεύσομαι, ἢ ἕτερος. Καὶ κοινὰ τῆς χθονὸς, ἢ διότι κοινῶς αὐτὰ ἡ γῆ συμβουλεύσει, ἢ διότι ἕτερος αὐτὰ περὶ αὐτῆς ὁμοῦ πάσης συμβουλεύσει, ἢ αὐτὴ περὶ ἑαυτῆς. 700. Συμβαλεῖν) βουλεύσασθαι, καὶ ἀνακοινώσασθαι βουλάς.

ΕΠΩΙΔΙΚΑ.

Στροφή.

Χο. Κάδμος ἔμολε τάνδε γᾶν
Τύριος, ᾧ τετρασκελὴς
Μόσχος ἀδάμαστον πέσημα δίκε,

Τε-

ΣΧΟΛΙΑ.

641. Κάδμος ἔμολε) τὰ τοιαῦτα εἴδη τοῦ χοροῦ, καλεῖται ἐπῳδικά, ὡς εἴρηται. εἰσὶ δὲ τὰ παρόντα τελείως ἐπῳδικά. τὰ κῶλα δὲ τῆς μονοστροφῆς, τοσαῦτα. τὸ α΄ ἰωνικὸν ἀπὸ μείζονος, δίμετρον ἀκατάληκτον, ἐκ παίωνος α΄, ἀντὶ ἰωνικοῦ καὶ διϊάμβου. εἰ δὲ βούλει, τροχαϊκὸν ἑφθημιμερές, τοῦ β΄ ποδὸς χορείου. ἐχρήσατο τῷ τοιούτῳ μέτρῳ ἐνταῦθα διὰ τὴν τοῦ Κάδμου κίνησιν. τὸ β΄ ὅμοιον ἰωνικὸν ἀπ' ἐλάττονος, ἐκ παίωνος δ΄, ἀντὶ ἰωνικοῦ καὶ διϊάμβου. εἰ δὲ βούλει, τροχαϊκὸν ἑφθημιμερές, τοῦ α΄ ποδὸς χορείου. τὸ γ΄ ὅμοιον τῷ α΄, δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος α΄, ἀντὶ ἰωνικοῦ ἐπιτρίτου τρίτου, καὶ συλλαβῆς. εἰ δὲ βούλει, τροχαϊκὸν ἑφθημιμερὲς δίμετρον ἀκατάληκτον, τοῦ β΄ ποδὸς ἀναπαίστου. τὸ δ΄ ὅμοιον τῷ β΄, δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος δ΄ ἀντὶ ἰωνικοῦ διϊάμβου καὶ συλλαβῆς. τὸ ε΄ τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον. τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον, χορεῖον ἔχει τὸν πρῶτον πόδα. τὸ ϛ΄ ὅμοιον τῷ β΄. τὸ ζ΄ ἰωνικὸν ἀπὸ μείζονος, ὅμοιον τῷ α΄, ἐξ ἰωνικοῦ πεντασυλλάβου, καὶ διτροχαίου. τὸ μέντοι κῶλον τῆς ἀντιστροφῆς, τὸν μὲν πρῶτον ἔχει πόδα διτρόχαιον, τὸν β΄ ἐπίτριτον. τὸ η΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον, ἐκ τροχαίου καὶ χορείων. τὸ θ΄ τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον. τὸ ι΄ ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ ια΄ τροχαϊκὸν καθαρὸν πενθημιμερές. τὸ ιβ΄ τροχαϊκὸν δίμετρον ἀκατάληκτον, τοῦ α΄ ποδὸς χορείου. τὸ μέντοι τῆς ἀντιστροφῆς κῶλον, καθαρόν ἐστι. τὸ ιγ΄ καὶ ιδ΄ τροχαϊκὸν Εὐριπίδειον. τὸ ιε΄ ἰαμβικὸν δίμετρον ἀκατάληκτον, τοῦ γ΄ ποδὸς χορείου. τὸ ιϛ΄ ὅμοιον καθαρὸν ἰαμβικόν. τὸ ιζ΄ ἴαμβος καθαρὸς τρίμετρος. τὸ ιη΄ τροχαϊκὸν δίμετρον βραχυκατάληκτον, ὃ καλεῖται ἰθυφαλλικόν. τὸ ιθ΄ ἰωνικὸν ἀπὸ μείζονος δίμετρον ἀκατάληκτον, ἐκ διτροχαίου καὶ ἐπιτρίτου δ΄. τὸ μέντοι τῆς ἀντιστροφῆς, παράστροφος. Κάδμος ἔμολε) Κάδμος ζητῶν τὴν ἀδελφὴν Εὐρώπην, μαντεῖον ἔλαβε περὶ αὐτῆς, οὐδὲν αὐτῷ σημαῖνον, ἀλλ' ὥστε αὐτὸν ἐξελθόντα ἕπεσθαι βοΐ, καὶ οὗ δ' ἂν αὐτόματος πέσῃ, κτίζειν πόλιν. ἔχει δὲ ὁ χρησμὸς τοῦ Πυθίου οὕτως.

Χρησ-

EPODICA.

Strophe.

Cadmus venit in hanc terram
Ex Tyro, cui quadrupes
Vitula nondum experta jugum corpus pro-
stravit,

Com-

ΣΧΟΛΙΑ.

Χρησμὸς δοθεὶς τῷ Κάδμῳ.

Φράζεο δή μοι μῦθον Ἀγήνορος ἔκγονε Κάδμε·
Ἠοῦς ἐγρόμενος, προλιπὼν ἱερὴν Πυθὼ δίαν,
Ἐνθάδ' ἔχων ἐσθῆτα καὶ αἰγανέην μετὰ χερσί,
Τὴν διά τε Φλεγύων καὶ Φωκίδος ἕς τ' ἂν ἵκηαι
Βουκόλον ἠδὲ βόας κηρεσσιφόρου Πελάγοντος·
Ἐνθάδε προσπελάσας ξυλλάμβανε βοῦν ἐρίμυκον,
Ἥ κεν δὴ νώτοισιν ἐπ' ἀμφοτέροισιν ἔχησι
Λευκὸν σῆμ' ἑκάτερθε περίδρομον, ἠΰτε Μήνης·
Τὴν δὲ σύ γ' ἡγεμόνα σχὲς πεπλεκτίοιο κελεύθου.
Σῆμα δέ τοί γ' ἐρέω μάλ' ἀριφραδές· οὐδέ σε λήσει·
Ἔνθα κέ τοι πρώτιστα βοὸς κέρας ἀγραύλοιο
Ἵζηται κλίνῃ τε πέδῳ γόνυ ποιήεντι
Καὶ τότε τὴν μὲν ἔπειτα μελαμφύλλῳ χθονὶ ῥέζειν
Ἁγνῶς καὶ καθαρῶς· Γαίῃ δ' ὅταν ἱερὰ ῥέξῃς,
Ὄχθῳ ἐπ' ἀκροτάτῳ κτίζειν πόλιν εὐρυάγυιαν,
Δεινὸν Ἐνυαλίου πέμψας φύλακ' Ἄϊδος εἴσω.
Καὶ σύ γ' ἐπ' ἀνθρώπων ὀνομάκλυτος ἔσσεαι αὐτὸς
Ἀθανάτων λεχέων ἀντήσας, Ὄλβιε Κάδμε.

[Ταῦ]τα ἀκούσας Κάδμος, ἀφίκετο εἰς τὸ βουκόλιον τοῦ Πελάγοντος [ἀ]μφιδάμαντος καὶ ἀγοράσας βοῦν, καὶ ἡγεμόνα ταύτην τῆς ὁδοῦ [ποιησ]άμενος, κτίζει τὰς Θήβας ὁμωνύμους τῶν Αἰγυπτίων Θηβῶν, ἐπεὶ [ἀ]νέκαθεν Αἰγύπτιος ἦν ὁ Κάδμος. καὶ ἡ Βοιωτία δὲ ἀπὸ τοῦ βοὸς [ἐκλή]θη. 643. Ἀδάμαστον) τὸ μὴ ὑπό τινος ἠναγκασμένον πτῶμα, [ἀλλ]ὰ αὐτορριφές. πέσημα δὲ τὸ σῶμα ἀπὸ τοῦ παρεπομένου. ἢ ἀντὶ τοῦ [ἀδά]μαστον ἔβαλλε τὸ σῶμα ἐπὶ τὴν γῆν. δίκειν γάρ, τὸ βάλλειν. ὅθεν [δίσκ]ος. τινὲς δὲ τὸ ἀδάμαστον πέσημα, τὸ μηδέπω δαμασθὲν [...]λη σῶμα, ἐμφαίνει δὲ τὸν νέον μόσχον. 643. Δίκε) κατέβαλε. [...] Βάκχαις· Δίκετε τρομερὰ σώματα· ὅπου κατῳκίσθη πόλις. [64]5. Ἐνταῦθα ἔπεσεν, ὅπου κατῴκισε Κάδμος τὴν πόλιν.

645. Οὗ

Τελεσφόρον διδοῦσα
Χρησμὸν, οὗ κατῴκισεν.
Πεδία μὲν τὸ θέσφατον
Πυροφόρα δόμων ἔχρησε,
Καλλιπόταμος ὕδατος ἵνα τε
Νοτὶς ἐπέρχεται γαίας
Δίρκας χλοηφόρους,
Καὶ βαθυσπόρους γύας.
Βρόμιον ἔνθα τέκετο
Μάτηρ, Διὸς γάμοισι,
Κισσὸς ὃν περιστεφὴς
Ἑλικτὸς, εὐθὺς ἔτι βρέφος
Χλοηφόροισιν ἔρνεσι
Κατασκίοισιν ὀλβίσας ἐνώτισεν,
Βακχεῖον χόρευμα
Παρθένοισι Θηβαίαισι,
Καὶ γυναιξὶν Εὐΐοις.

Ἀντιστροφή.

Ἔνθα φόνιος ἦν δράκων

Ἄρεος

ΣΧΟΛΙΑ.

645. Οὗ κατῴκισε) ἐν ἐνίοις τῶν ὑπομνημάτων, ἀντὶ τοῦ οὗ κατῴκισε, κατοικίσαι. ὁ δὲ λόγος πλεονάζοντος τοῦ μὲν, ἀντὶ τοῦ οὗ καθοικίσαι μὲν, καὶ οἱονεὶ κτίσαι τὰ πεδία τῶν δόμων, ὁ θεὸς ἐμαντεύσατο. ἔνθα ἡ τῆς Δίρκης πηγὴ καταρδεύει τὰς γύας. 646. Πεδία μὲν) τοῦτο ἀπ' ἄλλης ἀρχῆς. κεῖται γὰρ νῦν ὁ μὲν, ἀντὶ τοῦ δέ. ἵν' ᾖ, πεδία δὲ πυροφόρα ὁ θεὸς ἔχρησεν ἔσεσθαι. Ἄλλως. Ὁ νοῦς, τὸ θέσφατον δὲ ἔχρησεν ἐκεῖ αὐτοὺς γενέσθαι, ὅπου ἡ καλλιπόταμος νοτὶς ἐπινέμεται τὰς γύας τῆς Δίρκης. Δίρκη δὲ ποταμὸς Θήβας, ὁμώνυμος τῇ πηγῇ. 651. Βαθυσπόρους γύας) ὡς Ὅμηρος ἐριβώλακας λέγει. ἔπαινος δέ ἐστι τῆς γῆς, τὸ μὴ ξηρὰν αὐτὴν εἶναι, ἀλλὰ λιπαρὰν, καὶ εἰς βάθος παρέχουσαν ῥιζοῦσθαι τὰ σπέρματα. 652. Ἔνθα τέκετο) ἔνθα φησὶν, ἐν Θήβῃ τὸν Διόνυσον τῷ Διῒ ἡ Σεμέλη ἔτεκε· κισσὸς δὲ πανταχόθεν αὐτὸν περισκέψαι. τοῦ γὰρ οἴκου κεραυνωθέντος,

ἐξήμα-

npletum reddens
ıculum, ubi habitaret.
npos enim oraculum
entes-tricitum, loca ædium forte respondit,
i pulchrifluus aquæ
mor percurrens rigat terras
:ces viridi gramine florentes,
profundos habentia sulcos arva,
:chum ubi peperit
ter conceptum ex Jove,
em hederâ circumdatâ
involutâ, statim adhuc puerum
entibus frondibus
umbrantibus beans texit,
:chicâ-Festivitate-*celebrandam rem*
ginibus Thebanis,
mulieribus Eviis.

Antistrophe.

sanguinolentus erat draco

ΣΧΟΛΙΑ.

υσεν αὐτὸν ἡ μήτηρ φοβηθεῖσα· κισσὸς δὲ περιέλιξεν.
ὅντινα Διόνυσον κισσὸς ἔξωθεν περιπλακεὶς ἔτι βρέφος ὄντα;
νώτῳ ἐκάλυψεν. ἱστορεῖ γὰρ Μνασέας, ὅτι τῶν Καδμείων βασι-
ερειωθέντων, κισσὸς περὶ τοὺς κίονας φυεὶς, ἐκάλυψεν αὐτὸν,
ἡ αὐθημερὸν, καὶ ἐν μηδενὶ τὸ βρέφος διαφθαρῇ καλυ-
ιὸ καὶ περικιόνιος ὁ θεὸς ἐκλήθη παρὰ Θηβαίοις. 657. Κα-
σιν) Καζάσκιος τόπος, ὁ ὑπό τινος σκιαζόμενος· ἐνζαῦ-
αζάσκιοι κλάδοι, οἱ σκιὰν ἐμποιοῦντες τῇ πυκνότητι τῶν φύλλων.
ς ἐνώτισε) τὸ νῶτον περιέλιξε, μεγάλη γὰρ αὐτῷ δόξα, τὸ
ιόδξυ σωτηρίας τέλος. ὀλβίσας δὲ αὐτὸν τὸν Διόνυσον ὁ κισσὸς,
ι τὸ τοῦ βακχεύειν καὶ χορεύειν τὰς Θήβας αἴτιον. 660. Γυναι-
ς) ταῖς Διονύσῳ χορευούσαις. καὶ τὸ εὐοῖ, εὐᾶν, ἐπιφθέγ-
661. Ἔνθα φοίνιος) παρὰ τῇ Δίρκῃ δεινὸς ἦν δρά-
μὸς τὴν φύσιν, φύλαξ ὑπὸ τοῦ Ἄρεος καταςαθεὶς τῆς Δίρκης
ὸ μηδένα ἀπ' αὐτῆς ὑδρεῦσαι.

Ἄρεος, ὠμόφρων φύλαξ,
Νάματ' ἔνυδρα, καὶ ῥέεθρα
Χλοερὰ δεργμάτων κόραισι
Πολυπλάνοις ἐπισκοπῶν.
Ὃν ἐπὶ χέρνιβας μολὼν
Κάδμος, ὤλεσε μαρμάρῳ,
Κρᾶτα φόνιον, ὀλεσίθηρος
Ὠλέναιν δικὼν βολαῖς,
Δίας ἀμάτορος
Παλλάδος φραδαῖσι,
Γαπετεῖς δικὼν ὀδόντας
Εἰς βαθυσπόρους γύας.
Ἔνθεν ἐξανῆκε γᾶ
Πάνοπλον ὄψιν ὑπὲρ ἄκρων
Ὅρων χθονός. σιδαρόφρων
Δέ νιν φόνος πάλιν ξυνῆψε φίλᾳ γᾷ.
Αἵματος δ' ἔδευσε
Γαῖαν, ἅ νιν εὐηλίοισι
Δεῖξεν αἰθέρος πνοαῖς.

Ἐπῳδός.

ΣΧΟΛΙΑ.

662. Ἄρεος ὠμόφρων φύλαξ) ὡς τὸ βασιλέως ἄρχων, ἀντὶ τοῦ βασιλέως καταστεθεὶς ἄρχων. 664. Δεργμάτων) ταῖς κόραις τῶν ὀφθαλμῶν. 665. Πολυπλάνοις) ταῖς πανταχοῦ ἀθυρμύαις. 666. Ἐπὶ χέρνιβας) ἐπὶ τὸ νίψασθαι τὰς χεῖρας. ἐβούλετο γὰρ τὴν βοῦν θῦσαι τοῖς θεοῖς. ὅτι σύμβολον αὐτὸ αὐτόθι γέγονε τοῦ κτίσαι τὴν πόλιν· ὁ μὲν οὖν Ἑλλάνικος λίθῳ φησὶν ἀναιρεθῆναι τὸν δράκοντα. ὁ δὲ Φερεκράτης, ξίφει. Ἄλλως. Ἐπὶ χέρνιβας, ἕνεκα τοῦ πρὸς τὴν θυσίαν ὕδατος λαβεῖν μολών. ἔθυε γὰρ τῇ γῇ τὴν βοῦν. Χέρνιβας) χερνιπτρα. ἀπὸ τοῦ χέρνιψ. 668. Ὀλεσίθηρος) τοῦ ἀπολέσθαι ἄξιος θήρ. ἢ ὀλεσίθηρος, αὐτὸς ὁ Κάδμος. 672. Δικὼν ὀδόντας) ἀντὶ τοῦ ἕλκων, ἐγκατέσπειρεν. μετοχὴ ἀντὶ ῥήματος. 674. Ἔνθεν ἐξανῆκε γᾶ) ἐκ τῶν ὀδόντων ἐξεκύησεν ἡ γῆ ὁπλοφόρους ἄνδρας. εἰσὶ δὲ ἔτι ἐξ αὐτῶν ὑπολειφθέντες,

Πέλωρ

Martis, crudelis custos,
Flumina & fluenta
Viridantia oculorum pupulis
Passim errantibus custodiens.
Quem ad lavacra profectus
Cadmus, interfecit marmore,
Caput sanguineum, interfector ferarum,
Brachiorum saucians jactibus,
Divæ matre carentis
Palladis consiliis,
In terram lapsos jaculatus dentes
In profundos habentia sulcos arva:
Unde mox emisit terra
Armatum spectaculum supra summos
Fines terræ, *i. e. supra terræ superficiem.* ferrea
Verò cædes ipsum rursus conjunxit caræ terræ.
Sanguine verò rigavit
Terram, quæ ipsum apricis
Ostendit cœli flatibus.

Epodus.

ΣΧΟΛΙΑ.

Πέλωρ, Ἐχίων, Χθόνιος, Ὑπερήνωρ. καθὰ δὲ Τιμαγόρας, καὶ Κρέων. Ἄλλως. Ὁ μὲν Στησίχορος ἐν Εὐρωπίᾳ τὴν Ἀθηνᾶν ἐσπαρκέναι τοὺς ὀδόντας φησίν. ὁ δὲ Ἀνδροτίων, σπαρτοὺς αὐτοὺς φησὶ, διὰ τὸ συνακολουθήσαντας αὐτῷ ἐκ Φοινίκης Κάδμῳ, σποράδην οἰκῆσαι. Ἀμφίλοχος δὲ, διὰ τὸ ἐπεσπάσθαι τοῖς οἰκοῦσιν ἐν Θήβαις. Διονύσιος δὲ ἔθνος Βοιωτίας αὐτοὺς φησίν. ἔνιοι δὲ παῖδας Κάδμου αὐτούς φασιν. ἐκ διαφόρων γυναικῶν ιγ΄ τὸν ἀριθμόν. 675. Ὑπὲρ ἄκρων ὅρων γῆς) εἰς τὴν ἐπιφάνειαν τῆς γῆς. 676. Σιδηρόφρων δέ νιν) τὸ νιν πρὸς τὸ ὄψιν. Σιδηρόφρων) οὗτοι φησὶν οἱ ἀναφανέντες ἐκ γῆς ὁμοῦ τῇ πανοπλίᾳ, εὐθὺς ἅμα τῷ φανῆναι, ἀλλήλους ἐφόνευσαν. τὸ οὖν νιν πρὸς τὴν ὄψιν ἀπέδωκε. τουτέστιν αὐτὴν δὲ τὴν πανοπλίαν, ὄψιν, τὴν ἀναδοθεῖσαν ἐκ γῆς, ὁ κατ' ἀλλήλων φόνος, πάλιν εἰς γῆν κατήνεγκε. τὴν δὲ ὄψιν ὅταν λέγῃ, τοὺς ἄνδρας σημαίνει. 677. Ξυνῆψεν) ἥνωσε τῇ προσφιλεῖ γῇ.

681. Καὶ

666. Ὃν ὁ Κάδμος ὤλεσε σπείρων τοὺς ὀδόντας αὐτοῦ εἰς τὰς αὔλακας τῆς γῆς.

Ἐπῳδός.

Καὶ σὲ τὸν προμάτορος
Ἰοῦς ποτ' ἔκγονον
Ἔπαφον, ὦ Διὸς γένεθλον,
Ἐκάλεσ', ἐκάλεσα
Βαρβάρῳ βοᾷ.
Ἰὼ βαρβάροις λιταῖς
Βᾶθι, βᾶθι τάνδε γᾶν,
Σοί νιν ἔκγονοι κτίσαν.
Αἳ διώνυμοι θεαὶ
Περσέφασσα, καὶ φίλα
Δαμάτηρ θεὰ, ἁπάντων
Ἄνασσ', ἁπάν-
των δὲ γᾶ τροφὸς,
Ἐκτήσατο· πέμπε πυρφόρους
Θεὰς ἀμῦναι τᾷδε γᾷ.
« Πάντα δ' εὐπετῆ θεοῖς.

ΕΤΕΟ-

ΣΧΟΛΙΑ.

681. Καὶ σὲ τὸν προμάτορος Ἰοῦς ποτ' ἔκγονον Ἔπαφον) τῆς ἐπῳδῆς ταύτης τὰ κῶλα ις'. τὸ α' τροχαϊκὸν ἑφθημιμερὲς Εὐριπίδειον. τὸ β' ἰαμβικὸν δίμετρον βραχυκατάληκτον. τὸ γ' τροχαϊκὸν δίμετρον ἀκατάληκτον, τοῦ α' ποδὸς χορείου. εἰ δὲ βούλει, ἰωνικὸν ἀπ' ἐλάττονος δίμετρον ὑπερκατάληκτον, ἐκ παίωνος δ' ἀντὶ ἰωνικοῦ διϊάμβου καὶ συλλαβῆς. τὸ δ' τροχαϊκὸν πενθημιμερὲς, ἐκ χορείων β' καὶ συλλαβῆς. τὸ ε' ὅμοιον τροχαϊκὸν πενθημιμερὲς καθαρόν. τὸ ς' ἀντισπαστικὸν δίμετρον, καταληκτικὸν Φερεκράτειον, ἐξ ἀντισπάστου, καὶ κρητικοῦ. εἰ δὲ βούλει, τροχαϊκὸν ἑφθημιμερὲς ἰάμβου ἀρχομένου. τὸ ζ', τὸ θ', τὸ ι', ὅμοια τῷ α', τροχαϊκὰ Εὐριπίδεια. τὸ ια' ὅμοιον τῷ ε'. τὸ ιβ' ἰαμβικὸν πενθημιμερές. τὸ ιγ'. ἰαμβικὸν, ὅμοιον τῷ ιβ'. τὸ ιδ' τροχαϊκὸν δίμετρον ὑπερκατάληκτον. τὸ ιε' ἰαμβικὸν δίμετρον ἀκατάληκτον, καθαρόν. τὸ ις' τροχαϊκὸν Εὐριπίδειον, ὅμοιον τῷ α'. ἐπὶ τῷ τέλει κορωνὶς, καὶ παράγραφος. 683. Ἔπαφον) Ἔπαφος ἐκλήθη, ὅτι ὁ Ζεὺς ἐπαφησάμενος τῆς Ἰοῦς, πάλιν εἰς γυναῖκα αὐτὴν μετεμόρφωσε. καὶ σὲ ἐπικαλούμεθα, ὦ Ἔπαφε, ὃς Ἰοῦς καὶ Διὸς γένεθλον ὑπάρ-

Epodus.

: te ex aviâ
quondam natum
ɔaphum, ô Jovis fili,
ocavi, vocavi
ırbarâ voce.
barbaris precibus
eni, veni *in* hanc terram,
ibi eam posteri conditam coluerunt.
bi deæ binomines (*i. e. duæ*)
oserpina, & amica
eres dea, omnium
omina (omni-
n enim Tellus est altrix)
ossidêrunt, mitte frugiferas
eas quæ tueantur hanc terram.
mnia enim facilia sunt diis. ETEO-

ΣΧΟΛΙΑ.

χεις. ἐλθὲ δὴ σωτήριος εἰς τὰς Θήβας ταῖς ἡμῶν λιταῖς τας. οἱ γὰρ σοὶ ἔκγονοι, καὶ τὰ ἑξῆς. 688. Σοί νιν ἔκγονοι) ἔκγονος Κάδμος ὁ Ἐπάφου τὰς Θήβας ἔκτισε, τούτῳ τῷ ἐν ᾗ αἱ διώνυμοι θεαὶ ᾤκησαν. δεδόασι γὰρ τὰς Θήβας τῇ φόνη ὑπὸ τοῦ Διὸς ἀνακαλυπτήρια, ὡς Εὐφορίων· Ἀλ θήβη πεπαρωμένα κεῖτο τάλαντα. Τὴν ῥά ποτε Κρονίδης πόρε Περσεφονείῃ, Ἐς γαμετὴν ὅτε πρῶτον ὀπιπτεύσασθαι, Νυμφιδίου πρείρωι παρακλίνασα καλύπτρην. γράφεται ν ἐκγόνω κτίσαν, ἵν᾽ ᾖ τῷ ἐκγόνῳ ὄντι τῷ Κάδμῳ, αἱ θεαὶ πισαν τὰς Θήβας. γέγονε δὲ περὶ τὴν ἀρχὴν ἁμάρτημα. ἐπ᾽ ος γὰρ Ἀθήνησιν Εὐκλείδου, μήπω τῶν μακρῶν εὑρημένων, τοῖς σιν ἀντὶ μακρῶν ἐχρῶντο, τῷ ι ἀντὶ τοῦ η. καὶ τὸ ο ἀντὶ τοῦ ω ον. ἔγραφον οὖν τῷ δήμῳ μετὰ τοῦ ι δήμοι. μὴ νοήσαντες δὲ καὶ ὅτι τὴν ἀρχαίαν γραφὴν καὶ δεῖ μεταποιῆσαι τὸ ο εἰς τὸ ω μέγα, ξαν τὸ νοητόν. 689. Αἱ διώνυμοι) τὸ αἱ Δωρικόν ἐστιν, ἀντὶ ὅ ἐστιν ὅπου. τὸ δὲ ἐνασίσαντο, ἀντὶ τοῦ ᾤκησαν. ὡς τὸ ὀρεικτυὸς, παρὰ Πινδάρῳ, ἀντὶ τοῦ ὀρεοίκου, ἱερὰν δὲ τῆς Δήμητρος ήβην εἶπεν, ἢ διὰ τὸ εὔκαρπον· ἢ ἐπεὶ πάντα τὰ ἐκ γῆς να, ἱερὰ τῇ θεᾷ. καὶ οἱ σπαρτοὶ οὖν ἐκ τῆς γῆς. Διώνυμοι δὲ τοι ἡ μὲν κόρη καὶ Περσεφόνη, ἡ δὲ Δημήτηρ καὶ γῆ καλεῖται, ἡ ρβυτέρα, ἡ δὲ νεωτέρα.

641. Παράφρασις. Ὁ Κάδμος ἦλθεν εἰς τήνδε τὴν γῆν ὁ Τύριος, οὗ χάριν ἡ τετράπους μόσχος ἔρριψεν ἑαυτὴν αὐτόματον πτῶμα, μὴ ὑπό τινος πληγῆς γεγονὸς πτῶμα, δεῖξαι τέλος φέρουσα τὸν χρησμὸν, ὅπου οἰκεῖν αὐτὸν ἐποίησε πεδία τὰ εὔφορα τῆς ἀρούρας, ὁ χρησμὸς ἔχρησε γενέσθαι δηλονότι. ὅπου τε ἡ καλλιπόταμος πηγὴ τοῦ ὕδατος τῆς Δίρκης ἐπέρχεται τὰς βοτανηφόρους αὔλακας τῆς γῆς, καὶ βαθυσπόρους, ἔνθα τὸν Διόνυσον ἔτικεν ἡ μήτηρ αὐτοῦ ἡ Σεμέλη διὰ τοῦ γάμου τοῦ Διός. ὅν τινα τὸν Διόνυσον εὐθὺς ἔτι βρέφος ὄντα κισσὸς φύσιν ἔχων ἑλίσσεσθαι κύκλῳ, ἐσκέπασε μακάριον δείξας, κλάδοις χλοηφόροις, κατασκίοις. κισσὸς δὲ εἰπὼν, ἐπήγαγε Βακχεῖον χόρευμα. ἤγουν λέγω χόρευμα βακχικὸν, τῶν παρθένων τῶν Θηβαίων, καὶ τῶν γυναικῶν τῶν εὐΐων, ἤγουν τῶν βακχικῶν. Ἔνθα δράκων ἦν τοῦ Ἄρεως φονικὸς, ἄγριος, ὠμὸς, φύλαξ τῆς πηγῆς δηλονότι. τὰ νάματα τὰ εὔυδρα καὶ τὰ ὑγρὰ ῥεῖθρα ἐφορῶν ὀφθαλμοῖς, ἐπὶ πολλὰ διάγουσι τὰ βλέμματα καὶ σκοπευμένοις. ὃν ὁ Κάδμος ὁ ὀλεσίθηρος ἐπὶ θυσίαν ἐλθὼν, ὀλέσας, λίθῳ βαλὼν αὐτὸν βαλαῖς χειρῶν κατὰ τὸ κράτος

ΕΤΕΟΚΛΗΣ, ΚΡΕΩΝ, ΧΟΡΟΣ, ΤΕΙΡΕΣΙΑΣ, ΜΕΝΟΙΚΕΥΣ.

Ἰαμβοί.

Ετ. Χώρει σὺ, καὶ κόμιζε τὸν Μενοικέως
Κρέοντ', ἀδελφὸν μητρὸς Ἰοκάστης ἐμῆς,
Λέγων τάδ', ὡς οἰκεῖα καὶ κοινὰ χθονὸς
Θέλω πρὸς αὐτὸν συμβαλεῖν βουλεύματα,

Πρὶν

ΣΧΟΛΙΑ.

697. Χώρει σὺ) αἱ συστηματικαὶ αὗται περίοδοι, καὶ οἱ ἑξῆς ἀμοιβαῖοι στίχοι, ἰαμβικοί εἰσι τρίμετροι ἀκατάληκτοι λη΄, ὧν τελευταῖος, Προσδεξόμεσθα τήνδε διασῶσαι πόλιν. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος. ἐπὶ δὲ τῷ τέλει κορωνίς. Χώρει σὺ) δεῖ νοεῖν, ὅτι τοῦ χοροῦ ᾄδοντος, ἔσω ἦν ὁ Ἐτεοκλῆς. νῦν δὲ ἔξεισιν οἰκέτης, ἐπιταχθεὶς καλέσαι τὸν Κρέοντα. Χωρῶ, τὸ δέχομαι, οἷον τοσοῦτον ὕδωρ τόδε τὸ ἀγγεῖον χωρεῖ, ἀφ' οὗ χώρα· καὶ τὸ Ἐκχωρῶ, τὸ ἐνδίδωμι. Συγχωρῶ, ἤτοι ἑκὼν ἀπολύω τι. καὶ Παραχωρῶ, ὅταν

ἄκων

φόνιον, κατὰ βουλὰς τῆς ἐνδόξου Ἀθηνᾶς, ἢ τῆς ἀπὸ τοῦ Διὸς τῆς ...ήτορος, ἔσπειρε χαμαιριφεῖς τοὺς ὀδόντας αὐτοῦ, εἰς αὔλακας ...ηυπτέρους. ὅθεν ἀνέδωκεν ἡ γῆ ὡπλισμένους ἄνδρας ἐπάνω τῆς ...φανείας τῆς γῆς. σιδηρόφρων δὲ φόνος πάλιν ἥνωσεν αὐτὴν, ...ων πάνοπλον ὄψιν ἀνδρῶν) τῇ προσφιλεῖ γῇ. ἀπὸ δὲ τοῦ αἵματος αὐτῆς ἔδευσε τὴν γῆν. ἥτις, ἤγουν ἡ γῆ, ἔδειξεν αὐτὴν ταῖς ...αῖς τοῦ ἀέρος, ταῖς εὐκόλως ὑπὸ τοῦ ἡλίου φωτιζομέναις. καὶ δὴ ... γένεθλον τοῦ Διὸς, τὸν Ἔπαφον λέγω, τὸν υἱὸν τῆς ποτὲ Ἰοῦς τῆς ...μήτορος ἡμῶν, ἀντὶ τοῦ τῶν ἀρχόντων ἡμῶν. οἰκειοῦται γὰρ τοὺς ...δεσποτῶν. ἐπικαλοῦμαι βαρβαρικῇ βοῇ, βαρβαρικαῖς λιταῖς. ...δὲ Ἰὼ διὰ μοίρου. βᾶθι, ἤγουν ἐλθὲ εἰς τήνδε τὴν γῆν. οἱ σοὶ ἔγγονοι ἔκτισαν αὐτὴν ἐκεῖ, ὅπου αἱ διτταὶ θεαὶ, ἡ Περσεφόνη, καὶ ...προσφιλὴς Δημήτηρ, ἡ θεὰ ἡ γῆ, ἡ πάντων ἄνασσα, πάντων τροφὸς, ἐκτήσαντο καὶ κατῴκισαν, ἢ τὴν κτῆσιν ἔχοι· πέμπε ...πυρφόρους θεὰς, ταύτας δηλονότι, τὴν Δήμητρα καὶ τὴν Περσεφόνην ...ηθῆσαι τῇδε τῇ γῇ. πάντα δὲ εὔκολα τοῖς θεοῖς.

TEOCLES, CREON, CHORUS, TIRESIAS, MENOECEUS.

te. VAde tu, & adduc Menœcei filium,
Creontem, fratrem meæ matris Iocaſtæ,
Dicens hæc, quòd de privatâ & publicâ ſalute terræ
Velim cum ipſo conferre conſilia,

ΣΧΟΛΙΑ.

...ειν ἀπολύω. καὶ Προχωρεῖ ἀντὶ τοῦ προβαίνει, καὶ Ἀναχωρεῖ ...τοῦ ἐπαναστρέφει, καὶ Ἀποχωρεῖ ἀντὶ τοῦ ἀφίσταται, καὶ Ὑποχωρεῖ ἀντὶ τοῦ ὑπεξίσταται. 699. Οἰκεῖα καὶ κοινὰ) τουτέστιν ...οῦ ἰδίᾳ καὶ κοινὰ τῆς χθονὸς, ἤγουν καὶ ὁμοῦ περὶ πάσης τῆς ...ῆς. Διττῶς δὲ δύναται ταῦτα νοεῖσθαι· λέγοιτο γὰρ ἂν ...κλεόμενα ἰδίᾳ ἐμοῦ, ἢ διότι ἐγὼ αὐτὰ ἰδίως ζωοβούλευσα, ἢ ...περὶ ἐμοῦ ἐγὼ αὐτὰ ζωοβούλευσα, ἢ ἕτερος. Καὶ κοινὰ τῆς χθονὸς, ἢ διότι κοινῶς αὐτὰ ἡ γῆ συνεβούλευσεν, ἢ διότι ἕτερος αὐτὰ περὶ αὐτῆς ὁμοῦ πάσης ζωοβούλευσεν, ἢ αὐτὴ περὶ ἑαυτῆς. 700. Συμβαλεῖν) βουλεύσασθαι, καὶ ἀνακοινώσασθαι βουλάς.

Πρὶν εἰς μάχην τε καὶ δορὸς τάξιν μολεῖν.
Καί τοι ποδῶν σῶν μόχθον ἐκλύει παρών·
Ὁρῶ γὰρ αὐτὸν πρὸς δόμους στείχοντ' ἐμούς.
Κρέ. Ἦ πόλλ' ἐπῆλθον εἰσιδεῖν χρήζων σ', ἄναξ
Ἐτέοκλες· πέριξ δὲ Καδμείων πύλας
Φύλακάς τ' ἐπῆλθον, σὸν δέμας θηρώμενος.
Ετε. Καὶ μὴν ἐγώ σ' ἔχρῃζον εἰσιδεῖν, Κρέον.
Πολλῷ γὰρ εὗρον ἐνδεεῖς διαλλαγάς,
Ὡς εἰς λόγους συνῆψα Πολυνείκει μολών.
Κρέ. Ἤκουσα μεῖζον αὐτὸν ἢ Θήβας φρονεῖν,
Κήδει τ' Ἀδράστου, καὶ στρατῷ πεποιθέναι.
« Ἀλλ' εἰς θεοὺς χρὴ ταῦτ' ἀναρτήσαντ' ἔχειν.
Ἃ δ' ἐμποδὼν μάλιστα, ταῦθ' ἥκω φράσων.
Ετε. Τὰ ποῖα ταῦτα; τὸν λόγον γὰρ ἀγνοῶ.
Κρέ. Ἥκει τις αἰχμάλωτος Ἀργείων πάρα.
Ετε. Λέγει δὲ δή τι τῶν ἐκεῖ νεώτερον;
Κρέ. Μέλλειν πέριξ πύργοισι Καδμείων πόλιν
Ὅπλοις ἑλίξειν αὐτίκ' Ἀργείων στρατόν.

Ετε.

ΣΧΟΛΙΑ.

701. Δορὸς τάξιν) πολέμου παράταξιν. 704. Ἦ πόλλ' ἐπῆλθον) ὄντως ἐπὶ πολλοὺς τόπους ἐπέδραμον χρήζων εἰσιδεῖν σε, βασιλεῦ. περιῆλθον γὰρ τὰς τῶν Καδμείων πύλας, καὶ φύλακας, ζητῶν τὸ σὸν δέμας, περιφραστικῶς, ἤγουν σέ. 707. Καὶ μὴν) πάντως κἀγὼ ἤθελον σε ἰδεῖν, ὦ Κρέον. κατὰ πολὺ γὰρ εὗρον ἐνδεεῖς τὰς φιλιώσεις, ἡνίκα εἰς λόγους ἐλθὼν ἠνώθην τῷ Πολυνείκει. ἐλθὼν γὰρ εἰς λόγους τῷ Πολυνείκει, πολὺ εὗρον ἀτελεῖς τὰς διαλλαγὰς ἡμῶν. ἢ οὕτως. πολὺ λειπομένας τὰς συμβολὰς εἰς τὸ γενέσθαι, δοκῶν διαλλάττεσθαι πρὸς Πολυνείκην· ὥστε ὑπολείπεται πολεμεῖν. 709. Συνῆψα) συνάπτω ἕτερον ἑτέρῳ, καὶ συνάπτομαι ἐγώ τινι, ἤγουν ἑνοῦμαι, καθὸ λέγεται ἐνταῦθα. 710. Ἤκουσα μεῖζον) ἤκουσα αὐτὸν φρονοῦντα μεῖζον, ἢ κατὰ δύναμιν Θηβῶν, ἐπὶ τῇ συγγενείᾳ τοῦ Ἀδράστου, καὶ τῷ στρατῷ θαῤῥοῦντα. 712. Ἀλλ' εἰς θεοὺς)

Priuſquam veniamus in pugnam, & ad aciem.
Atqui pedum tuorum labore liberat te præſens:
Video enim ipſum venientem ad domum meam.
Cre. Profectò multa loca perambulavi videre te cupiens, ô rex
Eteocles: undique autem portas Cadmæorum
Et cuſtodes acceſſi, te quærens.
Ete. Atqui ego volebam te videre, ô Creon.
Omnino enim inveni inutiles reconciliationes,
Poſtquam in colloquium veni cum Polynice.
Cre. Audivi ipſum majus quiddam cogitare, quàm Thebas,
Affinitatéque Adraſti, & exercitu fretum confidere.
" Verùm oportet iſta deorum arbitrio permittere.
Quæ verò *nobis* impedimento ſunt maximè, hæc venio dicturus.
Ete. Qualia ſunt iſta? non intelligo enim tuum dictum.
Cre. Venit transfuga quiſpiam ab Argivis.
Ete. Dicit nè aliquid novi de rebus, quæ ibi ſunt?
Cre. Quòd undique circum turres Thebanam civitatem
Statim armis circumdaturus ſit Argivorum exercitus.

Ete.

ΣΧΟΛΙΑ.

θεῶν) Ἀλλὰ ταῦτα μὲν τοῖς θεοῖς ἀναθετέον. ἔστιν ὅμοιον τῷ παρ' Ὁμήρῳ· Ἀλλά νυ τοι καὶ ταῦτα θεῶν ἐν γούνασι κεῖται. Καὶ Ἀλλ' ἤτοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖθις. 713. Ἃ δ' ἔστιν ἐμπόδιον, ἢ ἐν ποσὶν, ταῦτα παρῆλθον λέξων. 715. Ἧκει τις) ἴσως κατάσκοπος ληφθεὶς, νύκτωρ σταλείς. 718. Ὅπλοις ἑλίξειν) πολιορκήσειν. Ἄλλως. περιελίξειν. ἀντὶ τοῦ περιελίξειν, ἤγουν κυκλώσειν.

719. Ἐξ

714. Περισσὸν τὸ σοί.

Ετε. Ἐξοιστέον γ' ἄρ' ὅπλα Καδμείων πόλει.
Κρέ. Ποῖ; μῶν νεάζων οὐχ ὁρᾷς, ἃ χρή σ' ὁρᾶν;
Ετε. Ἐκτὸς τάφρων τῶνδ', ὡς μαχουμένους τάχα.
Κρέ. Σμικρὸν τὸ πλῆθος τῆσδε γῆς· οἱ δ' ἄφθονοι.
Ετε. Ἐγῷδα κείνους τοῖς λόγοις ὄντας θρασεῖς.
Κρέ. Ἔχει τιν' ὄγκον τ' Ἄργος Ἑλλήνων πάρα.
Ετε. Θάρσει, τάχ' αὐτῶν πεδίον ἐμπλήσω φόνου.
Κρέ. Θέλοιμ' ἄν· ἀλλὰ τοῦθ' ὁρῶ πολλοῦ πόνου.
Ετε. Ὡς οὐ καθέξω τειχέων εἴσω στρατόν.
Κρέ. Καὶ μὴν τὸ νικᾶν ἐστὶ πᾶν εὐβουλία.
Ετε. Βούλει, τράπωμαι δῆθ' ὁδοὺς ἄλλας τινάς;
Κρέ. Πάσας γε, πρὶν κίνδυνον εἰς ἅπαξ μολεῖν.
Ετε. Εἰ νυκτὸς αὐτοῖς προσβάλοιμ' ἂν ἐκ λόχου;
Κρέ. Εἴπερ σφαλείς γε, δεῦρο σωθήσῃ πάλιν;
Ετε. Ἴσον φέρει νύξ· τοῖς δὲ τολμῶσι, πλέον.
Κρέ. Ἐνδυστυχῆσαι δεινὸν εὐφρόνης κνέφας.

Ετε. Ἀλλ'

ΣΧΟΛΙΑ.

719. Ἐξοιστέον) ἀνάγκη τῇ πόλει ἐξενεγκεῖν ὅπλα. Ἄλλως. οὐκοῦν δέον καὶ τὰς Θήβας ἐξενεγκεῖν ὅπλα, καὶ παρατάττεσθαι. Ἄλλως. ἄξιον ἄρα ἐστὶ τῇ πόλει τῶν Καδμείων ἐξοίσειν ὅπλα, ἀντὶ ὡπλισμένους ἄνδρας. 720. Μῶν νεάζων) ἐρωτηματικῶς ἀναγνωστέον. οὐκ ἐᾷ δὲ αὐτὸν ἐξελθεῖν. 724. Ἔχει τιν' ὄγκον) ὅ ἐστιν, ὑπολήψεις ἔχει παρὰ τοῖς Ἕλλησι. τινὲς δὲ τὸ Ἄργος Ἑλλήνων, τὸ Ἑλληνικὸν Ἄργος, ἵνα πλεονάζῃ ἡ παρά. ὁ δὲ νοῦς, ἔχει τινὰ δύναμιν τὸ Ἑλληνικὸν Ἄργος. 725. Θάρρει) τῷ αὐτῶν φόνῳ τὸ ἐμὸν πεδίον πληρώσω. 727. Ὡς οὐ καθέξω) ἴσθι, ὅτι οὐκ ἐπισχήσω τὸν στρατὸν ἔνδον τῶν τειχῶν. 728. Καὶ μὴν τὸ νικᾶν) ἀκολουθεῖ γὰρ τῇ εὐβουλίᾳ τὸ νικᾶν. καὶ ἡ εὐβουλία ἔχει τὸ κράτος ἐν ταῖς νίκαις. ὡς τὴν δύναμιν τῆς Νίκης καὶ τὴν ἐνέργειαν, οὐκ ἄλλο τι εἶναι, ἢ εὐβουλίαν αὐτόχρημα. 729. Βούλει τράπωμαι) βούλει ἵνα διανοήσωμαι μεθόδους ἄλλας καὶ αἰτίας βουλευμάτων. Πάσας τράπηθι, πρὶν ἐλθεῖν ἐς κίνδυνον. 731. Εἰ νυκτὸς) εἰ συμπλακείημεν αὐτοῖς νύκτωρ ἐκ λόχου, λείπει τὸ σωθησόμεθα. 733. Ἴσον φέρει νύξ.) ἑκατέροις μὲν στρατεύμασιν ἐπίσης

ἐμπα-

te. Sunt igitur urbi Cadmæorum efferenda arma.

'e. Quò? num juveniliter ferociens non vides, quæ oportebat te videre?

te. Extra fossas istas, quòd pugnaturi simus citò.

'e. Exigua est multitudo hujus agri; illi verò sunt innumeri.

te. Scio illos feroces esse verbis.

'e. At habet aliquas vires apud Græcos Argos.

'e. Confide; fortasse implebo campos eorum sanguine.

'e. Velim equidem, sed hoc video magni laboris.

'e. *Stat sententia, scito* quòd non continebo copias intra mœnia.

'e. Atqui tota victoria pendet à consilio.

te. Vis igitur, ut me convertam ad alias aliquas vias?

'e. Ad omnes potiùs, priusquam ad periculum semel venias.

'e. *Quid* si noctu impetum faciam in eos ex insidiis?

'e. Si verò eventu sperato excidas, huc salvus redibis iterum?

'e. Nox pariter commoda utrisque, sed audenti magis.

'e. Res atrox est, in periculum incidere noctis in tenebris. *Ete.* Ve-

ΣΧΟΛΙΑ.

ποδίζει τὸ τῆς νυκτὸς σκότος, τοῖς μέντοι προεπιτεθειμένοις, πλέον παρέχει πρὸς νίκην τὸ ἐκ [illegible]. ἢ οὕτως. καὶ τοῖς ἐπιχειροῦσι, καὶ ς ἐπιχειρουμένοις, ἴσον παρέχει ἡ νὺξ ἐμπόδιον· τοῖς δὲ τολμηροροις, τὴν νίκην χαρίζεται. 734. Ἐνδυστυχῆσαι) ἢ ἐν αὐτῇ κρυβέσθαι. ὁ δὲ νοῦς, δυστυχῆσαι τινα κρυφαῖα τὸ σκότος τῆς νυκτὸς χαλεν ἐστιν.

736. Ἔκ-

726. Πόνου) δεόμενον. 727. Γίνωσκε ὅτι οὐ καθ. 731. Εἰ τῆς νυκτὸς συμμίξαιμι ἐξ ἐνέδρας, καλόν σοι τοῦτο δοκεῖ; καλόν μοι δοκεῖ, εἴπερ ἀποτυχὼν δυνατὸς ἔσῃ δεῦρο σωθῆναι.

Ετε. Ἀλλ' ἀμφὶ δεῖπνον εἰσι, προσβαλῶ δόρυ;
Κρέ. Ἔκπληξις ἂν γένοιτο· νικῆσαι δὲ δεῖ.
Ετε. Βαθύς δέ τοι Δίρκαιος ἀναχωρεῖν πόρος.
Κρέ. Ἅπαν κάκιον τοῦ φυλάσσεσθαι καλῶς.
Ετε. Τί δ' εἰ καθιπποβύσαιμεν Ἀργείων στρατόν;
Κρέ. Κἀκεῖ πέφρακται λαὸς ἅρμασιν πέριξ.
Ετε. Τί δῆτα δράσω; πολεμίοις δῶσω πόλιν;
Κρέ. Μὴ δῆτα· βουλεύου δ', ἐπείπερ εἶ σοφός.
Ετε. Τίς οὖν πρόνοια γίνεται σοφωτέρα;
Κρέ. Ἑπτ' ἄνδρας αὐτοῖς φασίν, ὡς ἤκουσ' ἐγώ.
Ετε. Τί προστετάχθη δρᾷν; τὸ γὰρ σθένος βραχύ.
Κρέ. Λόχων ἀνάσσειν, ἑπτὰ προσκεῖσθαι πύλαις.
Ετε. Τί δῆτα δρῶμεν; ἀπορίαν γὰρ οὐ μένω.
Κρέ. Ἑπτ' ἄνδρας αὐτοῖς καὶ σὺ πρὸς πύλαις ἑλοῦ.
Ετε. Λόχων ἀνάσσειν, ἢ μονοστόλου δορός;
Κρέ. Λόχων, προκρίνας οἵπερ ἀλκιμώτατοι.
Ετε. Ξυνῆκ'· ἀμύνειν τειχέων προσαμβάσεις.

Κρέ.

ΣΧΟΛΙΑ.

736. Ἔκπληξις) ἀντὶ τοῦ ταραχὴ μόνον γίνεται αὐτοῖς, οὐ μέντοι ἧττα, ἐπεὶ εἰκὸς αὐτοὺς ἐνόπλους δειπνεῖν. 737. Βαθύς γέ τοι) τοῦτό φησιν, ὡς συντιθέμενος καὶ ἐπαινῶν, καὶ δεῖ ἐξαίφνης ἐπιθέσθαι, μήπως τροπῆς γινομένης καθ' ἡμῶν περᾶν τὸν ποταμὸν βαθὺν ὄντα οὐ δυνησόμεθα. Δίρκη δὲ ποταμὸς ὁμώνυμος τῇ κρήνῃ, βαθύς, πλατύς. 738. Ἅπαν κάκιον) ἅπαν δεύτερον καὶ χεῖρον, πᾶν ὁτιοῦν μὴ φυλαττόμενον, τοῦ φυλαττομένου ἀκριβῶς χεῖρόν ἐστιν. Ἄλλως. τὰ πάντα δεύτερα τῆς εὐλόγου ἀσφαλείας. 739. Τί δ', εἰ καθιππεύσαιμεν) τί δὲ ἄρα πλέον ἡμῖν ἔσται, εἰ πάντες ἐφ' ἵππων ὁρμήσομεν κατ' αὐτῶν. 740. Κἀκεῖ πέφρακται) κἀκεῖ ἠσφάλισται ἅρμασιν ἐν κύκλῳ ὁ στρατός. 741. Τί δῆτα δράσω) ἀγανακτῶν δυσχεραίνει, ἐπεὶ πάντα, ὅσα εἶπεν, ἀπεδοκίμασε, φησί· θέλεις οὖν προδῶ τὴν πόλιν. 743. Γίνεται) ἀντὶ τοῦ γένηται· συνήθες τραγικοῖς χρῆσθαι ὁριστικῷ ἀντὶ ὑποτακτικοῦ, ὡς ἐν ἄλλοις Οὗτος -- ὡς ἂν πρὸς ἐξερευνήσω στίβον, Μή τις πολιτῶν ἐν τρίβῳ φαντάζεται. Καὶ παρ' Ὁμήρῳ, --- Ἵνα εἴδομεν ἄμφω. ἀντὶ τοῦ εἰδῶμεν.

Ete. Verùm dum cœnabunt, in eos impetum faciam? 735

Cre. Terrorem tantum feres: oportet autem vincere.

Ete. Vadum verò Dircæum profundum est ad redeundum.

Cre. Omnia sunt deteriora, quàm custodire rectè *civitatem*.

Ete. Quid verò, si equitatu adoriamur exercitum Argivorum? 739

Cre. Et ibi exercitus curribus undique septus est.

Ete. Quid igitur faciam? An dedam urbem hosti?

Cre. Nequaquam: sed delibera, si quidem es sapiens.

Ete. Quod igitur consilium erit sapientius?

Cre. Aiunt apud hostes *esse* septem viros, ut ego audivi. 744

Ete. Quid his operæ datum? exiguum *est* robur.

Cre. Præesse cohortibus, ut invadant septem portas.

Ete. Quid igitur faciemus? desperationem enim non expectabo.

Cre. Et tu ad portas septem viros adversus eos elige.

Ete. Ut præsint copiis, an ut sint soli?

Cre. Ut *imperent* cohortibus, delectis *iis*, qui *sint civium* fortissimi. 750

Ete. Intelligo: ut prohibeant murorum ascensum.

Cre.

ΣΧΟΛΙΑ.

εἰδῶμεν. 744. Ἑπτ' ἄνδρας) τὸ ἑξῆς, ἑπτὰ ἄνδρας ἐν αὐτοῖς φασὶ λόχων ἀνάσσειν, καὶ αὐτὸς ἐλθεῖν. 745. Τί προστετάχθαι) τί λέγουσιν αὐτοῖς προστετάχθαι. τὸ γὰρ σθένος τῶν ἑπτὰ βραχύ. 746. Λόχων) ταγμάτων. 747. Ἀπορίαν γὰρ) οὐ μένω φησὶν, ἕως εἰς ἀπορίαν καὶ ἀμηχανίαν πέσω. 750. Λόχων, προσχείρας) πότερον φησὶν ἑπτὰ ἄνδρας τῶν τάξεων ἄρχειν, ἢ εἰς πρὸς ἕνα, εἰ ἑπτὰ κατ' ἰδίαν προσεστάλμένοι δέρωσι. 751. Προσαμβάσεις, ἐπαναβάσεις, ὅ ἐστιν ἀποσοβεῖν τῶν τειχέων τὰς ἐπαναβάσεις.

752. Καὶ

735. Προσβάλω δὲ.) Συγκροτήσω πόλεμον. 749. Ἢ μον.) ἢ μόνης τῆς ἑαυτοῦ λόγχης ἔχουσιν ἀνάσσειν.

Κρέ. Καὶ ξυστρατηγούς. Εἷς δ' ἀνὴρ οὐ πάνθ' ὁρᾷ.
Ετε. Θάρσει προκρίνας, ἢ φρενῶν εὐβουλίᾳ;
Κρέ. Ἀμφότερον, ἀπολειφθὲν γὰρ οὐδὲν θάτερον.
Ετε. Ἔσται τάδ'· ἑπτάπυργον εἰς πόλιν μολὼν,
Τάξω λοχαγοὺς πρὸς πύλαισιν, ὡς λέγεις,
Ἴσους ἴσοισι πολεμίοισιν ἀντιθείς.
Ὄνομα δ' ἑκάστου διατριβὴ πολλὴ λέγειν,
Ἐχθρῶν ὑπ' αὐτοῖς τείχεσιν καθημένων.
Ἀλλ' εἶμ', ὅπως ἂν μὴ καταργῶμεν χέρα.
Καί μοι γένοιτ' ἀδελφὸν ἀντήρη λαβεῖν,
Καὶ ξυσταθέντα διὰ μάχης, ἑλεῖν δορί,
Κτανεῖν θ', ὃς ἦλθε πατρίδα πορθήσων ἐμήν.
Γάμους δ' ἀδελφῆς Ἀντιγόνης, παιδός τε σοῦ
Αἵμονος, ἐάν τι τῆς τύχης ἐγὼ σφαλῶ,
Σοὶ χρὴ μέλεσθαι· τὴν δόσιν τ' ἐχέγγυον
Τὴν πρόσθε ποιῶ νῦν ἐπ' ἐξόδοις ἐμαῖς.
Μητρὸς δ' ἀδελφὸς εἶ· τί δεῖ μακρηγορεῖν;
Τρέφ' ἀξίως νιν, σοῦ τε τὴν τ' ἐμὴν χάριν.
Πατὴρ δ' ἐς αὐτὸν ἀμαθίαν ὀφλισκάνει,
Ὄψιν τυφλώσας· οὐκ ἄγαν σφ' ἐπῄνεσα·

Ἡμᾶς

ΣΧΟΛΙΑ.

752. Καὶ ξυστρατηγοὺς) ξύλλεξαι αὐτοῖς δηλονότι, καὶ στρατηγοὺς ἑτέρους μετ' αὐτῶν ἑπτά. καθ' Ὅμηρον γάρ, Σύν τε δύ' ἐρχομένω, καί τε πρὸ ὁ τοῦ ἐνόησεν. 753. Θάρσει) ἀνδρείᾳ. 754. Ἀμφότερον) κατὰ τὰ δύο· οὐδὲν γάρ ἐστι τὸ ἕτερον, ἀπολειφθὲν τοῦ ἑτέρου. 755. Ἐλθὼν δ' ἐς πόλιν) γελοίως τοῦτο φησὶν, ὡς μὴ ὂν νῦν ἐν τῇ πόλει. πεφύλακται δὲ τὰς ὀνομασίας αὐτῶν εἰπεῖν, ὡς φησὶ Δίδυμος, διὰ τὸ ὑπὸ Αἰσχύλου εἰρῆσθαι, ἐν τοῖς ἑπτὰ ἐπὶ Θήβαις αὐτοῦ. Ἄλλως. οὐκ ὀφείλομεν ἑκάστου καταλέγειν τὸ ὄνομα, πολέμου ἐπικειμένου. 758. Διατριβὴ) ἀργία. 760. Ἀλλ' εἶμ') ἀλλ' ἀπέρχομαι, ὅπως μὴ ἐμποδίζωμεν τὸ τῶν χειρῶν ἔργον, τουτέστι τὸν πόλεμον. 761. Ἀντήρη. ἀντίπαλον. 762. Ἑλεῖν δορὶ) φονεύσειν διὰ τοῦ δορός. 765. Τῆς τύχης) τοῦ

εὐτυχεῖν

Cre. Et ducibus socios *addas*. Unus enim vir non omnia videt. [prudentiam?

Ete. *Secundum* audaciam eligens, an *secundum*

Cre. Utrumque spectabis; nam alterutrum solum nihil valet.

Ete. Fient hæc *ita*: Profectus enim in urbem septem habentem portas,
Ordinabo duces ad portas, ut dicis,
Opponens pares paribus hostibus. (esset,
Nomina porrò singulorum recensere longum
Cùm sub ipsis muris consederint hostes:
Sed vado, nè simus ociosi manu.
Utinam verò mihi contingat fratrem habere oppositum,
Et congredientem *mecum* in prœlio, ut *ipsum* interficiam hastâ, [patriam.
Et occidam *eum*, qui venit eversurus meam
Et nuptias Antigonæ meæ sororis, & filii tui
Hæmonis, si quid ego fortunâ frustratus fuero,
Tibi oportet curæ esse: sponsionémque firmam,
De quâ antè convenit, nunc facio in exitu meo.
Es frater matris meæ, quid multis verbis opus est?
Nutrias eam dignè, & meâ & tuâ causâ.
Pater verò suæ ipse stultitiæ fert præmium,
Excæcans se, non valdè eum laudo:

Et

ΣΧΟΛΙΑ.

εὐτυχίας τῆς ἐλπιζομένης ἀποτύχω. 766. Ἐχέγγυον) ἀσφαλῆ. 770. Ὀφλισκάνει) εἰς ἑαυτὸν χρεωστεῖ μωρίαν, ἀντὶ τοῦ αὐτὸς ἑαυτοῦ καταγνοίη μωρίας, ὡς εἴπῃς εἴποι, ὁ δεῖνα εἰς τόνδε δίκην χρεωστεῖ. 772. Ἡμᾶς

753. Ἄνδρας ἐκλεξάμενος τολμηρὰς, ἢ φρονίμους, ἤγουν ἀγαθοὺς τὰς βουλάς. 768. Τί δεῖ) ἤγουν περιττὸν ἐπιπολὺ παρατεταμένους λόγους ἀγορεύειν. 771. Οὐκ ἄγαν) οὐδόλως, ἐπῄνεσεν γὰρ κατὰ τὸ ἐναντίον σχῆμα ταῦτα. οἷον ἐγὼ πάνυ χαίρω ἀντὶ τοῦ πολλὰ λυποῦμαι, καὶ οὐκ ἄγαν ἐπαινῶ, ἀντὶ τοῦ λίαν ψέγω.

Ἡμᾶς δ' ἀραῖον, ἢν τύχῃ, κατακτενεῖ.
Ἓν δ' ἐστὶν ἡμῖν ἀργόν, εἴ τι θέσφατον
Οἰωνόμαντις Τειρεσίας ἔχει φράσαι,
Τοῦδ' ἐκπυθέσθαι ταῦτ'. ἐγὼ δὲ παῖδα σὸν
Μενοικέα, σοῦ πατρὸς αὐτεπώνυμον,
Λαβόντα πέμψω δεῦρο Τειρεσίαν, Κρέον·
Σοὶ μὲν γὰρ ἡδὺς ἐς λόγους ἀφίξεται.
Ἐγὼ δὲ τέχνην μαντικὴν ἐμεμψάμην
Ἤδη πρὸς αὐτόν, ὥστε μοι μομφὰς ἔχει.
Πόλει γε καὶ σοὶ ταῦτ' ἐπισκήπτω, Κρέον·
Ἤνπερ κρατήσῃ τἀμά, Πολυνείκους νέκυν
Μήποτε ταφῆναι τῇδε Θηβαίᾳ χθονί·
Θνήσκειν δὲ τὸν θάψαντα, κἂν φίλων τις ᾖ.
Σοὶ μὲν τάδ' αὐδῶ· προσπόλοις δ' ἐμοῖς λέγω,
Ἐκφέρετε τεύχη, πάνοπλά τ' ἀμφιβλήματα,
Ὡς εἰς ἀγῶνα τὸν προκείμενον δορὸς
Ὁρμώμεθ' ἤδη ξὺν δίκῃ νικηφόρῳ,
Τῇ δ' Εὐλαβείᾳ, χρησιμωτάτῃ θεῶν,
Προσευξόμεθα, τήνδε διασῶσαι πόλιν.

ΕΠΩ-

ΣΧΟΛΙΑ.

772. Ἡμᾶς δ' ἀραῖον) καὶ ἡμῖν αἴτιος θανάτου γένηται, ὅσοι ἐπὶ ταῖς ἀραῖς, ἐὰν συμβῇ αὐτὰς ἰσχύσαι. τὸ γὰρ ἢν τύχῃ, τοῦτο δηλοῖ. 773. Ἓν δ' ἐστὶν ἡμῖν ἀργὸν) ἀργόν, ἀπρακτον, καὶ παραλελειμμένον, ὀφεῖλον γενέσθαι, καὶ μὴ γενόμενον. Ἄλλως. ἐκεῖνό φησι μόνον ἡμῖν παραλέλειπται, τὸ παρὰ τοῦ μάντεως ἀκοῦσαι περὶ τούτων. εἰωθότες γὰρ οἱ ἄνθρωποι ἐν ταῖς εὐπραγίαις καταφρονεῖν μαντικῆς, ἐν ταῖς συμφοραῖς ἐπὶ τοὺς μάντεις καταφεύγουσι. Εἴ τι θέσφατον----πυθέσθαι ταῦτα) Τὸ τί εἰπὼν κἀνταῦθα ἐπήγαγε πληθυντικῶς τὸ ταῦτα, πρὸς τὸ σημαινόμενον, ὅμοιον τῷ--- Κοινὰ δ' εἴ τι πείσεθ' ἑπτάπυργος ἄδε γᾶ Φοίνισσα χώρα. 776. Αὐτεπώνυμον) ὁμώνυμον, τῷ αὐτῷ ὀνόματι καλούμενον. 777. Λαβόντα πέμψω) ὡς τοῦ Μενοικέως ἐν τῷ στρατοπέδῳ ὄντος τοῦτό φησιν. Ἄλλως. ἐγὼ δὲ τὸν παῖδα σοῦ δεῦρο πέμψω, . λαβόντα

τ.

Et nos diris *suis* fortè occidet.
Unum omisimus, si quod oraculum
Tiresias vates nobis dicere posset,
Id ab eo exquirere. Ego verò filium tuum
Menœceum, qui nomen idem habet patris tui,
Mittam ut accersat huc Tiresiam, ô Creon:
Tecum enim lubens in colloquium veniet.
Ego enim artem divinandi vituperavi
Jam coram ipso, ita ut mihi succenseat.
Urbi verò & tibi hæc mando, ô Creon,
Si ego vicero, cadaver Polynicis
Nè unquam sepeliri patiaris in hâc terrâ Thebanâ:
Sed ut moriatur, qui id sepeliêrit, etiamsi sit
    aliquis amicus.
Tibi quidem hæc dico. Sed ministris meis dico,
Efferte arma, ferreáque indumenta,
Ut in pugnam propositam belli
Irruamus jam cum ultione victrice;
Et Prudentiam, quæ est utilissima Dearum,
Oremus, ut servet hanc urbem.

ΕΡΟ-

ΣΧΟΛΙΑ.

τὸν Τειρεσίαν. 780. Ἤδη πρὸς αὐτὸν) πρὸ ὀλίγου ἐνώπιον αὐτοῦ ἐμεμψάμην τὴν μαντικήν, ὥστε μέμψασθαί μοι καὶ μομφὴν ἔχειν. 781. Ἐπισκήπτω) ἐντέλλομαι, λέγει, ἐὰν ἡ ἐμὴ δύναμις ἐπικρατήσῃ. 782. Νέκυν) τὸ σῶμα. 784. Κἂν φίλων τις ᾖ) διὰ τοῦτο προσυπαφέρει καὶ τὸ τὴν ἀδελφήν. 786. Ἐκφέρετε τεύχη) τεύχη, τὰς ἀσπίδας. Ἀμφιβλήματα δὲ πάντα τὰ τὸν ἄνθρωπον ὁπλίζοντα. λέγει δὲ θώρακα, περικεφαλαίαν, κνημῖδας. οἱ δὲ γράφουσι τὰ στέμματα. Πανοπλά τ' ἀμφιβλήματα) ταῦτα τινὲς εἴδη δερματίνων φασί. 788. Σὺν δίκῃ) σὺν κέρδει, νικηφόρῳ. ἑαυτὸν γὰρ δίκαιον ᾤετο ἀμυνόμενος περὶ τῆς πατρίδος· ἐκεῖνον δὲ ἀσεβῆ κατὰ πατρίδος στρατευόμενον. ὡς Ὅμηρος. Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης. 789. Τῇ δ' Εὐλαβείᾳ) προσωποποιεῖ τὴν εὐλάβειαν. ὡς Ὅμηρος· Δεῖμός τε Φόβος τε. τῇ δ' Εὐλαβείᾳ εὔχονται, ἵνα αὐτοὶ ἀφόβως ἀπέλθωσιν, ἢ ἵνα τοῖς πολεμίοις φόβον ἐμβάλωσι. 791. Ὦ

780. Ὥστε μ. μ. ἔ.) ὥστε μέμφεσθαι ἐμοί. τὸ μέμφομαι ἐνίοτε μὲν δοτικῇ (συντάσσεται), ἐνίοτε δὲ αἰτιατικῇ. 788. Νικηφόρῳ) νίκην ἐπαγούσῃ

ΕΠΩΔΙΚΑ.

Στροφή.

Χο. Ὦ πολύμοχθος Ἄρης, τί ποθ' αἵματι
Καὶ θανάτῳ κατέχῃ, Βρομίου παράμουσος ἑορτα
Οὐκ ἐπὶ καλλιχόροις στεφάνοισι νεάνιδος ὥρα
Βόστρυχον ἀμπετάσας λωτοῦ κατὰ πνεύματα μέλπ
Μοῦσαν, ἐν ᾇ χάριτες χοροποιοί;
Ἀλλὰ σὺν ὁπλοφόροις, στρατὸν Ἀργείων ἐπιπνεύσ
Αἵματι Θήβας, κῶμον ἀναυλότατον προχορεύ
Οὐδ' ὑπὸ θυρσομανεῖ νεβρίδων μέτα δινεύεις,

Ἅρμασι

ΣΧΟΛΙΑ.

791. Ὦ πολύμοχθος Ἄρης) τὰ τοιαῦτα εἴδη τῶν χορῶν καλεῖται ἐπῳδική, ὡς εἴρηται· οὕτω δὲ χρὴ γράφειν τά, τε κῶλα, καὶ τοὺς στίχους, ὡς διωρθώθη παρ' ἐμοῦ. ἀτάκτως γὰρ ἦσαν καὶ ἀναρμόστως ἐν τοῖς ἀντιγράφοις κείμενα, καὶ πολύν μοι παρέσχον πόνον, εἰς τάξιν ταῦτα καὶ ἁρμονίαν μετενεγκεῖν. τὰ μὲν γὰρ ἦσαν δακτυλικά, τὰ δὲ ἀναπαιστικὰ κῶλα, οὐ μὴν δὲ καὶ κατὰ λόγον κείμενα. ἀλλ' εἴ τις ὀρθῶς λογίζοιτο, καλῶς ἂν εὕρῃ ταῦτα διορθωθέντα. ἔστι τοίνυν τῆς στροφῆς τὰ κῶλα καὶ οἱ στίχοι ιζ', καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα, τὰ πάντα μέντοι δακτυλικά. τὸ α' τετράμετρον ἀκατάληκτον. καθ' ἑκάστην γὰρ μονοποδίαν μετρεῖται τὰ δακτυλικά. ὁ β', καὶ ὁ γ', καὶ ὁ δ', ἑξάμετροι. τὸ ε' ὅμοιον τῷ α'. ὁ ϛ', ὁ ζ', ὁ η', καὶ ὁ θ' πάλιν ἑξάμετροι. τὸ ι' καὶ τὰ λοιπὰ ὅμοια τῷ α'. τὸ ιζ' ἐφθημιμερές. ἐπὶ τῷ τέλει τῆς τε στροφῆς, καὶ τῆς ἀντιστροφῆς, παράγραφος. Ὦ πολύμοχθος ἄρης) πολλῶν μόχθων καὶ καμάτων αἴτιε. 792. Κατέχῃ) χαίρεις καὶ ἐνθουσιᾷς. Παράμουσος) ἐναντίος, οὐ τὴν αὐτὴν μοῦσαν ἔχων, τουτέστι ταῖς τοῦ Βρομίου ἑορταῖς ἀσύμφωνος. Ἄλλως. ἀσύμφωνος, ὡς καὶ τὴν ἄνοιαν παροίνιαν φησίν. οὐ συνῳδός, ἀλλ' ἀλλότριος. 793. Νεάνιδος ὥρας) τοῖς γαμηλίοις καιροῖς. τινὲς δὲ οὕτως, νεάνιδος ἀκμαίας ὥραν ἐχούσης γάμου. ἀλλὰ τί δὲ μὴ τὸν σὸν βόστρυχον ἐπὶ στεφάνοις νεάνιδος ὥρας, ἀναπετάσας μέλπεις πρὸς πνεῦμα λωτοῦ. ἔνιοι δὲ νεάνιδος ὥρας τοῦ ἔαρος τοῦ πάντα νέα ποιοῦντος. Ἄλλως. οὐ καλλιχόροις στεφάνοις βόστρυχον ἀναπετάσας ἐπὶ γάμοις νεάνιδος μέλπεις, νυμφικὰς ᾠδὰς πρὸς

αὐλὸν

EPODICA.

Strophe.

O ærumnoſe Mars, quare ſanguine,
Et morte delectaris, à Bacchi feſtis diſſone, *ac aliene?*
Cur non inter pulchrichoras coronas puellæ viro maturæ,
Concinnum pandens, tibiæ per flatus ſuaviter canis 794
Carmen *aliquod*, in quo *ſint* gratiæ lætificæ?
Sed cum armatis, exercitum Argivorum incitans
Cum ſanguine contra Thebas, ſaltationem inconcinnam præſilis?
Neque cum thyrſigero, cervinis pellibus indutus tripudias, *Sed*

ΣΧΟΛΙΑ.

λὸν, ἢ ἐπὶ πρὸς τὸ ἄρμυς νεάνιδος· ἀμπτεύσας δὲ, ἀνασείσας τὸ ἐκαμεν, ὥσπερ ὁ Διόνυσος. ἢ παρὰ ἀντὶ τοῦ πρὸς, πρὸς μέλος, ὅ ἐστιν ἀπηχήματα αὐλοῦ. 795. Χαρμοσύναι) χάριν ποιοῦσαι καὶ ἀγαλλίασιν. 796. Ἀλλὰ σὺν ὁπλοφόροις) ἀλλὰ ὁπλοφόροις, κῶμον ἀναυλότατον προχορεύεις, στρατὸν Ἀργείων πνεύσας τῷ αἵματι τῆς Θήβης, ὅ ἐστι τῷ γένει τῶν Θηβαίων. Ὅμηρος· Αἵματος εἰς ἀγαθοῖο. Ἀλλὰ σὺν ὁπλοφόροις) τὸ ἑξῆς, καὶ σὺν ὁπλοφόροις Θήβαις στρατὸν Ἀργείων ἐπιπνεύσας, ὅ ἐστι ἐνσείσας ἐκείνων πρὸς τὸ ... , καὶ κατόχους αὐτοὺς ποιήσας ἑαυτοῦ, μετὰ κῶμον ἀναυλότατον προχορεύεις, ὅ ἐστι προκαλῇ αὐτοὺς εἰς ... κῶμον σὺν αἵματι. λέγει δὲ τὸν πόλεμον. ἄναυλον δὲ ἀπὸ αὐλὸς, ἐκμελῆ, καὶ ἄμουσον. σάλπιγξ γὰρ ἐστιν ὁ αὐλὸς τοῦ πολέμου. ἡ δὲ πρὸ πλεονάζει, ὡς τὸ, Νῆας τε προπάσας. 797. Κῶμος) εἶδος ὀρχήσεως. Κῶμον ἀναυλότατον προχορεύεις, ὑβριστικὴν καὶ κακομουσοτάτην χορείαν. 798. Οὐδ' ὑπὸ θυρσομανεῖ) ἡ ὑπὸ ἀντὶ τοῦ σὺν, σὺν θυρσομανεῖ Διονύσῳ. Θύρσος δὲ ὁ κίσσαλος ... τοῖς νάρθηξι περιπλεχθείς. Νεβρὶς δὲ ἐστι δέρμα ἐλάφου ..., ὃ φοροῦσιν οἱ βακχεύοντες. ἐπειδὴ γὰρ οἱ μαινόμενοι τὸ ... αὐτῶν καλλωπίζοντες, ποικίλον παίζουσιν· οἱ συμφέροντα μανίαν ... ταῖς καταστίκτοις τῆς νεβρίδος, σοφίζονται τῆς μανίας τὸ σχῆμα.

 799. Ψαλίοις)

Ἅρμασι καὶ ψαλίοις τετραβάμοσι μώνυχα πώλων
Ἰσμηνοῦ τ' ἐπὶ χεύμασι βαίνων,
Ἱππείαισι θοάζεις, Ἀργείους ἐπιπνεύσας
Σπαρτῶν γένναν ἀσπιδοφέρμονα,
Θίασον ἔνοπλον, ἀντίπαλον κατὰ
Λάϊνα τείχεα χαλκῷ κοσμήσας.
Ἦ δεινά τις Ἔρις θεὸς, ἃ τάδε
Μήσατο πήματα γᾶς βασιλεῦσι,
Λαβδακίδαις πολυμόχθοις.

Ἀντιστροφή.

Ὦ ζαθέων πετάλων πολυθηρότατον νάπος, Ἀρτέμιδος χιονότροφον ὄμμα Κιθαιρὼν,
Μήποτε τὸν θανάτῳ προτεθέντα λόχευμ' Ἰοκάστης,
Ὤφελες Οἰδίποδα θρέψαι βρέφος ἔκβολον οἴκων,
Χρυ-

ΣΧΟΛΙΑ.

799. Ψαλίοις) ψάλιον Ἀττικῶς, ψάλλιον κοινῶς. Ἔστι δὲ ψάλιον ὁ κρίκος τοῦ χαλινοῦ, ἢ ἁπλῶς ὁ κρίκος. Ἐνταῦθα δὲ ψάλια τοὺς χαλινούς φησιν, τῷ μέρει ἀντὶ ὅλου χρώμενος. Ψαλίοις χαλινοῖς μονωνύχων ἵππων καὶ τετραπόδων. 800. Ἐπὶ χεύμασι βαίνων) ἤδη μὲν οὐδὲν, εἰ καὶ χαίρειν προσέθηκας. ἐπιβαίνων δὲ τοῖς χεύμασι τοῦ Ἰσμηνοῦ σὺν ἅρμασι καὶ ψαλίοις μονοπώλοις, τῇ ἱππικῇ σημαίνει. 801. Ἐπιπνεύσας δὲ) ἀντὶ τοῦ παροξύνας τοὺς Θηβαίους, καὶ ἐξεναντίας αὐτοὺς τάξας τοῖς Ἀργείοις. ἀπὸ δὲ τοῦ ἐναντίου νῦν εἶπεν. ἐν γὰρ τοῖς ἀνωτέρω τοὺς Ἀργείους εἶπε παροξύνεσθαι κατὰ τῶν Θηβαίων. τοῦτο δέ φησιν, ὡς τοῦ Ἄρεως ἑκατέρους παροξύνοντος κατ' ἀλλήλων. 802. Σπαρτῶν γένναν) κατὰ τὴν γενεὰν τῶν σπαρτῶν, ἤγουν τῶν ἀπὸ τῆς σπορᾶς τῶν ὀδόντων τοῦ Δράκοντος ἀναδοθέντων. Ἀσπιδοφέρμονα) τουτέστιν ἀσπιδοθρέμμονα. φέρψαι γὰρ, τὸ θρέψαι. τὸν ἐν ἀσπίδι τραφέντα, τουτέστι τὸν σπαρτὸν λαὸν, τὸν πολεμικὸν, παραγώγως. Ἄλλως. Ἀσπιδοφέρμονα, ἀσπιδηφόρον. Ἄλλως. Ἀσπιδοφέρμονα θίασον ἔνοπλον· ὁ νοῦς οὕτως. κοσμήσας χορὸν οὐ θυρσοφόρον, ἀλλ' ἀσπιδοφέρμονα· οὐ συνθίασον καὶ σύγκωμον χορὸν, ἀλλ' ἀντίπαλον· οὐ κισσῷ κοσμήσας, ἀλλὰ χαλκῷ. εἰ δὲ ἦν ἐπὶ Διονύσου, οὕτως ἂν ἔφη, θυρσοφόρον θίασον,

ad curribus (& frænis) quadrijugis unungulum equum
[I]smeni ad flumina vadens 800
[e]quitationibus incitas, Argivos inspirans
[c]t satorum genus scutiferum,
[c]horum armatum, adversarium ad
[l]apidea mœnia ferro ornans, i. e. cingens.
[c]ertè atrox quædam est dea Discordia, quæ hæc
[e]xcogitavit mala regibus terræ hujus, 806
[L]abdacidis miseris.

Antistrophe.

[O] admirandarum frondium, & abundantissimum fe-
[r]is nemus, Dianæ nivose ocule Cithæron,
[N]unquam morti destinatum filium Iocastæ 810
[D]ebueras Oedipum alere infantem ejectum domo,

Aureis

ΣΧΟΛΙΑ.

ον, σύγκειμενον, καλὰ σύμφυλα ὄρη κισσοῖς κοσμήσας καλὰ τὰ ι τείχη. 805. Ἦ δεινά τις ἔρις) τοῦτο καθολικόν. ὄντως θεὸς ἡ ἔρις. κατειργάσατο γὰρ κακὰ τοῖς βασιλεῦσι Λαβδακί- τοῖς ἀπὸ τοῦ Λαβδάκου κατηγμένοις, τοῖς πολλοὺς καμάτους ὑπομεμενηκόσιν. Ἄλλως. Λαβδακίδαις, ἤτοι τοῖς Θηβαίοις. ἀπό- ν γὰρ Θηβαίων Λάβδακος. 808. Ὦ ζαθέων πετάλων) ὦ ὄ- ρος τῶν ζαθέων καὶ μεγάλων φύλλων, ἢ θείων, ὥσπερ φαμὲν τόπον διὰ τὸν ἐν αὐτῷ θεόν. λέγονται γὰρ ἐν αὐτῷ ἱδρύσθαι αἱ μοῦ- σαι καὶ δένδροις διαφόροις κοσμεῖσθαι. Ἄλλως. ἄγαν θείων ων πεπληρωμένον. Πολυθηρότατον) πολλὰς θήρας ἔχον. Ἄλ- λως. πολυθηρότατον, δηλονότι πολυειδῶν θηρίων ἀγελαζομένων περιεχ- ον. 809. Νάπος) ὁ σύμφυτος τόπος. Χιονοτρόφον) ιόνων φυλακτικόν. Ὄμμα Κιθαιρὼν) ὅτι ἐφορᾷ ἡ Ἄρτεμις τὰ ἄλλα ὄρη. ἢ ὡς καλλιστεῦον παρὰ τῇ θεᾷ, ὥσπερ ἐν τῷ μα τὸ ὄμμα. πολύθηρον γάρ ἐστι, κυνηγέτις δὲ ἡ θεὸς ἡ Ἄρτε- ἐπάρχει. Ἄλλως. Ὄμμα) περίβλεπτον. 810. Προτε- ἐκτεθέντα. Λόχευμα) γέννημα. 811. Ἔκβαλον) ἐρ- ριμμένον.

Χρυσοδέτοις περόναις ἐπίσαμον·
Μηδὲ τὸ παρθένιον πτερὸν, οὔρειον τέρας ἐλθεῖν,
Πένθεα γαίας, Σφιγγὸς, ἀμουσοτάταισι σὺν ᾠδαῖς,
Ἅ ποτε Καδμογενῆ τετραβάμοσιν ἐν χηλαῖσι
Τείχεσι χριμπτομένα, φέρεν αἰθέρος εἰς ἄβατον φῶς
Γένναν, ἃν ὁ κατὰ χθονὸς Ἅιδης
Καδμείοις ἐπιπέμπει.
Δυσδαίμων δ' ἔρις ἄλλα θάλλει παίδων
Οἰδίποδος κατὰ δώματα καὶ πόλιν.
" Οὐ γὰρ ὃ μὴ καλὸν, οὔ ποτ' ἔφυ καλὸν,
" Οὐδ' οἱ μὴ νόμιμοι ποτὲ παῖδες,
" Ματρὶ λόχευμα, μίασμα δὲ πατρός·
Ἡ δὲ σύναιμον εἰς λέχος ἦλθεν.

Ἐπῳ-

ΣΧΟΛΙΑ.

812. Χρυσοδέτοις) ἡ μὲν Ἰοκάστη ὡς ἀκριβῶς εἰδυῖα, εἶπε σιδηρᾶς τὰς περόνας. αὗται δὲ ὡς βάρβαροι οὐκ ἀκριβῶς ἴσασι. 813. Μηδὲ τὸ παρθένιον) ἀπὸ κοινοῦ τὸ ὤφελεν, τουτέστιν οὐδὲ Σφίγξ ὤφελεν εἰς τὰς Θήβας ἐπεληλυθέναι. αὕτη γὰρ ἀρχὴ [illegible] συμφορᾶς ἐγένετο τοῦ Οἰδίποδος. διὰ τὸ εὑρηκέναι γὰρ τὸ προτεθὲν ὑπ' αὐτῆς ζήτημα, ἔγημε τὴν μητέρα καὶ ἀγνοῶν. ἐκδοθεῖσαν [illegible] εἰς γάμον τῷ συνιέντι. Οὔρειον τέρας) ἄγριον. ἢ ἴσως ἐπειδὴ ἐν Κιθαιρῶνι ἐτρέφετο τῷ ὄρει, τέρας αὐτὴν φησί. τέρας δὲ ἐστι τὸ [illegible] τὸ παρὰ φύσιν. τὸ δὲ ἑξῆς, μηδὲ τὸ παρθένιον πτερὸν σφιγγ[illegible] ὤφελεν ἐλθεῖν εἰς πένθεα ταύτης τῆς χθονός. τέρας δὲ τὴν σφίγγα λέγει, ἐπειδὴ πτερωτὴ ἦν παρθένου πρόσωπον ἔχουσα. λέοντος δὲ τὸ πᾶν σῶμα μιξοφυὴς οὖσα. 814. Ἀμουσοτάταισι) σκοτ[illegible] κεκρυμμένοις προβλήμασι, καὶ σοφίσμασιν. ᾠδὴν δὲ κεκρυμμένον τὸ αἴνιγμα φησίν. ἐπεὶ ἐμμελῶς τε καὶ εὐρύθμως, καὶ ἐμμέτρως ἐλέγετο. ἐξαπώλλυε δὲ πολλοὺς τῶν Θηβαίων, μὴ εὑρίσκοντας γὰρ τὸ αἴνιγμα κατησθίετο. 815. Ἅ ποτε) ἥτις ἐπι[illegible]ζομένη τοῖς τείχεσι τετραβάμοσι χηλαῖς, τὴν Καδμογενῆ γένναν εἰς αἰθέρος ἄβατον φῶς ἀνῆγεν, ἐπεὶ ἄβατος ἐστὶ αὐτοῖς τοῖς ὀρνέοις ἐστίν. ὑπερβολικῶς δὲ τοῦτο φησὶν, ἀντὶ τοῦ εἰς ὕψος πολὺ, ὥστε προσεγγίζειν τῷ αἰθέρι, ἀνέφερε τὴν Καδμογενῆ γένναν. τοιοῦτον γάρ τι ἱστορεῖται, ὅτι εἰς ὕψος αὐτοὺς ἀνῆγε, καὶ ἠφίει ἐπὶ γῆς φέρεσθαι ἄνω

διά-

ureis fibulis insignem :
eque virgineum alatum, montanum monstrum venire *debuerat*,
uctus terræ, Sphingis, maximè inconcinnis cum carminibus ;
uæ quondam Cadmi, quadrupedibus ungulis,
œnibus appropinquans, tulit ætheris in inaccessum lumen, 816
rolem : quam *sphingem* infernus Deus
admeis immisit.
nfelix vero lis alia oritur *inter* filios
edipi in ædibus & Urbe. 820
uod enim honestum non est, nunquam fiet honestum,
eque illegitimi unquam liberi,
atris partus, piaculum patris, *honesti censeri poterunt* :
æc enim consanguineum in lectum venit.

Epo-

ΣΧΟΛΙΑ.

σαρπάξασα. 817. Ἦν ὁ κατὰ χθονὸς) ἣν ἐριννύς τις, ἢ εὺς, ἢ ἀλάστωρ ἐφῆκε τῇ πόλει. πάντα γὰρ δεινὰ, χθόνια οἱ ἀρχαῖοι. 819. Δυσδαίμων) μετὰ δὲ ταῦτα δυσδαίέρις ἄλλη αὔξεται κατὰ τοὺς οἴκους τοῦ Οἰδίποδος τῶν παιδίων. δὲ ἔρις ἄλλα ποιεῖ κατὰ διαδοχὴν κατὰ τὴν πόλιν, καὶ τοὺς τοῦ Οἰδίποδος παίδων. καινοὶ γὰρ ὄντες κακὰ πάσχουσιν, ὡς φύσιν τεχθέντες. 821. Οὐ γὰρ ὃ μὴ καλὸν οὔποτ' ἔφυ) οὐ γάρ ποτε τοῦτο καλόν ἐστιν, ὅπερ αὐτὸ τὴν ἀρχὴν ἀπὸ μὴ ἔλθοι καλῆς. τοῦτο δὲ κατὰ τὸν Οἰδίποδα παρανόμως γήτὴν μητέρα, καὶ παρανόμως παῖδας τεκόντα. τοῦτο οὖν φησὶ καλὸν γενόμενον, οὔποτε ἐπαινήσομεν. οὐδὲ γὰρ αὐτοῖς γέγονεν, καλόν. 822. Οὐδ' οἱ νόμιμοι) ἀπὸ κοινοῦ τὸ καλὸν, οὐδὲ νόμιμοι παῖδες καλὸν, οἱ παρὰ τὸν τῆς φύσεως νόμον γενόἀλλὰ κατάρατοι καὶ ἀνόσιοι. 823. Μίασμα δὲ πατρὸς) ὸς γὰρ ζεύγματος εἰς λέχος ἦλθεν. ὅ ἐστι τοῦ ἀδελφοῦ αὐτῶν τοῦ οδος.

791. Παρθέ-

12. Χρυσοδέτ.) δι' ὧν δηλονότι ἐτύφλωσεν ἑαυτὸν, αὗται γὰρ ἦσαν δέτοι.

791. Παράφρασις. ὦ Πολύμοχθος ἄρης) ὦ πολλῶν κακῶν αἴτιος Ἄρης, διατί πρὸς φόνον καὶ πρὸς θάνατον ἐνθουσιᾷς, ἀνάρμοστος ὑπάρχων ταῖς ἑορταῖς τοῦ Διονύσου, οὐκ ἐπιτερφθεὶς τοῖς κύκλοις χορῶν καλλιχόρων εὐστεφανίαις, λέγω νεάνιδος, ἥγουν ἐφ' οἷς διαστρέφουσιν αἱ νεάνιδες, τὸν σὸν βόστρυχον ἀναπετάσας κατὰ τὰ ἀπηχήματα τοῦ αὐλητοῦ· προσηχῆ μέλος, ἐν ᾧ χάριτες εἰς χορὸν ἐμποιοῦσι καὶ ἀγαλλίασιν· ἀλλὰ σὺν ὁπλοφόροις ἀνδράσι πρὸς τῶν Θηβαίων χορεύεις χορείαν ὑβριστικήν, καταμουσωτάτην, διεγείρας τὸν στρατὸν τῶν Ἀργείων ἐπὶ φόνον. οὐδὲ ὑπὸ τοῦ Διονύσου, τοῦ μετὰ θύρσων μαινομένη χορεύεις, δέρματα ἐλάφων ἐνδεδυμένος, καὶ ἐπὶ τοῖς ῥεύμασι τοῦ Ἰσμηνοῦ τοῦ ποταμοῦ περιδρομῶν σὺν ἅρμασι καὶ χαλινοῖς τετραπόδων μονωνύχων ἵππων ἱππεύουσι ὁρμᾷς, διεγείρας τοὺς Ἀργείους κατὰ τοῦ γένους τῶν ἀπὸ τοῦ σπορᾶς τῶν ὀδόντων τοῦ δράκοντος ἀναδοθέντων. λέγω θίασον ἀσπιδοφόρον ἔνοπλον, ἀντίπαλον κατὰ τὰ λάϊνα τείχη τῆς Θήβας ὁπλίσας χαλκῷ. Ὄντως χαλεπὴ θεός ἡ ἔρις, ἥ τις ταύτας τὰς βλάβας ἐβουλεύσατο κατὰ τῶν βασιλέων τῆς γῆς ταύτης τῶν ἀπὸ τοῦ Λαβδάκου κατηγμένων, τῶν πολλοὺς καμάτους ὑπομεμενηκότων. Ὦ Κιθαιρὼν περικαλλέστατον καὶ διάθαλλον ὄρος τῆς Ἀρτέμιδος, ἄγαν θείων δένδρων πεπληρωμένον, πολυνιφάδων τε θηρίων ἀγαλλομένων, περιεκτικὸν τῶν χιόνων καὶ φυλακτικὸν, οὐκ ὤφελες τὸν Οἰδίποδα τὸν ἐκτεθέντα τῷ θανάτῳ, τὸν ἐκβεβλημένον τῶν οἴκων, τὸν ἐπίσημον, ἤγουν διάδηλον ταῖς χρυσοδέτοις περόναις, τὸν τόκον τῆς Ἰοκάστης, θρέψαι βρέφος ὄντα. οὐδὲ ἡ ὑπόπτερος Σφίγξ.

Ἐπῳδός.

Ἔτικες, ὦ γᾶ, ἔτικές ποτ',
Βάρβαρον ὡς ἀκοὰν ἐδάην, ἐδάην ποτ' ἐν οἴκοις,
Τὰν ἀπὸ θηροτρόφου φοινικολόφοιο δράκοντος
Γένναν ὀδοντοφυῆ, Θήβαις κάλλιστον ὄνειδος.

Ἁρμο-

ΣΧΟΛΙΑ.

825. Ἔτικες ὦ γᾶ) Ταῦτα ἐφεξῆς μέχρι τοῦ τέλους τοῦ χοροῦ ἀνακλητικῶς προφέρουσι, μακαρίζουσαι τῆς ἀρχαίας εὐδαιμονίας τὰς Θήβας. τὸ δὲ ἑξῆς, ἔτικές ποτε, ὦ γᾶ, γένναν ὀδοντοφυῆ σπαρτῶν ἀπὸ τοῦ φοινικολόφοιο δράκοντος, ὥς ποτε ἠκούσαμεν κατὰ βάρβαρον ἀκοὴν ἡμῶν, ἐν τῇ πατρίδι οὖσαι. Ἀκοὴ λέγεται ἐνταῦθα τὸ ἀκουόμενον, ὡς ἐν ἄλλοις αἴσθησις αἰσθητὸν, καὶ ὁ νοῦς νοούμενον. τὸ δὲ ἀπὸ φοινικολόφοιο δράκοντος συνακτέον.

κρθένῳ, τὸ ὀρεινὸν τέρας, τὸ πένθος τῆς γῆς ταύτης, ὤφελε δηλονότι
ἐν ζωῇ αἰνίγμασιν ἐμμέτροις κακομουσοτάτοις, ἥτις ποτὲ τὴν
ἐν τὴν ἀπὸ τοῦ Κάδμου καταγομένην διὰ τῶν ὀνύχων τῶν τεσσάρων
ς ποδῶν, ἠφάνιζε τοῖς τείχεσιν ἐπικαθίζουσα, ἣν ὁ κατὰ χθονὸς
ἔπεμψε κατὰ τῶν Καδμείων. ἄλλη δὲ πάλιν ἔρις δυστυχὴς
ι κατὰ τῶν παίδων τοῦ Οἰδίποδος, κατά τε τὰ δώματα, καὶ τὴν
ν. καὶ γὰρ ὅπερ οὐκ ἔστι καλὸν, οὐδέποτε φύσει καλὸν ὑπάρχει.
οἱ μὴ ὄντες ἔννομοι παῖδες καλοί εἰσιν, ὡς ὁ Οἰδίπους τὸ κα-
λύνημα τῆς μητρὸς, τὸ μεμιασμένον σπέρμα τοῦ πατρός. ἡ δὲ
ἐστι ἦλθε λέχος εἰς συζυγικόν. 825. Ἔτικτες, ὦ γῆ τῶν
ῶν ποτὲ, καθὰ ἐν τῇ ἐμῇ πατρίδι ποτὲ ἤκουσα λόγον βαρβαρι-
τὴν γενεὰν τὴν ἀπὸ τῶν ὀδόντων γεννηθεῖσαν, τὴν ἀπὸ τοῦ Δρά-
ος τοῦ θηρσὶ τρεφομένου, τοῦ φοινικοῦ τὴν κεφαλὴν, κλέος κάλλι-
τῶν Θηβῶν. Εἰς δὲ τοὺς γάμους τῆς Ἁρμονίας τῆς θυγατρὸς τῆς
ροδίτης, ἣν ἐγήματο ὁ Κάδμος, ἦλθον οἱ Θεοί· καὶ ὑπὸ τῆς φόρ-
γος καὶ τῆς λύρας τοῦ Ἀμφίονος τὰ τείχη τῶν Θηβῶν καὶ ὁ πύργος
οδομήθη περὶ τὸ μέσον τῶν δύο ποταμῶν τῆς Δίρκης, ἤγουν τοῦ
ἠνοῦ καὶ τῆς Δίρκης. ἥτις ὁμωνύμως λέγεται τῇ πηγῇ· ἥτις,
ἡ Δίρκη, ἡ πηγὴ, τὸ ἔμπροσθεν τοῦ Ἰσμηνοῦ πεδίον τὸ βοτανη-
ν ἄρδει καὶ καθυγρὸν ποιεῖ. Καὶ ἡ Ἰὼ ἡ κέρας ἔχουσα ἡ
μήτωρ τοὺς βασιλεῖς τῶν Θηβαίων ἔτικεν. Ἡ πόλις δὲ ἤδη μυ-
ρίας ἀγαθῶν ἑτέρας ἐφ' ἑτέροις κατὰ διαδοχὴν ἔχουσα, νῦν
νεγέστῃ καὶ ἐσχάτῃ πολιορκίᾳ τοῦ ἄρεος ἕστηκεν.

Epodus.

Genuisti, ô terra *Thebana*, genuisti quondam,
Barbaram ut famam audivi, audivi quondam in
ædibus, 826
A feris nutrito, rubram habente cristam dra-
cone *ortum*
Genus ex dentibus natum, Thebis pulcherri-
mum decus.

Har-

ΣΧΟΛΙΑ.

ν δὲ γέννα, περιφραστικῶς τοὺς σπαρτοὺς, ἐπεὶ ἀπὸ θηρίου
δράκοντος ἐγεννήθησαν. τέτλε δὲ τὸ τεθρέφθαι, καὶ ἀντὶ τοῦ γεννηθῆ-
ναι ἀντὶ τοῦ αὐξηθῆναι, καὶ ἀναδοθῆναι ἀπὸ τῆς γῆς. κάλλιστον δὲ
ταῖς Θήβαις αὐτοὺς τοὺς σπαρτοὺς φησί· ἔστι δὲ τὸ ὄνειδος
σων λέξεων, ὡς καὶ τύχη, καὶ δόλος, καὶ ζῆλος. 828. Οἰκει-
κλέος, ἐγκώμιον.

829. Ὑγραίοις]

Ἁρμονίας δέ ποτ' εἰς ὑμεναίους
Ἤλυθον οὐρανίδαι. Φόρμιγγί τε τείχεα Θήβας,
Τᾶς Ἀμφιονίας τε λύρας ὕπο, πύργος ἀνέστα
Διδύμων ποταμῶν, πόρον ἀμφὶ μέσον
Δίρκας, χλοεροτρόφον ἃ πεδίον
Πρόπαρ Ἰσμηνοῦ καταδεύει.
Ἰώ θ', ἁ κερόεσσα προμάτωρ,
Καδμείων βασιλῆας ἐγείνατο.
Μυριάδας δ' ἀγαθῶν
Ἑτέρας ἑτέραις μεταμειβομένα,
Πόλις ἅδ' ἐπ' ἄκροις
Ἕστακ' ἀρηΐοις στεφάνοισιν.

Ἰαμβοί.

Τει. Ἡγοῦ πάροιθε, θύγατερ, ὡς τυφλῷ ποδὶ
Ὀφθαλμὸς εἶ σὺ, ναυβάταισιν ἄστρον ὥς,
Δεῦρ' εἰς τὸ λευρὸν πέδον ἴχνος τιθεῖσ' ἐμὸν,
Πρόβαινε, μὴ σφαλῶμεν· ἀσθενὴς πατήρ.
Κλήρους τέ μοι φύλασσε παρθένῳ χερὶ,

Οὓς

ΣΧΟΛΙΑ.

829. Ὑμεναίους) εἰς τοὺς γάμους δὲ τῆς Ἁρμονίας ἤλυθόν ποτε οἱ θεοί. 831. Πύργος ἀνέστα) ὁ πύργος δὲ καὶ τὰ τείχη ἀνῳκοδομήθη ὑπὸ τῆς τοῦ Ἀμφίονος λύρας. 833. Χλοεροτρόφον) βοτανοτρόφον. 834. Πρόπαρ) τὸ ἔμπροσθεν τοῦ Ἰσμηνοῦ ποταμοῦ. 835. Ἰώ θ' ἁ κερόεσσα) καὶ ἡ κερασφόρος Ἰὼ τοὺς βασιλεῖς τῶν Θηβαίων ἐγέννησε. 837. Μυριάδας δ' ἀγαθῶν) δεῖ δὲ φράσαι συντόμως, ἡ πόλις αὕτη μυρία ἀνδραγαθήματα νίκας συναθροίσασα εἰς ἄκρον ἐν τῷ πολέμῳ προελήλυθεν ἀνδραγαθημάτων, ὡς εἰ ἔλεγε πῶς οὕτως μακαρίαν, οὐκ ἀπηλθόντας πολεμικὰς ἀπώσασα· ἢ οὕτως, ἤδη τοσαῦτα πλεονεκτήματα εὐτυχήσασα, καὶ ἄλλας ἄλλοις ἀμειψαμένη, νῦν ἐπὶ ἄκρου πολέμου ἕστηκεν ἐπὶ ἀγωνίσμασι πολεμικοῖς. 841. Ἡγοῦ πάροιθε) αἱ ἑξῆς αὗται περίοδοι, στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ρπέ· τελευταῖος, Πειρώμεθ' ἂν τὸ λοιπὸν εὐτυχεῖν ἄν. Ἡγοῦ πάροιθε θύγατερ)

Μαντὼ

larmoniæ verò olim ad nuptias
'enerunt cœleſtes dii. Citharâque mœnia Thebarum,
.mphioniâque à lyrâ, turris ſurrexit
ïeminorum fluminum, vadum circa medium
)irces, virides herbas alentem quæ campum
.nte Iſmenum rigat.
ôque cornigera avia,
'admeorum reges genuit,
ınumeráque bona
.lia aliis permutans,
Jrbs hæc in ſummis
tetit martiis ornamentis.

Iambi.

Ducito ulteriùs, ô filia (quia cæco pedi
'u es oculus, ſicut ſtella nautis)
Iuc in planum ſolum veſtigium ponens meum,
ræcedito, ne impingamus: imbecillis eſt pater tuus.
erva mihi tabellas ſortium virgineâ manu,

Quas

ΣΧΟΛΙΑ.

τῷ ἐκαλεῖτο ἡ θυγάτηρ τοῦ Τειρεσίου. προοδηγοῦσα ἔμπροσθεν, ὦ ... στηρ, ὅτι ὀφθαλμὸς ὑπάρχεις σὺ τῷ τυφλῷ καὶ ὁδηγουμένῳ μοι ποδί, ... καὶ τοῖς ἐπιβαίταις τῶν νεῶν τὸ ἄστρον, εἰς ὃ δηλονότι ἀποβλέπουσι. Τυ- ... ποδί) τῷ μὴ ὑπὸ τῶν οἰκείων ὀφθαλμῶν ὁδηγουμένῳ. Ἄγε, ... βαινε, προέρχου, τιθεῖσα τὸ ἐμὸν ἴχνος, ἤγουν ἐμέ, εἰς ὁμαλὴν ... δαπεδον γῆν, ἵνα μὴ προσπταίσωμεν, μὴ δυνάμενοι πορεύεσθαι. ... ἀσθενὴς γὰρ ὁ πατήρ σου· καὶ τοὺς σημειωτοὺς τῶν ἀποβάσεων φύ- ... λαττε τῇ παρθενικῇ σου χειρί.

846. Οὓς

832. Πόρον ἀμφὶ) περὶ τὸν μέσον πόρον δύο ποταμῶν τῆς Δίρκης· ... τὸ περὶ τὸ μέσον τοῦ πόρου τῶν δύο ποταμῶν τῆς Δίρκης τῆς πηγῆς. ... γὰρ ποταμοὶ διαιροῦνται ἀπὸ τῆς Δίρκης, ὁ Ἰσμηνὸς καὶ ἡ ὁμο- ... ως τῇ πηγῇ καλουμένη Δίρκη. 838. Μεταμειβ.) ἄλλοτε διά- ... ν ἔχουσα, ἐπὶ μεγίστη δὲ ἐσχάτη πολιορκίᾳ τοῦ Ἄρεος ἔστηκεν. ... Τίθεσο) ἤγουν ἐρείδουσα, ἀσφαλιζομένη τὸν πόδα τὸν ἐμόν.

Οὓς ἔλαβον οἰωνίσματ᾽ ὀρνίθων μαθών,
Θάκοισιν ἐν ἱεροῖσιν, οὗ μαντεύομαι.
Τέκνον Μενοικεῦ, παῖ Κρέοντος, εἰπέ μοι,
Πόση τις ἡ ᾽πίλοιπος ἄστεως ὁδὸς
Πρὸς πατέρα τὸν σόν; ὡς ἐμὸν κάμνει γόνυ
Πυκνὴν δὲ βαίνων ἤλυσιν μόλις περῶ.
Κρέ. Θάρσει· πέλας γάρ, Τειρεσία, φίλοισι σοῖς
Ἐξορμίσαι σὸν πόδα· λαβοῦ δ᾽ αὐτοῦ, τέκνον·
« Ὡς πᾶσ᾽ ἀπήνη, πούς τε πρεσβύτου, φιλεῖ
« Χειρὸς θυραίας ἀναμένειν κουφίσματα.
Τει. Εἶεν, πάρεσμεν· τί με καλεῖς σπουδῇ, Κρέον;
Κρέ. Οὔπω λελήσμεθ᾽· ἀλλὰ σύλλεξαι σθένος,
Καὶ πνεῦμ᾽ ἄθροισον, αἶπος ἐκβαλὼν ὁδοῦ.
Τει. Κόπῳ πάρειμι γᾶς Ἐρεχθειδῶν ἄπο
Δεῦρ᾽ ἐκκομισθεὶς τῆς πάροιθεν ἡμέρας.

Κἀκεῖ

ΣΧΟΛΙΑ.

846. Οὓς ἔλαβον) οἱ γὰρ οἰωνοσκόποι ἐν δέλτοις ἐσημειοῦντο τὰς πτήσεις, ἵνα διὰ μνήμης ἄγοιεν. εἰ δὲ τυφλὸς ἦν, μὴ θαυμάσωμεν. ἡ γὰρ θυγάτηρ ἔμπειρος οὖσα, ἐσημειοῦτο τὰς πτήσεις. φασὶ δὲ αὐτὴν μετὰ τὸν θάνατον τοῦ πατρὸς, ἀρίστην μάντιν γενέσθαι. οἱ δὲ θᾶκοι, τόπος Θήβης, ὅπου ἐμαντεύετο ὁ Τειρεσίας. 848. Τέκνον Μενοικεῦ) ἀντὶ τοῦ, τέκνον ἐμὸν κατ᾽ ἡλικίαν, πόσου διαστήματός ἐστιν ἡ ἐπίλοιπος ἢ ἔμπροσθεν ὁδὸς μέχρι τοῦ ἄστεος, ἢ πρὸς τὸν πατέρα σου; κοπιῶσι γὰρ οἱ πόδες μου, καὶ μόλις περιπατῶ ζωτικῇ βαδίσας βάδισιν. ἐντὸς γὰρ τοῦ ἄστεος τὴν πορείαν ἐποιοῦντο. διὰ τοῦτο φησίν, ἡ τοῦ ἄστεος ὁδός. 852. Θάρσει, ὦ Τειρεσία) ἔξεστι σοι γὰρ πλησίον τῶν φίλων στῆσαι τὸν πόδα. γράφεται καὶ ἐξόρμισαι, ἀντὶ τοῦ στῆσον τὸν σὸν πόδα. ἡ μεταφορὰ δὲ ἀπὸ τῶν νηῶν τῶν εἰς λιμένα καταγομένων. ἅψαι δὲ αὐτοῦ καὶ ἀντιλαβοῦ, τέκνον Μενοικεῦ, ὅτι πᾶσα ἀπήνη, καὶ ποὺς πρεσβύτου εἴωθε περιμένειν χειρὸς ἀλλοτρίας χειραγωγήματα. 854. Ὡς πᾶσ᾽ ἀπήνη) ὥσπερ γὰρ ἅρμα, μὴ ὄντος τοῦ κινοῦντος ἡνιόχου, ἀκίνητον μένει, οὕτω καὶ πρεσβύτης, εἰ μή τις αὐτὸν ἀνακουφίζει, ἑαυτῷ χρῆσθαι οὐ δύναται. 856. Εἶεν) ἔστω ταῦτα, διατί με, ὦ Κρέον, μετεκαλέσω ἐν σπουδῇ. 857. Οὔπω λελήσμεθα) οὐδαμῶς ἐπιλαθόμεθα δὲ

ὅ

Quas accepi servans auguria avium,
In sacris sedibus, ubi vaticinor.
O fili Menœceu, nate Creontis, dic mihi,
Quàm longa est reliqua urbis via,
Ad tuum patrem? quia genu meum defatigatum est:
Crebrum enim incedens gressum, ægrè conficio *longum iter*.

Cre. Confide; prope enim ades, ô Tiresia; ad amicos tuos
Applicasti pedem tuum: teneas eum, fili:
“ *Nam* ut omnis currus, & pes senis, solet
“ Manûs externæ expectare levamina.

Tir. Sit ita, adsumus: quid vocas me tam celeritèr, Creon?

Cre. Nondum obliti sumus; sed collige robur,
Et spiritum collige, ejiciens anhelationem, quam contraxisti in via.

Tir. Magno labore adsum ab Atheniensibus,
Huc deductus superiori die.

Nam

ΣΧΟΛΙΑ.

σε μετεκαλεσάμεθα, ἀλλ' ἀνάλαβε τὴν δύναμιν, καὶ τὴν πνοὴν ύλλεξον, ἐκβαλὼν τὸ ἆσθμα, ὅπερ ἡ ὁδὸς ἐποίησεν. 858. Καὶ πνεῦμ' ἄθροισον) διὰ τοῦτο πνεῦμα αὐτὸν ἀθροῖσαι φησὶν, ἵνα τὴν ὁδὸν ἐκ τῆς ὁδοῦ αὐτῷ συμβᾶσαν θερμότητα ἀναψύξῃ διὰ τοῦ ἔξωθεν πνεόμενον. 858. Κάπος) νῦν τὸ κάμματον, ἤτοι τὸ τῆς ὁδοῦ ἆσθμα κινούμενον. ἄλλοι δὲ κάπος τὸ ὕψος, νῦν δὲ καταχρηστικῶς τὸ μῆκος, ὡς ἐν τοῖς ὀλίθελος ἐν Καλλιμάχῳ. 859. Κόπῳ πάρειμι) χθὲς τῇ παρελθούσῃ ἡμέρᾳ, ἀπὸ τῆς γῆς τῶν Ἀθηναίων παραπεμφθεὶς, δεῦρο ζυγὸν κόπῳ παραγέγονα. γράφεται δὲ καὶ παρεῖμαι, ἀντὶ τοῦ ὑπὸ τοῦ κόπου παραλέλυμαι. 861. Κἀκεῖ

846. Οἰωνίσμ.) τὰς μαντείας τῶν ὀρνίθ. νοήσας, σκεψάμενος ἐν τῷ θρόνῳ τῷ ἱερῷ ὅπου μαντεύομαι. 851. Συνεχῆ δὲ πορευόμενος πορείαν, μόλις κινοῦμαι. ἀπὸ γὰρ τῶν Ἀθηνῶν ἐλθὼν, οὔπω ἱκανῶς ἀναπεπαυσάμενος, καὶ ταύτην μετακληθεὶς ἔρχομαι τὴν ὁδόν. 853. Τέκνον) πρὸς τὸν Μενοικέα. 854. Φιλεῖ, εἴωθεν. 859. Ἐρεχθ.) ἀπὸ τῶν Ἀθηναίων, οἱ ἀπὸ τοῦ Ἐρεχθέως κατηγόροντο.

Κἀκεῖ γὰρ ἦν τις πόλεμος Εὐμόλπου δορός,
Οὗ καλλινίκους Κεκροπίδας ἔθηκ' ἐγώ,
Καὶ τόνδε χρυσοῦν στέφανον, ὡς ὁρᾷς, ἔχω,
Λαβὼν ἀπαρχὰς πολεμίων σκυλευμάτων.
Κρέ. Οἰωνὸν ἐθέμην καλλίνικα σὰ στέφη·
Ἐν γὰρ κλύδωνι κείμεθ', ὥσπερ οἶσθα σύ,
Δορὸς Δαναϊδῶν, καὶ μέγας Θήβαις ἀγών.
Βασιλεὺς μὲν οὖν βέβηκε κοσμηθεὶς ὅπλοις
Ἤδη πρὸς ἀλκὴν Ἐτεοκλῆς Μυκηνίδα·
Ἐμοὶ δ' ἐπέσταλκ' ἐκμαθεῖν σέθεν πάρα,
Τί δρῶντες ἂν μάλιστα σώσαιμεν πόλιν.
Τει. Ἐτεοκλέους μὲν οὕνεκ' ἂν κλῄσας στόμα,
Χρησμοὺς ἐπέσχον· σοὶ δ', ἐπεὶ χρῄζεις μαθεῖν,
Λέξω· νοσεῖ γὰρ ἥδε γῆ πάλαι, Κρέον,
Ἐξ οὗ τεκνώθη Λάϊος βίᾳ θεῶν,

Πόσιν

ΣΧΟΛΙΑ.

861. Κἀκεῖ γὰρ) καὶ ἐκεῖ γὰρ ἦν πόλεμος, ὅν τινα ἐποίησεν Εὔμολπος, ὅπου νικηφόρους τοὺς Ἀθηναίους ἐποίησα. καὶ τοῦτον τὸν χρυσοῦν στέφανον, ὡς βλέπεις, φορῶ, λαβὼν ὡς ἐξαίρετον ἀπαρχὴν ἀπὸ τῶν πολεμίων σκυλευμάτων αὐτόν. ἐπίτηδες δὲ πρὸς ἔπαινον τῶν Ἀθηναίων ἀνακεχρόνισται, τέσσαρσι γενεαῖς προέχοντα τοῦ Θηβαϊκοῦ πολέμου. Ἄλλως. Τέσσαρσι γενεαῖς τοῦ Θηβαϊκοῦ πολέμου, πρεσβύτερος ἐστιν Εὐμόλπου ὁ πρὸς Ἐρεχθέα πόλεμος. Ἐρεχθέως μὲν γὰρ Κέκροψ ὁ β', οὗ Πανδίων, οὗ Αἰγεύς, οὗ Θησεὺς ὁ τῶν ἐν Καδμείᾳ πεσόντων τὰ σώματα ἀνελόμενος. ἦν δὲ ὁ Εὔμολπος Θρᾳκῶν βασιλεύς, ὃς λέγεται ἐλθεῖν εἰς Ἐλευσῖνα, ἐπὶ τὸ μυηθῆναι τὰ Ἐλευσίνια, καὶ πρῶτος ἱστορεῖται ξένος μυηθῆναι, διὸ καὶ ἀπ' αὐτοῦ ἄρχοντες ἐγένοντο ἱεροῖς τισιν Εὐμολπίδαι Ἀθήνησιν. οὗτος συμμαχήσειν Ἐλευσινίοις, στασιάζουσιν κατὰ τοῦ βασιλέως Ἐρεχθέως. καὶ ἡττηθεὶς ἐφονεύθη. ὕστερον δὲ κατὰ πυθόχρηστον ἐτιμήθη, καὶ ὁ τάφος αὐτοῦ ἱερώθη, διὰ τὸ πρῶτον τὰ Ἐλευσίνια μεμυῆσθαι. τινὲς δὲ υἱὸν Ποσειδῶνος τὸν Εὔμολπον φασίν, ὃς ἡττηθεὶς ὑπὸ τῆς Ἀθηνᾶς εἰς τὴν ἔριν τὴν περὶ τῆς Ἀττικῆς διὰ τῆς ἐλαίας, τὸν υἱὸν αὐτοῦ κατὰ τῶν Ἀθηναίων ἐκίνησεν. χρυσοῦν δὲ στέφανον εἶπεν, ἐπειδὴ στεφάνους ἦγον ἐν τοῖς πολέμοις, ἵνα νικῶντες ἀναδῶνται). 864. Ἀπαρχὰς)

ἀπαρχὰ

Nam & illic quoddam erat bellum contra Eumolpum,
Cujus gloriosos victores ego Athenienses feci;
Et hanc auream coronam, quam vides, habeo,
Accipiens primitias spoliorum hostilium.
Cre. Duco esse bonum signum victricem tuam coronam:
In magnâ enim procellâ positi sumus, sicut scis,
Belli Græcorum; & magnum certamen est Thebis.
Rex quidem abiit ornatus armis,
Jam ad pugnam Eteocles Argivam:
Et mihi mandavit, ut audiam ex te,
Quid facientes, maximè servemus urbem.
Tir. Eteoclis quidem causâ clauso ore
Reticerem oracula: tibi verò quandoquidem vis audire,
Dicam. Laborat enim hæc terra jam pridem, ô Creon,
Ex quo Laius suscepit liberos invitis diis,

Et

ΣΧΟΛΙΑ.

ἀπαρχὴ κυρίως ἐπὶ καρπῶν, ὅταν περὶ παντὸς ἄλλου τῷ Θεῷ τις ἀποτέμνηται καὶ ἀναθῇ μοῖραν. 865. Οἰωνὸν) σημαντικὸν, μαντευτικὸν, ἀγαθὸν σημεῖον ἐδεξάμην καὶ ἐθέμην τοῦ ὑμᾶς νικῆσαι, τὸν ἐπὶ τῇ νίκῃ δοθέντα σοι στέφανον. ἐν κλύδωνι γὰρ κείμεθα, ὡς αὐτὸς οἶδας, τοῦ πολέμου τῶν Ἀργείων. καὶ δὴ καὶ μεγάλη ἐπὶ ταῖς Θήβαις ἀγωνία· ὁ μὲν βασιλεὺς Ἐτεοκλῆς πρὸ ὀλίγου ὁπλισθεὶς ὅπλοις ἐξῆλθε πρὸς μάχην τῶν Ἀργείων· ἐμοὶ δὲ ἐνετείλατο παρὰ σοῦ μαθεῖν, τί ποιοῦντες τὴν πόλιν ῥυσαίμεθ' ἄν. 872. Ἐτεοκλέους μὲν) ἐσιώπων ὁ Ἐτεοκλῆς αἴτιον τῆς λύπης τοῦ μάντεως, Σοὶ μὲν γὰρ ἤδη εἰς λόγους ἀφίξεται· Ἐγὼ δὲ τέχνην μαντικὴν ἐμεμψάμην, ἀντὶ τοῦ ἐξεφαύλισα. 875. Ἐξ οὗ τεκνώθη) τέκνων πατὴρ ἐγένετο, ἀντὶ τοῦ ἐτέκνωσε. κατὰ ἀπαρίθμησιν δὲ προάγει τὸν λόγον· ἀπὸ τοῦ Λαΐου γὰρ ἀρξάμενος, κατέβη εἰς τοὺς περὶ τὸν Ἐτεοκλέα καὶ Πολυνείκην.

877. Αἰ

861. Εὐμόλπ. δὲ.) ἦγεν ἐποίει ἡ δύναμις τοῦ Εὐμ. 862. Ἔθηκ. ἐποίησα. 872. Ἕνεκα μὲν τοῦ Ἐτεοκλέους κλείσας ἂν τὸ στόμα τὰς μαντείας ἐπεῖχον, ἀντὶ τοῦ κατεῖχον. 875. Βίᾳ) μὴ βουλήσει τῶν θεῶν.

Πόσιν τ' ἔφυσε ματρὶ μέλεον Οἰδίπουν.
Αἵ θ' αἱματωποὶ δεργμάτων διαφθοραὶ
Θεῶν σόφισμα, κἀπίδειξις Ἑλλάδι.
Ἃ συγκαλύψαι παῖδες Οἰδίπου χρόνῳ
Χρήζοντες, ὡς δὴ θεοὺς ὑπεκδραμούμενοι,
Ἥμαρτον ἀμαθῶς. οὔτε γὰρ γέρας πατρὶ,
Οὔτ' ἔξοδον διδόντες, ἄνδρα δυστυχῆ
Ἐξηγρίωσαν. ἐκ δ' ἔπνευσ' αὐτοῖς ἀρὰς
Δεινὰς, νοσῶν τε, καὶ πρὸς ἠτιμασμένος.
Ἃ 'γὼ τί δρῶν, ὁποῖα δ' οὐ λέγων ἔπη,
Εἰς ἔχθος ἦλθον παισὶ τοῖσιν Οἰδίπου;
Ἐγγὺς δὲ θάνατος αὐτόχειρ αὐτοῖς, Κρέον.
Πολλοὶ δὲ νεκροὶ περὶ νεκροῖς πεπτωκότες,
Ἀργεῖα καὶ Καδμεῖα μίξαντες βέλη,
Πικροὺς γόους δώσουσι Θηβαίᾳ χθονί.
Σύ τ', ὦ τάλαινα συγκατασκάπτῃ πόλις,
Εἰ μὴ λόγοισι τοῖς ἐμοῖς τις πείσεται.
Ἐκεῖνο μὲν γὰρ πρῶτον ἦν, τῶν Οἰδίπου

Μηδένα

ΣΧΟΛΙΑ.

877. Αἵ θ' αἱματωποὶ) ἃ ἐξ οὗ ἐγένοντο αἱ ᾑμαγμέναι καὶ πεφυρμέναι τῶν ὀφθαλμῶν τυφλώσεις, διαφθοραὶ αἱματώδεις. 878. Θεῶν σόφισμα) αὕτη ἡ ἐπίνοια θεῶν, ἵνα πᾶσι δειχθῇ μὴ παρακούειν θεῶν, καὶ ἀπόδειξις δὲ, ἤγουν παραίνεσις εἰς τὸ μὴ παραβαίνειν τὸ θεῖον. 880. Ὡς δὴ θεοὺς) ὡς δὴ μέλλοντος οὐ τούτου τὴν τῶν θεῶν κρίσιν καὶ ἀγανάκτησιν ὑπεκβῆναι, καὶ μέχρι τούτου οἰόμενοι στήσειν αὐτοῖς τὸ κακὸν τοῖς θεοῖς, διὰ τοῦ συγκλείειν τὸν πατέρα περιτρέχοντες. κεκριμένον δὲ ἦν θεοῖς, ὥς τι καὶ αὐτοὺς ἀλλήλους ἀποκτεῖναι. 881. Ἥμαρτον ἀμαθῶς) ἀπέτυχον ἀπαιδεύτως. 882. Οὔτ' ἔξοδον) ἐλευθερίαν περιέχοντες τῆς οἰκίας. 883. Ἐξηγρίωσαν) εἰς θυμὸν ἐκίνησαν. Ἐκ δ' ἔπνευσ') ἐξεφώνησε κατ' αὐτῶν κατάρας χαλεπὰς τυφλὸς ὤν. 884. Καὶ πρὸς ἠτιμασμένος) σὺν τούτῳ δὲ καὶ καταπεφρονημένος, καὶ ὑβριζόμενος. 885. Ἃ 'γὼ) λείπει διὰ, δι' ἃ λέγων. τὸ δὲ οὐ ἀπὸ κοινοῦ. ὁ δὲ νοῦς, πράττων ἃ λέγων πολλὰ, ἐμισήθην ὑπὸ τῶν παίδων τοῦ Οἰδίποδος.

Et genuit maritum matri miserum Oedipum,
Illæque cruentæ oculorum lacerationes
Deorum *sunt* documentum, & exemplum Græciæ;
Quæ occultare filii Oedipi longo tempore
Volentes, tanquam effugituri Deos,
Erraverunt stultè: neque enim honorem patri,
Neque liberum exitum dantes, hominem miserum
Irritaverunt: edidit enim in eos imprecationes
Diras, languensq;, & prætereà ignominia affectus.
Propter quæ ego quid non faciens, quidve non dicens,
Veni in odium filiorum Oedipi?
Propè autem adest mors ipsorum manibus ventura ipsis, ô Creon,
Multi verò mortui juxta mortuos lapsi,
Argiva & Thebana miscentes tela,
Acerbum dabunt luctum terræ Thebanæ.
Tu verò, ô misera urbs, simul evertêris,
Nisi sermonibus meis aliquis obtemperaverit.
Nam illud quidem primum erat, ex filiis Oedipi Nemi-

ΣΧΟΛΙΑ.

...ν. 886. Εἰς ἔχθος ἦλθον.) γράφεται καὶ εἰς ὄχλον ἦλθον, τοῦ εἰς ὄχλησιν. 887. Αὐτόχειρ) ἀντὶ τοῦ αὐτοχείρως ἀμφότεροι φονευθήσονται. Ἄλλως. Αὐτόχειρ θάνατος κυρίως, ὃν αὐτός τις ἑαυτὸν θανατώσει· ἐνταῦθα δὲ, τὸ ταῖς χερσὶν ἀλλήλων αὐτοὺς ...τεθνάναι καὶ μὴ ὑπὸ χειρῶν ἄλλων, αὐτόχειρα θάνατον ἐκάλεσεν ...σήσας ἠρέμα τὴν σημασίαν τῆς λέξεως. 889. Μίξαντες) ...ργήσαντες. 893. Ἐκεῖνο μὲν γὰρ) ἔθος ποιητικὸν, τὸ ἀπὸ τοῦ ...ρχεσθαι. Ὅμηρος· Ὦ φίλοι, ἔνδον γάρ τις ἐποιχομένη μέγαν ... καὶ Μένανδρος· Ἐκ γειτόνων γὰρ οἶκον εἶ τοιχώρυχε. 893. Πρῶτον

...79. Ἃ κρύψαι παῖδες Οἰδίπ. διὰ τῆς παρασιωπήσεως τοῦ χρόνου ...ντες, καθὰ δὴ τὴν τῶν θεῶν ἀγανάκτησιν ἐκφευξόμενοι, ἀπε... ἀνοήτως, ἤγουν διὰ ἀγνωσίαν. 890. Πικρ.) ἀλγεινούς.

Μηδένα πολίτην, μήδ' ἄνακτ' εἶναι χθονός,
Ὡς δαιμονῶντας κἀνατρέψοντας πόλιν.
« Ἐπεὶ δὲ κρεῖσσον τὸ κακόν ἐστι τἀγαθοῦ,
Μί' ἐστιν ἄλλη μηχανὴ σωτηρίας.
Ἀλλ', οὐ γὰρ εἰπεῖν οὔτ' ἐμοὶ τόδ' ἀσφαλὲς,
« Πικρόν τε τοῖσι τὴν τύχην κεκτημένοις,
« Πόλει παρασχεῖν φάρμακον σωτηρίας,
Ἄπειμι, χαίρεθ'. εἷς γὰρ ὢν, πολλῶν μέτα
Τὸ μέλλον, εἰ χρὴ, πείσομαι· τί γὰρ πάθω;
Κρέ. Ἐπίσχες αὐτοῦ, πρέσβυ. Τ. μὴ 'πιλαμβάνου.
Κρέ. Μεῖνον· τί φεύγεις; Τ. ἡ τύχη σ', ἀλλ' οὐκ ἐγώ.
Κρέ. Φράσον πολίταις καὶ πόλει σωτηρίαν.
Τει. Βούλει σὺ μέν τοι, κοὐχὶ βουλήσει τάχα.
Κρέ. Καὶ πῶς πατρῴαν γαῖαν οὐ σῶσαι θέλω;
Τει. Θέλεις ἀκοῦσαι δῆτα, καὶ σπουδὴν ἔχεις;
Κρέ. Εἰς γὰρ τί μᾶλλον δεῖ προθυμίαν ἔχειν;
Τει. Κλύοις ἂν ἤδη τῶν ἐμῶν θεσπισμάτων.
Πρῶτον δ' ἐκεῖνο βούλομαι σαφῶς μαθεῖν,
Ποῦ 'στιν Μενοικεὺς, ὅς με δεῦρ' ἐπήγαγεν;

Κρέ. Ὁδ'

ΣΧΟΛΙΑ.

τον κτλ) ἀντὶ τοῦ πρέπον, αἱρετώτερον, ἐπικρατέστερον, μηδένα τῶν καταγομένων ἀπὸ τοῦ Οἰδίποδος μὴ βασιλέα, μήτε πολίτην ὑπάρχειν τῆς χθονὸς, ὡς κακοδαιμονοῦντας, ὡς σκληρῷ δαίμονι τῇ ἀπανθρώπῳ χρωμένους. Ἄλλως. Ἐκεῖνο μὲν γὰρ ἦν ἄριστον, μηδένα ἀπὸ τῶν παίδων τοῦ Οἰδίποδος ἄνακτα εἶναι τῆς χθονὸς, μηδὲ πολίτην, ἀντὶ τοῦ οἰκήτορα. Πολῖται οἱ πόλιν οἰκοῦντες ἁπλῶς, καὶ ἐν πόλει τὴν ἀναστροφὴν ποιούμενοι· Ἀστοὶ δὲ οἱ ἰθαγενεῖς πολῖται· ἐν τοῖς μὲν ἀντίκειν) οἱ ἐν τοῖς ἀγροῖς τὴν οἴκησιν ἔχοντες· τοῖς δὲ ἀστοῖς οἱ ξένοι. 896. Ἐπεὶ δὲ κρεῖσσον) ἐπεὶ δὲ ἐπικρατέστερόν ἐστι τὸ κακὸν τοῦ ἀγαθοῦ. καὶ Ὅμηρος· Ἐπεὶ τὰ χερείονα νικᾷ. ἔστιν ἄλλη μία μέθοδος, καὶ ἐπίνοια σωτηρίας, ἀλλ' οὐκ ἀκίνδυνον, οὔτ' ἐμοὶ τόδε εἰπεῖν, καὶ λυπηρὸν τὸ σύμβαμα τῶν κλήρων τοῖς κεκτημένοις τὴν δυστυχίαν, ὥστε παρασχεῖν τῇ πόλει θεραπείας φάρμακον, ἀπελεύσομαι, χαίρετε. εἷς

γὰρ

Neminem civem, neque regem debere esse terræ:
Quòd malis agitentur geniis, & eversuri sunt
urbem.
Postquam autem malum potentius fuit bono,
Una restat alia ratio salutis:
Sed (non enim est mihi tutum hoc dicere,
Acerbumque est hanc fortunam habentibus,
Urbi exhibere pharmacum salutis)
Abeo, valete. Unus enim cum multis,
Quod futurum est, si oportet, patiar: quid enim
patiar?
. Expecta hîc, senex. *Tir*. Nè me prehendas.
. Mane: quid fugis? *Tir*. Fortuna te *fugit*,
non ego.
. Dicito salutem civibus & urbi.
Tu *modò* quidem vis: sed mox non voles.
Quomodo verò non volo servare terram patriam?
Vis demum audire, & *rem scire* studes?
Ad quid enim aliud *audiendum* me *majorem*
promptitudinem oportet habere?
Audies igitur jam mea oracula:
Sed prius hoc certo cognoscere volo,
Ubi nam sit Menœceus, qui me huc adduxit.
Cre. Ille

ΣΧΟΛΙΑ.

ν αὐτὸς μετὰ πολλῶν Θηβαίων ἀπολῦμαι· τῦτο γὰρ εἵμαρται. Ἐπίσχες) ἐπίσχες σεαυτὸν, ὦ πρέσβυ, καὶ καρτέρησον. Μὴ μβάνε) μή μου ἅπτε. 904. Μεῖνον) περιμεῖνον. τί φεύ-Τύχη σ') ἡ ἀγαθὴ τύχη σε φεύγει, οὐκ ἐγώ. 909. Εἰς μᾶλλον) δεῖ προθυμίαν ἔχειν, ἢ περὶ τὸ σώζειν τὴν πα-. Ὅμηρος· Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης. Κλύοις ἂν ἤδη) ἄκουε δὴ νῦν.

916. Βέλ-

18. Οὐκ ἐστὶ γὰρ οὔτε ἐμοὶ τῦτο ἀσφαλὲς, ἤγουν ἀνεμπόδιστον εἰπεῖν. 903. Μὴ καθάψῃ μου. 904. Διὰ τί σπουδάζεις ... 907. Οὐ σῶσ. κινδυνῶν ῥύσασθαι;

Κρέ. Ὅδ' οὐ μακρὰν ἄπεστι, πλησίον δέ σου.
Τει. Ἀπελθέτω νυν θεσφάτων ἐμῶν ἑκάς.
Κρέ. Ἐμὸς πεφυκὼς παῖς, ἃ δεῖ, σιγήσεται.
Τει. Βούλει παρόντος δῆτά σοι τοῦτο φράσω;
Κρέ. Κλύων γὰρ ἂν τέρποιτο τῆς σωτηρίας.
Τει. Ἄκουε δὴ νυν θεσφάτων ἐμῶν ὁδόν,
Ἃ δρῶντες ἂν σώσαιτε Καδμείων πόλιν.
Σφάξαι Μενοικέα τόνδε δεῖ σ' ὑπὲρ πάτρας
Σὸν παῖδ', ἐπειδὴ τὴν τύχην αὐτὸς καλεῖς.
Κρέ. Τί φής; τίν' εἶπας τόνδε μῦθον, ὦ γέρον;
Τει. Ἅπερ πέφυκε, ταῦτα κἀνάγκη σε δρᾶν.
Κρέ. Ὦ πολλὰ λέξας ἐν βραχεῖ χρόνῳ κακά.
Τει. Σοί γ', ἀλλὰ πατρίδι μεγάλα καὶ σωτήρια.
Κρέ. Οὐκ ἔκλυον, οὐκ ἤκουσα, χαιρέτω πόλις.
Τει. Ἀνὴρ ὅδ' οὐκ ἔτ' αὐτός, ἐκνεύει πάλιν.
Κρέ. Χαίρων ἴθ'· οὐ γὰρ σῶν με δεῖ θεσπισμάτων.

Τει. Ἀπό-

ΣΧΟΛΙΑ.

916 Βούλει παρόντος) τὴν διήγησιν ἔδει, φησὶ, μὴ ἀντικρὺ τοῦ Μενοικέως λέγειν, ἤτοι τὰ περὶ τῆς σφαγῆς αὐτοῦ. ἀλλ' ὥσπερ καὶ ἑτέρωθι ποιεῖ, δεῦρ' ἔλθ' ἐς οὖς σοι. λέγοι δ' ἄν τις, ὅτι γενναῖον ἐστι τὸ πρόσωπον, καὶ φιλόδοξον, ὡς καὶ τὴν ψυχὴν προέσθαι ὑπὲρ εὐκλείας. 918. Ἄκουε δὴ) τῶν ἐμῶν μαντευμάτων τὴν μέθοδον, ἅ τινα ποιοῦντες σώσαιτ' ἂν τὴν πόλιν τῶν Θηβαίων, χρεία ἐστὶν ὑπὲρ τῆς πατρίδος σφάξαι τὸν σὸν παῖδα τοῦτον τὸν Μενοικέα, ἐπειδὴ τὴν εὐτυχίαν τῆς πόλεως αὐτὸς ἀναζητεῖς. 922. Τί φής) τί λέγεις, τίς ἐστιν ὁ λόγος οὗτος, ὃν εἶπας, γέρον. γράφεται δὲ οὕτως, Τί φής; ἐμὸν παῖδ' ἕνεκα γῆς σφάξαι θέλεις; 925. Σοίγε) σοὶ μόνῳ κακά. 926. Χαιρέτω πόλις) φθειρέσθω, οἰμωζέτω. 927. Οὐκέτ' αὐτὸς) ἀντὶ τοῦ οὐκέτι μένει ὁ αὐτός· τὸ αὐτὸς χωρὶς μὲν τοῦ ἄρθρου ἀναφορὰν δηλοῖ μόνον· μετὰ δὲ τοῦ ἄρθρου ἐνίοτε μὲν ἀναφορὰν, οἷον ὁ δεῖνα ἐποίησε τόδε, ὁ αὐτὸς ἐποίησε δὲ τόδε. ἐνίοτε δὲ ταυτότητα, ἤγουν ὁμοίωσιν, ἀπαραλλαξίαν, οἷον ὁ δεῖνα ὁ αὐτός ἐστι τῷ δεῖνι. καὶ ἀνὴρ ὅδε οὐκέτι ὁ αὐτὸς μένει, ἤγουν ἐνήλλακται τὴν γνώμην· καὶ οὐχ ὁποῖος ἦν ἤδη περὶ τούτου, αὐτὸ

δὲ

Cre. Ille non procul abest; propè verò te astat.
Tir. Abeat nunc procul à meis oraculis.
Cre. Filius ex me natus tacebit, quæ oportebit. 915
Tir. Vis igitur, ut eo præsente tibi hoc dicam?
Cre. Audiens enim voluptatem capiet ex re tam salutari.
Tir. Audi igitur nunc oraculorum meorum viam,
Quæ facientes servabitis Cadmeorum urbem:
Mactari à te Menœcea hunc oportet pro patriâ,
Filium tuum: quandoquidem hanc fortunam ipse accersis. 921
Cre. Quid ais? cujusmodi sermonem hunc dixisti ô Senex?
Tir. Ut res ferunt; & hæc oportet te facere.
Cre. O quam multa mala parvo tempore dixisti!
Tir. Tibi quidem, sed patriæ magna & salutaria.
Cre. Non percepi, non intellexi, valeat urbs. 926
Tir. Vir iste non amplius idem *est: sed* sententiam retractat iterum.
Cre. Lætus abi: nihil enim opus est mihi tuis oraculis? *Tir.* Num

ΣΧΟΛΙΑ.

δὴ τῦτο ἀπαραλλάκτως φυλάττῃ. ἐνταῦθα δὲ λείπῃ τὸ ἄρθρον ποιητικῶς. 'Εκνεύει πάλιν) ὑποςρέφῃ εἰς τὐπίσω, ἀναχωρεῖ, ἔξαρνος γίνεται. 928. Χαίρων ἄπιθι) ὐ γὰρ χρεία μοι ἐςὶ τῶν σῶν μαντευμάτων. 929. 'Από-

914. 'Απ. χωρισθήτω τῶν ἐμῶν μαντευμάτων μακρὰν. θέσφατα, θεσπίσματα, χρησμοὶ τὸ αὐτό. ἐλέγοντο δὲ ἐπὶ θεῶν μαντεῖαι, ἢ μαντεύματα, ἐπὶ μαντέων ἀνθρώπων. 923. 'Εςὶ τῷ πράγματι, ἤγουν ἄλλο τι οὐκ ἔςιν εἰς σωτηρίαν τῆς πόλεως ὅπερ ἐςὶ τῦτο καὶ ἀνάγκη σε δρᾷν. 926. Οὐ κλύω, οὐκ ἀκύω, ὀφείλων εἰπεῖν ὅτι ὡς θέλῃ σφαττέτω ἡ πόλις, τὰ κατ' αὐτὴν ὡς θέλῃ οἰκονομείτω. ὁ δὲ εὐφημοτέρῳ χρησάμενος λόγῳ, ὡς ἐν εὐχῆς σχήματι, χαιρέτω φησὶν, ἤγουν ἐν χαρᾷ ἔςω. συνηθὲς δὲ τῦτο καὶ τοῖς κοινοῖς, τὸ παραιτῦντας ἔργον καὶ χαίρειν λέγειν αὐτῷ, εἰ δὲ αὐτὸ βλάβην ὡς ἔργον ἀνακύπτοι μεῖζον.

Τει. Ἀπόλωλεν ἡ ἀλήθει', ἐπεὶ σὺ δυστυχεῖς;
Κρέ. Ὦ πρὸς σὲ γονάτων, καὶ γερασμίου τριχός.
Τει. Τί προσπίτνεις με; δυσφύλακτ' αἰτῇ κακά.
Κρέ. Σίγα· πολίταις τούσδε μὴ λέξῃς λόγους.
Τει. Ἀδικεῖν κελεύεις μ'; οὐ σιωπήσαιμεν ἄν.
Κρέ. Τί δή με δράσεις; παῖδά μου κατακτανεῖς;
Τει. Ἄλλοις μελήσει ταῦτ', ἐμοὶ δ' εἰρήσεται.
Κρέ. Ἐκ τοῦ δ' ἐμοὶ τόδ' ἦλθε καὶ τέκνῳ κακόν;
Τει. Ὀρθῶς μ' ἐρωτᾷς, κεἰς ἀγῶν' ἔρχῃ λόγων.
Δεῖ τόνδε θαλάμαις, οὗ δράκων ὁ γηγενὴς
Ἐγένετο, Δίρκης ναμάτων ἐπίσκοπος,
Σφαγέντα, φόνιον αἷμα γῇ δοῦναι χοάς,
Κάδμου παλαιῶν Ἄρεος ἐκ μηνιμάτων,
Ὃς γηγενεῖ δράκοντι τιμωρεῖ φόνον.
Καὶ ταῦτα δρῶντες, σύμμαχον κτήσεσθ' Ἄρην.
Χθὼν δ' ἀντὶ καρποῦ καρπὸν, ἀντὶ θ' αἵματος
Αἷμ' ἢν λάβῃ βρότειον, ἕξετ' εὐμενῆ

ΣΧΟΛΙΑ.

929. Ἀπόλωλεν ἡ ἀλήθεια) τοῦτο κατ' ἐρώτησιν ὁ Τειρεσίας φησί. 930. Ὦ πρὸς σὲ) λείπει ἱκετεύω σε, ὦ Τειρεσία, προσπίπτω σοι κατὰ τῶν γονάτων, ἢ ἕνεκα, καὶ τῆς τιμίας τριχὸς ἕνεκα. 933. Ἀδικεῖν κελεύεις) προτρέπων με δηλονότι, μὴ λέγειν τὸ δίκαιον, οὐκ ἔστι δυνατὸν ἵνα σιωπήσωμεν. 934. Ἄλλοις μελήσει) ταῦτ' ἄλλοις ἔσται διὰ φροντίδος, τὸ κτανεῖν δηλονότι, ὑπ' ἐμοῦ δὲ λεχθήσεται. 936. Ἐκ τοῦ δ' ἐμοὶ) ἀπὸ ποίας αἰτίας τόδε τὸ κακὸν ἦλθεν ἐμοὶ καὶ τῷ παιδί. 937. Ὀρθῶς) ἁρμοδίως μ' ἐρωτᾷς, καὶ εἰς ἐξέτασιν ἔρχῃ τῶν ἐμῶν λόγων· πρέπει τόνδε ἐν τῇ φωλεᾷ, ὅπου ὁ γηγενὴς δράκων ἐγένετο φύλαξ ναμάτων τῆς Δίρκης, σφαγέντα τὸ ἀπὸ τῆς σφαγῆς αἷμα δοῦναι θυσίας τῇ γῇ, διὰ μηνίματα τὰ παλαιὰ τοῦ Ἄρεως, τὰ κατὰ τοῦ Κάδμου, ὃς Ἄρης ἐκδικεῖ τὸν φόνον τοῦ ἐκ γῆς γεννηθέντος δράκοντος, ὃν ἐφόνευσεν αὐτὸς ὁ Κάδμος, καὶ ταῦτα ποιοῦντες βοηθὸν ἕξετε τὸν Ἄρην. 941. Κάδμου παλαιῶν) λείπει ἕνεκα. ὁ δὲ νοῦς, κατὰ Κάδμου, διὰ τὴν παλαιὰν μῆνιν τοῦ Ἄρεως καὶ τοῦ Κάδμου. ἐπ' ἐκδικίᾳ γὰρ τοῦ δράκοντος ἔτι καὶ νῦν μνησικακεῖ

τοῖς

Tir. Num veritas *ideo* periît, quia tu infelix es?
Cre. Oro te per genua & per venerandam caniciem.
Tir. Quare mihi supplicas? inevitabilia postulas mala.
Cre. Tace; nè dicas civibus hunc sermonem.
Tir. Jubes me injusta facere? non tacebo.
Cre. Quid igitur facies mihi? occides meum filium?
Tir. Aliis hoc curæ erit; ego verò dicam.
Cre. Unde verò hoc malum venit mihi & filio?
Tir. Rectè me interrogas, & in certamen venis verborum.
Oportet istum in ipso specu, ubi draco terrigena
Fuit custos fontis Dirces,
Mactatum, dare letalem sanguinem inferias terræ,
Propter veterem iram Martis contra Cadmum,
Qui terrigenæ draconis ulciscitur cædem.
Et hæc facientes habebitis vobis Auxiliatorem Martem.
Terra verò pro fructu fructum, & pro sanguine
Sanguinem si acceperit humanum, habebitis propitiam

Ter-

ΣΧΟΛΙΑ.

τοὺς ἀπολειφθέντας τῶν σπαρτῶν ὁ Ἄρης, ἐπεὶ μὴ ἤμυναν τῷ δράκοντι γεγονότες ἐξ αὐτοῦ, ὑπὸ τοῖς ἀδελφοῖς. ἔμειναν δὲ τοῦ Κάδμου φίλοι, καὶ ζῶν αὐτῷ ᾤκησαν τὴν πόλιν. ὁ δὲ Ἐχίων, καὶ θυγατέρα Κάδμου ἔγημε. ἀλλαχοῦ δὲ φησὶ ταῦτα ὑπὸ Διονύσου πεπονθέναι τὴν πόλιν.
944. Χθὼν γὰρ ἀντὶ καρποῦ) ἡ γῆ δὲ ἐὰν ἀντὶ καρποῦ, ἤτοι τοῦ δράκοντος τοῦ υἱοῦ αὐτῆς λάβῃ καρπὸν, τὸν Μενοικέα, καὶ ἀντὶ τοῦ αἵματος, αἷμα βρότειον τοῦ Μενοικέως, ἔσται ἵλεως ὑμῖν. ἐλυπεῖτο γὰρ ἡ γῆ, ὅτι τῶν γηγενῶν σπαρτῶν ἐδέξατο τὸ αἷμα.

946. Ἡ

931. Τί ἀπαραίτητον αἰτεῖς με; δυσκόλως φυλαχθῆναι, ἤγουν παραιτηθῆναι δυνάμενα αἰτεῖς, ζητεῖς.

Γῆ, ἥ ποθ' ὑμῖν χρυσοπήληκα στάχυν
Σπαρτῶν ἀνῆκεν. ἐκ γένους δὲ δεῖ θανεῖν
Τοῦδ', ὃς δράκοντος γένυος ἐκπέφυκε παῖς.
Σὺ δ' ἐνθάδ' ἡμῖν λοιπὸς εἶ σπαρτῶν γένους,
Ἀκέραιος, ἔκ τε μητρὸς, ἀρσένων τ' ἄπο,
Οἵ σοί τε παῖδες. Αἵμονος μὲν οὖν γάμοι
Σφαγὰς ἀπείργουσ', οὐ γάρ ἐστιν ἤθεος.
Κεἰ μὴ γὰρ εὐνῆς ἥψατ', ἀλλ' ἔχει λέχος.
Οὗτος δὲ πῶλος τῆσδ' ἀνειμένος πόλει,
Θανὼν, πατρῴαν γαῖαν ἐκσώσειεν ἄν.
Πικρὸν δ' Ἀδράστῳ νόστον, Ἀργείοισί τε
Θήσει, μέλαιναν κῆρ' ἐπ' ὄμμασιν βαλὼν,
Κλεινάς τε Θήβας. τοῖν δ' ἑλοῦ δυοῖν πότμοιν
Τὸν ἕτερον· ἢ γὰρ παῖδα σῶσον, ἢ πόλιν.
Τὰ μὲν παρ' ἡμῶν, πάντ' ἔχεις ἠγοῦ, τέκνον,

“ Πρὸς

ΣΧΟΛΙΑ.

946. Ἥ ποθ' ἡμῖν) ἥτις ἡ γῆ ἀνέδωκε ποτὲ ἡμῖν στάχυν τῶν σπαρτῶν χρυσοπήληκα, ἤτοι ἄνδρας χρυσαῖς περικεφαλαίαις κεκοσμημένους. οὕτω γὰρ ἀνεδόθησαν, ἢ ἀπὸ μέρους τῆς πήληκος πᾶσαν τὴν ὅπλισιν δεῖ νοεῖν. 949. Λοιπὸς εἶ σπαρτῶν γένους) οἱ περιλειφθέντες τῶν σπαρτῶν, ὡς Αἰσχύλος φησὶν, ἦσαν Χθόνιος, Οὐδαῖος, Πέλωρος, Ὑπερήνωρ, καὶ Ἐχίων, ὃς ἔγημεν Ἀγαυὴν τὴν Κάδμου θυγατέρα, ἐξ ἧς ποιεῖ Πενθέα, οὗ ὁ Κλαίσους, οὗ Μενοικεὺς, οὗ Κρέων καὶ Ἰοκάστη. 950. Ἀκέραιος) καθαρὸς καὶ ἀνεπίληπτος, καὶ ἀληθὴς ἀπόγονος τῶν σπαρτῶν. Τὸ δὲ ἔκ τε μητρὸς ἀρσένων τ' ἄπο) ἀντὶ ἑνικοῦ τὸ πληθυντικὸν εἶπε, ἀντὶ τοῦ ἀκέραιος καὶ ἀπὸ πατρός. 951. Αἵμονος μὲν οὖν) ὁ Αἵμων, φησὶν, ὁ πρεσβύτερός σου υἱὸς διὰ τὸ μεμολύνθαι τῇ μνηστείᾳ, οὐ σφαγήσεται. ἀφθόρου γὰρ ἀνδρὸς χρεία· ἢ καθὸ ἐμνηστεύσατο, ἢ ἐπεὶ ὡς λέγουσι, λάθρᾳ συνῆλθε. τοῦτο δ' ὡς μάντιν εἰδότα εὐφήμως εἰπεῖν. ἀνειμένος δὲ τῇ πόλει, ἀντὶ τοῦ σφαγιασθεὶς καὶ ἱερωθεὶς τῇ πόλει. 956. Πικρὸν δ' Ἀδράστῳ) μόνος γὰρ ἐσώθη τῶν στρατηγῶν, διὸ εἶπε νόστον. πικρὸν δὲ, διὰ τὴν λύπην τῶν συστρατευσαμένων. 958. Κλεινάς τε Θήβας) ἐνδόξους. θήσει ἀπὸ κοινοῦ. Τοῖν δ' ἑλοῦ) ἀπὸ τῶν δύο δυστυχιῶν, πρόκρινε τὴν ἑτέραν, ἢ τὸν παῖδα σῶσον, ἢ τὴν πόλιν. 960. Τὰ

μὲν

Terram, quæ quondam vobis auro-galeatam spicam
Satorum edidit: oportet enim mori aliquem ex genere
Hoc, qui natus sit filius ex maxilla draconis.
Tu verò hic nobis reliquus es ex satorum genere,
Integer & ex matre, & ex maribus, *i. e. patre*,
Tuique liberi. Hæmonis at quidem nuptiæ
Cædem *ipsius* prohibent: non enim est cœlebs:
Quamvis enim non attigerit lectum, tamen habet lectum.
Iste verò juvenis huic donatus urbi,
Si moriatur, patriam terram servabit.
Acerbum verò reditum Adrasto, cæterísque Argivis
Faciet, triste fatum oculis objiciens,
Et inclytas *faciet* Thebas. ex duabus igitur sortibus elige
Alteram; aut enim filium serva, aut urbem.
Quæ igitur à nobis *dici poterant*, omnia habes:
Quamobrem me duc, filia,

" Ad

ΣΧΟΛΙΑ.

τὰ παρ' ἡμῶν) πάνθ', ὅσα παρ' ἡμῶν ἐβούλου μαθεῖν, ἔχεις, ἀντὶ τοῦ ἀκήκοας καὶ κατέχεις. Ἡγοῦ, τέκνον) προοδοιπόρει, θύγατερ, πρὸς τὸν οἶκον. ὅς τις δὲ μαντικῇ χρῆται τέχνῃ ἄκαιρός ἐστι. ἐὰν μὲν γὰρ τύχῃ δηλώσας μισητὰ, ἐπαχθὴς ἐγένετο ἐκείνοις δηλονότι, ὧν χάριν τὰς μαντείας ποιεῖται. ψευδῆ δὲ τοῖς χρωμένοις λέγων ὑπὸ συμπαθείας ἀναπειθόμενος, ἀδικεῖ, εἰς τοὺς θεοὺς ψευδόμενος κρύπτων τὸ ἀληθὲς, καὶ μὴ διάδηλον ποιῶν τὴν δύναμιν αὐτῶν καὶ τὴν δωρεάν. τὸν Ἀπόλλωνα δὲ μόνον πρέπει χρησμοὺς διδόναι τοῖς βροτοῖς, ὃς οὐ φοβεῖται τινά.

967. Κρέων,

950. Ἀκέρ. ἀνεξάλειπτος, λέγω καὶ ἐκ μητρὸς καὶ ἀπὸ πατρός. 951. Ὁ γάμος αὐτὴ ἡ μνηστεία, ἦν γὰρ κατηγγυημένη αὐτῷ ἡ Ἀντιγόνη. 952. Σφ. ἀπ. τὴν σφαγὴν αὐτοῦ κωλύει. ἠίθ. παρθένος. 960. Ἡγεμόνευε, ὁδήγει ὦ θύγατερ.

" Πρὸς οἶκον. Ὅς τις δ' ἐμπύρῳ χρῆται τέχνῃ,
" Μάταιος· ἢν μὲν γὰρ ἐχθρὰ σημήνας τύχῃ,
" Πικρὸς καθέστηχ', οἷς ἂν οἰωνοσκοπῇ.
" Ψευδῆ δ' ὑπ' οἴκτου τοῖσι χρωμένοις λέγων,
" Ἀδικεῖ τὰ τῶν θεῶν. Φοῖβον ἀνθρώποις μόνον
" Χρῆν θεσπιῳδεῖν, ὃς δέδοικεν οὐδένα.
Χο. Κρέον, τί σιγᾷς, γῆρυν ἄφθογγον σχάσας;
Κἀμοὶ γὰρ οὐδὲν ἧττον ἔκπληξις πάρα.
Κρέ. Τί δ' ἄν τις εἴποι; δῆλον οἵγ' ἐμοὶ λόγοι.
Ἐγὼ γὰρ οὔ ποτ' εἰς τόδ' εἶμι συμφορᾶς,
Ὥστε σφαγέντα παῖδα προσθεῖναι πόλει.
" Πᾶσιν γὰρ ἀνθρώποισι φιλότεκνος βίος.
" Οὐδ' ἂν τὸν αὑτοῦ παῖδά τις δοίη κτανεῖν.
" Μή μ' εὐλογείτω τἀμά τις κτείνων τέκνα.
Αὐτὸς δ', ἐν ὡραίῳ γὰρ ἵσταμαι βίῳ,
Θνήσκειν ἕτοιμος, πατρίδος ἐκλυτήριον.
Ἀλλ' εἶα, τέκνον, πρὶν μαθεῖν πᾶσαν πόλιν,
Ἀκό-

ΣΧΟΛΙΑ.

967. Κρέον, τί σιγᾷς) ὦ Κρέον, τί σιωπᾷς τὴν φωνὴν ἄηχον ἐπιχών, καὶ οὐκέτι φθεγγόμενος. ὡς εἰ ἔλεγεν, οὐ σιωπῆς σοι καιρὸς ἀκούσαντι ταῦτα, ἀλλὰ βουλεύσασθαί τι καὶ πρᾶξαι. Σχάσας) μεταφορικῶς ἀντὶ τοῦ ἀποκόψας, καὶ ἀποκλείσας. ἄφθογγον δὲ γῆρυν, ἀντὶ τοῦ ἄηχον. 968. Κἀμοὶ μὲν) κἀγώ σοι οὐδὲν ἧττον συναλγῶ· ἀλλ' οὐ σιωπῆς, βουλῆς δὲ μᾶλλον καιρός ἐστιν· διὸ ἔδει λαλεῖν σε. 969. Δῆλον οἵγ' ἐμοὶ λόγοι) λείπει τὸ πρᾶγμα. 970. Ἐγὼ γὰρ οὔποτ' εἰς τόδ' εἶμι) ἐγὼ γὰρ οὐδέποτε εἰς τοῦτο τῆς συμφορᾶς. ἀντὶ τοῦ εἰς τοιαύτην συμφορὰν ἀπελεύσομαι, ὥστε παραδοῦναι τῇ πόλει τοῦτον σφαγέντα, ἀντὶ τοῦ ὥστε σφαγιασθῆναι ὑπὲρ τῆς πόλεως. πᾶσι γὰρ ἀνθρώποις ὑπάρχει φιλότεκνος ὁ βίος, ἤγουν πάντες ἄνθρωποι τὰ ἑαυτῶν τέκνα φιλοῦσι. οὐδὲ τις ἂν δοίη τὸν αὐτοῦ παῖδα ὥστε φονευθῆναι. μὴ ἐπαινείτω με τοὺς λόγους εὐλόγους λέγων, τὰ ἐμὰ τέκνα συμβουλεύων με κτείνειν. ἐγὼ δὲ θνήσκειν ὑπὲρ πατρίδος ἕτοιμός εἰμι, ἀπολυόμενος αὐτὴν τῶν περιεστώτων κακῶν. ἐν ζωῇ γὰρ ἐγκαίρῳ καθίσταμαι. ἀλλ' ἄγε, ὦ παῖ, πρὸ τοῦ τὴν πόλιν μαθεῖν, τὰ ἀπαγ-

ἐδόντα

" Ad domum. Quicunque enim utitur divinandi arte,
" Stultus est. Etenim si fortè dixerit inimica,
" Acerbus est iis, quibus vaticinatur:
" Dicens verò falsa propter commiserationem consulentium,
" Violat deorum jura. Solum Phœbum hominibus
" Oportebat vaticinari, qui neminem timet.
Cho. Creon, quid taces, remittens vocem non sonantem?
Etenim mihi non minùs *quàm tibi* stupor adest.
Cre. Quid enim dicat aliquis? manifesta est hæc mihi oratio.
Ego enim nunquam eò veniam calamitatis,
Ut cæsum filium proponam civitati.
" Omnibus enim hominibus est amans liberorum vita;
" Neque aliquis suum ipsius filium dederit ad interficiendum.
" Nè laudet me quisquam, occidens meos liberos.
Ipse verò (sum enim in maturâ vitâ)
Paratus sum mori, patriæ piaculum.
Verum age, fili, priusquam rescifcat tota civitas,

ΣΧΟΛΙΑ.

δοῦναι τῆς μαντείας ἐάσας χρηστήρια, φεῦγε λίαν ταχέως τῆς χθονὸς ταύτης ἐλευθερωθείς. λέξει γὰρ τοῖς ἄρχουσι καὶ τοῖς στρατηγοῖς ταῦτα, ἐπὶ τὰς ἑπτὰ πύλας καὶ τοὺς λοχαγέτας παραγγελλόμενος. καὶ ἐὰν προφθάσωμεν, ὑπάρχει σωτηρία· ἐὰν δὲ ὑστερηθῇς, ἀπολόμεθα, ἀποθανῇ γάρ.

984. Πῦ

972. Πάντες γὰρ ἄνθρωποι φιλότεκνοι ζωὴν ζῶσιν· ἀντὶ τοῦ μετὰ τοῦ φιλεῖν τὰ ἑαυτῶν τέκνα ἀνύουσι τὴν ζωήν, τουτέστι φιλότεκνοί εἰσι. ὅμοιον ὥσπερ ἂν εἴ τις εἴποι, ἀμελῆ ζωὴν ζῶ, ἀντὶ τοῦ μετ' ἀμελείας ἀνύω τὴν ζωήν, τουτέστιν ἀμελὴς εἰμί, οὐ γὰρ ἡ ζωὴ ἐστιν ἀμελής, ὥσπερ οὐ φιλότεκνος, ἀλλ' οἱ τὴν ζωὴν ζῶντες ἐν ἀμελείᾳ καὶ φιλοτεκνίᾳ, οὗτοι εἰσὶν εἰκότως ἀμελεῖς καὶ φιλότεκνοι. 973. Εἰς τὸ κτανεῖν, ὅμοιον τῷ, ἡδὺς ὁ ποταμὸς πιεῖν.

Ἀπόλαστ' ἐάσας μάντεων θεσπίσματα,
Φεῦγ' ὡς τάχιστα τῆσδ' ἀπαλλαγεὶς χθονός.
Λέξει γὰρ ἀρχαῖς καὶ στρατηλάταις τάδε,
Πύλας ἐφ' ἑπτὰ, καὶ λοχαγέταις μολών.
Κἂν μὲν φθάσωμεν, ἔστι σοι σωτηρία·
Ἢν δ' ὑστερήσῃς, οἰχόμεσθα, κατθανῇ.
Με. Ποῖ δῆτα φεύγω; τίνα πόλιν, τίνα ξένων;
Κρ. Ὅπου χθονὸς τῆσδ' ἐκποδὼν μάλιστ' ἔσῃ.
Με. Οὐκοῦν σε φράζειν εἰκός· ἐκπονεῖν δ' ἐμέ.
Κρ. Δελφοὺς περάσας φεῦγε. Μ. ποῖ με χρὴ μολεῖν;
Κρ. Αἰτωλίδ' εἰς γῆν. Μ. ἐκ δὲ τῆσδε, ποῖ περῶ;
Κρ. Θεσπρωτὸν οὖδας. Μ. σεμνὰ Δωδώνης βάθρα;
Κρ. Ἔγνως. Μ. τί δῆτ' ἔρυμά μοι γενήσεται;
Κρ. Πόμπιμος ὁ δαίμων. Μ. χρημάτων δὲ τίς πόρος;
Κρ. Ἐγὼ πορεύσω χρυσόν. Μ. εὖ λέγεις, πάτερ.
Κρ. Χώρει νυν. Μ. ὡς σὴν πρὸς κασιγνήτην μολὼν,
Ἧς πρῶτα μαστὸν εἵλκυσ', Ἰοκάστην λέγω,

Μα-

ΣΧΟΛΙΑ.

984. Ποῖ δῆτα) ποῦ λοιπὸν φεύγω, εἰς τίνα πόλιν, εἰς τίνα τῶν φίλων; 985. Ὅπου) ποῦ, ὅπου μακρὰν μάλιστα τῆσδε τῆς γῆς γενήσῃ. 986. Οὐκοῦν) πρέπον σε λοιπὸν, ὅπου πορευθῶ, λέγειν, ἐκπληροῦν δ' ἐμέ. 987. Δελφοὺς περάσας) ἐκ τῶν Δελφῶν περάσας δηλονότι. εἰς οὐδὲν δὲ χρήσιμον τοπογραφεῖ. μᾶλλον δὲ αὐτὸν ἐχρῆν σκοπεῖν, ὅπως τῶν πολεμίων παρασκευαζομένων λήσῃ φεύγων ὁ Μενοικεύς. 989. Σεμνὰ) τὰ σεβάσμια τοῦ Δωδώνης θεμέλια φύλαγμά μοι γενήσεται; ὅ ἐστι ποία πόλις δεξαμένη με σώσει. 991. Πόμπιμος ὁ δαίμων) ὁδηγήσει σε ἡ τύχη. Χρημάτων δὲ) τίς εὐπορία. 992. Ἐγὼ πορεύσω) ἀντὶ τοῦ πέμψω χρυσόν. Καλῶς λέγεις, ὦ πάτερ. Ἀπέρχου δή. 993. Ὡς σὴν πρὸς) ἐκ παραλλήλου, ἢ ἡ εἰς περιττὴ, πρὸς τὴν σὴν κασιγνήτην Ἰοκάστην ἐλθὼν, ἧς ποτε καταρχὰς τὸν μαστὸν ἐθήλασα, τῆς ἐμῆς μητρὸς στερη-

θεὶς

Missis immoderatis oraculis vatum,
Fuge quàm celerrimè cedens ex hoc agro.
Dicet enim principibus, & ducibus hæc,
Vadens ad septem portas, & ad duces.
Et si anteverterimus, servaberis:
Si verò cunctatus fueris, perimus, occidêris.

Me. Quò fugiam igitur, ad quam civitatem? ad quem hospitem?

Cre. Ubi quàm longissimè ab hâc terrâ absis.

Me. Ergo te dicere convenit, *quonam sim abiturus*, me vero imperata facere.

Cre. Fugito in Delphos transiens. *M.* Quonam me oportet ire?

Cre. In terram Ætolorum. *M.* Ex illâ verò quò fugiam?

Cre. Ad solum Thesprotorum. *M.* Religiosam ad sedem Dodonæ?

Cre. Scis. *M.* Quod verò tutamen mihi erit?

Cre: Deus te comitabitur. *M.* Unde verò erit copia pecuniæ?

Cre. Ego mittam aurum. *M.* Benè dicis, pater.

Cre. Vade igitur. *M.* Vadens ad tuam sororem,
Cujus primùm ubera traxi, Iocasten dico,

Cùm

ΣΧΟΛΙΑ.

θεὶς ὃ ὀρφανὸς γενόμενος, χηρευθεὶς ἐκείνης, προσαγορεύων ἐκείνην, καὶ συνταξόμενος αὐτῇ, ἀπελεύσομαι διατηρήσων τὴν ἐμαυτοῦ ζωήν. ἐναντίως δὲ ἱστορεῖ Σοφοκλῆς. μετὰ γὰρ θάνατον τοῦ παιδὸς ἡ μήτηρ αὐτοῦ ζῇ, ὡς ἐν Ἀντιγόνῃ φησί, ὃ μὲν ὁρῶ δάμαρτα τοῦ Κρέοντος. Προστηρήσων αὐτὴν καὶ σώσων τὸν βίον. Ἄλλως. σώσων τὴν πόλιν, οὐ γὰρ ὡς ὁ πατὴρ ᾤετο.

997. Ἀλλ'

983. Ἐναντίον τὸ ὑστερεῖν, προφθάνειν. 987. Περάσ. διαπεράσας, διαβάς. M. Πῇ με ἀπελθεῖν χρὴ τοὺς Δελφοὺς διαβάντα; 989. Εἰς τὴν γῆν τῶν Θεσπρωτῶν. εἰς γῆν νῦν κοινῶς λεγομένην Δρυόπολιν. 989. Σεμνά) εἰς τὸν τόπον ἔνθα ἵδρυται ἡ σεμνὴ Δωδώνη; 991. Ὁδηγὸς ὁ Θεὸς διὰ τῶν αὐτοῦ χρησμῶν.

Ματρὸς στερηθεὶς, ὀρφανός τ' ἀποζυγεὶς,
Προσηγορήσων εἶμι, καὶ σώσων πόλιν.
Κρ. Ἀλλ' εἶα, χώρει· μὴ τὸ σὸν κωλυέτω.
Με. Γυναῖκες, ὡς εὖ πατρὸς ἐξεῖλον φόβον,
Κλέψας λόγοισιν, ὥσθ' ἃ βούλομαι τυχεῖν.
Ὃς μ' ἐκκομίζει πόλιν ἀποστερῶν τύχης,
Καὶ δειλίᾳ δίδωσι. Καὶ συγγνωστὰ μὲν
Γέροντι, τοὐμὸν δ' οὐχὶ συγγνώμην ἔχει,
Προδότην γενέσθαι πατρίδος, ἥ μ' ἐγείνατο.
Ὡς οὖν ἂν εἰδῆτ', εἶμι, καὶ σώσω πόλιν.
Ψυχὴν δὲ δώσω τῆσδ' ὑπερθανεῖν χθονός.
« Αἰσχρὸν γὰρ, εἰ μὲν θεσφάτων ἐλεύθεροι,
« Κοὐκ εἰς ἀνάγκην δαιμόνων ἀφιγμένοι,
« Στάντες παρ' ἀσπίδ' οὐκ ὀκνήσουσι θανεῖν,
« Πύργων πάροιθε μαχόμενοι πάτρας ὕπερ·
« Ἐγὼ δὲ πατέρα καὶ κασίγνητον προδοὺς,
« Πόλιν τ' ἐμαυτοῦ, δειλὸς ὣς, ἔξω χθονὸς
« Ἄπειμ'· ὅπου δ' ἂν ζῶ, κακὸς φανήσομαι.
Μὰ τὸν μετ' ἄστρων Ζῆν', Ἄρην τε φόνιον,
Ὃς

ΣΧΟΛΙΑ.

997. Ἀλλ' εἶα, χώρει) πορεύου, ἄπελθε· μὴ σὺ σαυτὸν ἐμπόδιζε πρὸς τὴν σωτηρίαν. Ἄλλως. μὴ τὸ σὸν, ὅσον τὸ κατὰ σὲ, μὴ γινέσθω κώλυμα. 998 Γυναῖκες) ὦ γυναῖκες, λίαν ἐπιτηδείως καὶ καλῶς ἐξέβαλον τὸν φόβον τοῦ πατρὸς, διὰ λόγων ἀπατήσας αὐτὸν, ὥστε τυχεῖν ὧν βούλομαι, ὅστις ὁ πατὴρ φυγαδεύει καὶ ὑπεξάγει τῆς πόλεως, τῆς εὐτυχίας ἀποστερῶν με καὶ τὴν πόλιν, καὶ φόβῳ δίδωσιν ἐμέ· καὶ συγγνώμης ἄξιον τὸ πρᾶγμα τῷ πατρί· τὸ κατ' ἐμὲ δὲ οὐδαμῶς συγγνώμην ἔχει, τὸ γενέσθαι προδότην τῆς πατρίδος, ἥτις ἐγέννησέ με. ἵνα οὖν γνῶτε, ἀπελεύσομαι, καὶ σώσω τὴν πόλιν. τὴν δὲ ζωὴν δώσω, ὥστε ἀποθανεῖν ὑπὲρ τῆσδε τῆς χθονός. αἰσχύνης γὰρ ἄξιον, λείπει τὸ εἰ, ἐὰν οἱ τῶν μαντευμάτων ἐλεύθεροι, καὶ ὑπὸ τῶν θεῶν μὴ ἀναγκαζόμενοι, οὐκ ἀναβάλλονται ἀποθανεῖν παρὰ πόλεμον στάντες, καὶ ὑπὲρ τῆς πατρίδος ἔμπροσθεν τῶν πύργων μαχόμενοι. ἐγὼ δὲ πα-

τέρα

Cùm essem privatus matre, & avulsus ab eâ
orphanus,
Tanquam salutaturus vado, & urbem servaturus.
Cre. Sed age, abi; nè sis impedimentum tibi.
Me. O mulieres, quàm benè patri exemi metum,
Decipiens eum verbis, ut consequerer, quæ volo:
Qui ablegat me privans urbem *Bonâ* Fortunâ,
Et ignaviæ prostituit. Sed ignoscendum est
Seni: quod ad me attinet non meretur veniam,
Proditorem esse patriæ, quæ me genuit.
Ut igitur sciatis, vadam & servabo urbem,
Animámq; dabo, ut moriatur pro hâc terrâ.
" Turpe enim *est*, (si *qui* liberi ab oraculis,
" Et non impulsi necessitate divinitus,
" Stantes ad clypeos, non detrectent mori,
" Pugnantes pro patriâ ante turres)
" Ego verò patrem & fratrem prodens,
" Et urbem meam, tanquam timidus, ex terrâ
" Discedam: ubicunque enim vixero, videbor
ignavus.
Non per Jovem, qui est in astris, & Martem
cædium autorem,

Qui

ΣΧΟΛΙΑ.

πατέρα καὶ ἀδελφὸν προδοὺς, καὶ πόλιν τὴν ἐμαυτοῦ, ὡς ἄνανδρος ἔξω τῆς χθονὸς ἀπελεύσομαι, καὶ ὅπου ἂν ζῶ, κακότερος φανήσομαι. οὐ ποιήσω τοῦτο μὰ τὸν μετ᾽ ἄστρων Ζῆνα. τὸν ἥλιον φησὶν, τὸν αἴτιον τοῦ ἐμοῦ φόνου. Ἄρη δὲ φόνιον, ἐπειδὴ οὗτος φονικὸς τῶν σπαρτῶν, δράκοντα καταστήσας αὐτόθι φύλακα τῆς κρήνης, ἐξ οὗ τῶν ὀδόντων οἱ σπαρτοὶ, ὅστις τοὺς ἀναδοθέντας ποτὲ ἐκ τῆς γῆς σπαρτοὺς δεσπότας καὶ βασιλεῖς τῆσδε τῆς γῆς κατεστήσατο. ἀλλ᾽ ἀπελεύσομαι, καὶ στὰς ἐκ τῶν ἄκρων τῶν ἐπάλξεων, καὶ σφάξας ἐμαυτὸν εἰς τὴν θαλάμην τὴν σκοτεινὴν τοῦ δράκοντος, ὅπου ὁ Τειρεσίας διηγήσατο καὶ παρῄνεσε φονευθῆναι, ἐλευθερώσω τὴν γῆν.

1016. Ἀλλ᾽

996. Πρόσηγ. ἀποχαιρετίσω περὶ τοῖς κοινοῖς. 1013. Μὰ τὸν ἐν τῷ οὐρανῷ Δία.

Ὃς τοὺς ὑπερτείλαντας ἐκ γαίας ποτὲ
Σπαρτοὺς, ἄνακτας τῆσδε γῆς ἱδρύσατο.
Ἀλλ' εἶμι· καὶ στὰς ἐξ ἐπάλξεων ἄκρων
Σφάξας ἐμαυτὸν σηκὸν ἐς μελαμβαθῆ
Δράκοντος, ἔνθ' ὁ μάντις ἐξηγήσατο,
Ἐλευθερώσω γαῖαν· εἴρηται λόγος.
Στείχω δὲ, θανάτου δῶρον οὐκ αἰσχρὸν πόλει
Δώσων, νόσου δὲ τήνδ' ἀπαλλάξω χθόνα.
“ Εἰ γὰρ λαβὼν ἕκαστος ὅ, τι δύναιτό τις
“ Χρηστὸν διέλθοι, τοῦτο κεἰς κοινὸν φέροι
“ Πατρίδι, κακῶν ἂν αἱ πόλεις ἐλασσόνων
“ Πειρώμεναι, τολοιπὸν εὐτυχοῖεν ἄν.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

Χο. Ἔβας, ἔβας, ὦ πτεροῦσσα, γᾶς λόχευμα

Νερ-

ΣΧΟΛΙΑ.

1016. Ἀλλ' εἶμι). οὐκ ἐκφεύξομαι, ἀλλ' εἶμι πρὸς θάνατον ἐξ ἐπάλξεων ἄκρων. 1017. Σφάξας ἐμαυτὸν) Σωσιφάνης ὁ τραγικὸς ὑπὸ τοῦ Λαΐου φησὶ τεθνηκέναι τὸν Μενοικέα· Νικόστρατος δὲ, ὑπὸ τῆς Σφιγγός. Σηκὸν) εἰς τὸν σηκὸν σφάξας ἐμαυτὸν ἀπὸ τῶν τειχέων, ὡς τοῦ σηκοῦ πλησίον τοῦ τείχους ὄντος. Ἄλλως. σηκὸς, ἔνθα ἱδρύετο τὸ ἄγαλμα· λέγεται σηκὸς καὶ ἔνθα ἐγκλείουσιν οἱ νομεῖς τὰ νεογνὰ, ὅταν τὰς μητέρας αὐτῶν ἀμέλγωσιν ἢ εἰς νομὴν ἐκπέμπωσιν. ἀφ' οὗ ἐνταῦθα σηκὸς, ἡ φωλεός. 1018. Ἐξηγήσατο) ὅπου ὁ μάντις ἐξηγεῖτο· εἶπε γὰρ, Δεῖ τόνδε θαλάμαις, οὗ δράκων ὁ γηγενὴς Ἐγένετο, Δίρκης ναμάτων ἐπίσκοπος, Σφαγέντα φόνιον αἷμα δοῦναι γῇ χοάς. 1019. Εἴρηται λόγος) ἐλέχθη ὁ λόγος, ἐπέρχομαι δὲ διὰ τοῦ ἐμοῦ θανάτου δῶρον οὐκ ἀπρεπὲς τῇ πατρίδι δώσων, καὶ τοῦ κινδύνου ταύτην ἐλευθερώσων. 1022. Εἰ γὰρ ἕκαστος ὁ κατὰ δύναμιν εἶχεν ἀγαθὸν εἰσέφερε τῇ πατρίδι, ἐκτὸς ἂν ἦσαν πᾶσαι κακοῦ αἱ πόλεις. 1026. Ἔβας ἔβας) πρὸς οὐδὲν ταῦτα. ἔδει γὰρ τὸν χορὸν οἰκτίσασθαι καὶ τὸν θάνατον Μενοικέως, ἢ ἀποδέχεσθαι

τὴν

Qui exortos è terrâ olim
Satos, reges hujus terræ constituit.
Sed abibo; & stans in murorum pinnis summis
Interficiens me ipsum ad atrum specum
Draconis, ubi vates dixit,
Liberabo terram: dicta est sententia.
Vado autem, donum mortis non turpe urbi
Daturus, liberabo autem patriam ab hoc malo.
Si enim accipiens unusquisque quodcunq, possit
Bonum persequatur, & hoc in commune conferat
Patriæ: civitates minora mala
Experientes, in posterum beatæ essent.

ANTISTROPHICA.

Strophe.

Ascendisti, ascendisti, ô alata, terræ partus,
In-

ΣΧΟΛΙΑ.

ὐ εὐψυχίαν τοῦ νεανίσκου. ἀλλὰ τὸ περὶ Οἰδίπου καὶ τὴν Σφίγγα γοῦνται τὰ πολλάκις εἰρημένα. Ἔβας) ἦλθες, ἦλθες, ὦ πτε-ιοῦσα Σφίγξ, γέννημα μὲν τῆς τῶν Θηβαίων γῆς. ἐνταῦθα γὰρ ἐγεννή- λόχευμα δὲ τοῦ Τυφῶνος, καὶ τῆς καταχθονίου ἐχίδνης, ἐπὶ ἁρπα- τῶν Θηβαίων, πολλῶν στεναγμῶν αἰτία, πολύφθορε, μιξοπάρθενε, ης γὰρ τὰ μὲν παρθένου, τὰ δὲ θηρός, ξένης καὶ παραδόξου φύσεως, ινικὸν τέρας τοῖς τε φοιταλέοις καὶ μανικοῖς πτεροῖς, καὶ τοῖς ὄνυξι ς ὠμὰ τὰ κρέα ἁρπάζουσι πρὸς σίτησιν, ἥτις πεδαίρουσα τοὺς νέους ὸ τῆς γῆς εἰς ὕψος αἴρουσα ποτὲ ἐκ τῶν τόπων τῆς Δίρκης, ἤτοι ἐκ Θηβῶν, περιῆγες καὶ περιέφερες ἄναυλον καὶ ἀνήδονον ᾠδήν· ἄλυ-ν δὲ μοῦσαν, τὸν θρῆνον, παρ' ὅσον πρὸς αὐλὸν, οὐχὶ πρὸς λύραν δονται οἱ ὕμνοι, ἱερὰν Ἀπόλλωνος νομιζομένην. ἀπενθὴς δὲ θεὸς ὁ πόλλων. Αἰσχύλος· Τί ταῦτ' ἀνωλόλυξας ἀμφὶ Λοξίου. Οὐ ὰρ τοιοῦτος ὥστε θρηνητοῦ τυχεῖν. ἡ ἀμφὶ δὲ πρὸς τὸ ἔφερες, περιέ-ρες ᾠδήν. λέγει δὲ τὸ αἴνιγμα. 1037. Ἄχεα

1022. Εἰ γὰρ ἕκαστός τις ὅτι ἂν δύναιτο χρηστὸν λαβὼν τοῦτο υνάσαιτο, καὶ τῇ πατρίδι φέροι εἰς μέσον πάντων, αἱ πόλεις τὸν ὰ τὸ ἔμπροσθεν εὐτυχεῖν, πεῖραν λαμβάνουσαι, ἀπολαύουσαι ακῶν ἐλαττόνων, ἢ νῦν δηλονότι πειρῶνται.

Νερτέρου τ' Ἐχίδνας,
Καδμείων ἁρπαγά,
Πολύστονος, πολύφθορος,
Μιξοπάρθενος, δάϊον τέρας,
Φοιτᾶσι πτεροῖς,
Χαλαῖσί τ' ὠμοσίτοις.
Διρκαίων ἅ ποτ' ἐκ τό-
πων νέους πεδαίρου-
σ' ἄλυρον ἀμφὶ μοῦσαν,
Ὀλομένάν τ' Ἐρινὺν
Ἔφερες ἔφερες ἄχεα πατρίδι
Φόνια. Φόνιος ἐκ θεῶν,
Ὃς τάδ' ἦν ὁ πράξας.
Ἰάλεμοι δὲ ματέρων,
Ἰάλεμοι δὲ παρθένων
Ἐστέναζον οἴκοις,
Ἰήϊον βοὰν, βοὰν,
Ἰήϊον μέλος, μέλος.
Ἄλλος ἄλλον ἐπωτότυζε διαδοχαῖς ἀνὰ πτόλιν.
Βροντᾷ δὲ στεναγμὸς,
Ἰαχᾷ τ' ἦν ὅμοιος,
Ὁπότε πόλεως ἀφανίσειεν
Ἁ πτεροῦσα παρθένος τιν' ἀνδρῶν.

Ἀντιστροφή.

Χρόνῳ δ' ἔβα πυθίαις ἀποστολαῖσιν

Οἰδί-

ΣΧΟΛΙΑ.

1037. Ἄχεα πατρίδι φόνια) λέγω φόνους καὶ λύπας ταῖς Θήβαις. τινὲς δὲ τὸ φόνια πρὸς τὰ ἑξῆς, ὅς τάδε τὰ φόνια πράξας φόνιος ἐκ θεός. ὁ ἐκ θεῶν ταῦτα πράξας, αὐτὸς φόνιος ἦν. οἱ δὲ ἰάλεμοι τῶν παρθένων, καὶ τῶν μητέρων ἐστέναζον ἐν τοῖς οἴκοις πενθοῦσαι αἱ μὲν τὰ τέκνα, αἱ δὲ τοὺς ἀδελφούς. Ἰήϊον δὲ βοὰν θρῆνον

Infernæque Echidnæ, *i. e. viperæ,*
Cadmeorum ad raptum,
Multorum gemituum autor, multis perniciosa,
Mixta virgo, hostile monstrum,
Furiosis alis,
Unguibúsque crudivoris:
Quæ quondam ex Dircæis lo-
cis adolescentes è solo attol-
lens inconcinno cum carmine,
Et perniciosis furiis,
Attulisti, attulisti dolores patriæ
Cruentos. Cruentus *profectò fuit ille* ex diis,
Quicunque hæc fecit.
Luctus autem matrum,
Luctus etiam virginum
Resonabant *in* ædibus,
Lugubrem vocem, vocem,
Lugubre carmen, carmen.
Alius alium super lugebat successivè per urbem.
Tonitruo autem luctus,
Clamoríque erat similis,
Quoties *ex* urbe, ex hominum conspectu abripuisset
Alata virgo aliquem virum.

Antistrophe.

Tandem verò venit Pythio missu
Oedi-

ΣΧΟΛΙΑ.

[illegible] βοήν. διὸ ἐπὶ μὲν θρήνων ψιλοῦται, ἐπὶ δὲ παιάνων δασύνεται). 1045. Ἐπωτότυζεν) ἄλλος ἄλλον ἐθρήνει. ὁ στεναγμὸς δὲ καὶ ἡ ἠχὴ βροντῇ ὑπῆρχεν ὅμοιος, ὅταν ἀναρπάσειεν ἡ σφὶγξ ἀπὸ τῆς πόλεως τινὰ τῶν ἀνδρῶν, θρῆνος καὶ βοὴ ἐγένετο. μετὰ χρόνον δὲ ὁ ἄθλιος Οἰδίπους εἰς τήνδε τὴν γῆν τῶν Θηβαίων ταῖς τοῦ Ἀπόλλωνος παραπομπαῖς ἦλθε. 1050. Ἀποστολαῖς) πυνθανομένῳ τῷ Οἰδίποδι περὶ τῶν γονέων, ἔχρησεν αὐτῷ ὁ θεὸς, ὡς ἀποκτείνας τὸν πατέρα, γαμήσει τὴν μητέρα. διὸ εἰς Θήβας ἦλθεν, οὐκ εἰς Κόρινθον, φοβούμενος, μὴ ἀποκτείνας Πόλυβον, γαμήσει Μερόπην.

Οἰδίπους ὁ τλάμων
Θηβαίαν τάνδε γᾶν,
Τότ' ἀσμένοις, πάλιν δ' ἄχη.
Ματρὶ γὰρ γάμους δυσγάμους ὁ τάλας,
Καλλίνικος ὢν
Αἰνιγμάτων, συνάπτει·
Μιαίνει δὲ πόλιν.
Δι' αἱμάτων δ' ἀμείβει
Μυσαρὸν εἰς ἀγῶνα,
Καταβαλὼν ἀραῖσι
Τέκεα μέλεος. Ἀγάμεθ', ἀγάμεθα,
Ὃς ἐπὶ θάνατον οἴχεται
Γᾶς ὑπὲρ πατρῴας,
Κρέοντι μὲν λιπὼν γόους,
Τὰ δ' ἑπτάπυργα κλεῖθρα γᾶς
Καλλίνικα θήσων.
Γενοίμεθ' ὧδε ματέρες,
Γενοίμεθ' εὔτεκνοι, φίλαι,
Παλλὰς, ἃ δράκοντος αἷμα λιθόβολον κατειργάσω,
Καδ-

ΣΧΟΛΙΑ.

1053. Τότε μὲν ἄσμενος) ἀντὶ τοῦ ἡδύς, διὰ τὸ λῦσαι τὸ αἴνιγμα. πάλιν δὲ, ἤτοι ὕστερον, ἄχη συνάπτει, διὰ τὸ γάμον τῆς μητρὸς, καὶ τὰ λοιπά. ἀπὸ κοινοῦ δὲ τὸ συνάπτει. 1055. Καλλίνικος ὢν) τὸ ἑξῆς, καλλίνικος γὰρ ὢν τῶν αἰνιγμάτων τῆς Σφιγγὸς ἕνεκα, γάμους συνάπτει τῇ μητρί. 1058. Δι' αἱμάτων) τὴν πόλιν δὲ διὰ φόνων ἐναλλάσσει. τὸ δὲ ἀμείβει, ἀμείβεσθαι ποιεῖ, ἐμβαλὼν διὰ καταρῶν τοὺς παῖδας εἰς φιλονεικίαν. Ἄλλως. τὰ πρῶτα κακὰ δι' αἱμάτων ἤλλαξεν, ἐμβαλὼν τοὺς παῖδας διὰ καταρῶν εἰς φιλονεικίαν. 1061. Μέλεος) ἀπὸ τούτου εὐθέως ἐχρῆν ἄρξασθαι τὸν χορόν. ἐκεῖνα γὰρ περιττά εἰσι. διὰ φόνων δὲ ἔρχεται εἰς τὴν μεμιασμένην φιλονεικίαν. λέγει δὲ τὴν μονομαχίαν, καταβαλὼν διὰ τῶν ἀρῶν τὰ ἑαυτοῦ τέκνα ὁ ἄθλιος. Ἀγάμεθα ἀγάμεθα) θαυμάζομεν, καὶ ἐκπληττόμεθα τὸν Μενοικέα ἐκεῖνον,

ὃς

Oedipus miser
Thebanam *in* hanc terram,
Tunc *populo* gratus, mox autem dolores-*subsecuti sunt*.
Cum matre enim nuptias infelices miser,
Præclaram victoriam adeptus
Ænigmatum, contraxit:
Polluit autem urbem.
Per sanguinem verò *cadésque* versat,
Execrandum in certamen
Conjiciens imprecationibus
Liberos *suos* miser. Admiramur, admiramur *illum*,
Qui ad mortem abit
Solo pro patrio,
Creonti quidem relinquens luctus:
Sed septem turribus munita claustra *hujus* agri
Præclarâ victoriâ insignia redditurus.
Utinam autem sic fiamus matres,
Utinam fiamus prole fœlices, ô amicæ,
O Pallas, quæ draconis sanguinem saxis sparsum confecisti,
Cad-

ΣΧΟΛΙΑ.

ὃς ἀπῆλθεν ἐπὶ θάνατον ὑπὲρ τῆς ἑαυτοῦ πατρίδος, Κρέοντι μὲν καταλείψας θρήνους, τὰς δὲ ἑπταπύλους Θήβας νικηφόρους καταστήσων, ἀντικαταλλασσόμενος ἑκουσίῳ θανάτῳ τὴν εὔκλειαν. 1067. Γενοίμεθ' ὧδε) εἴθε, ὦ δέσποινα Ἀθηνᾶ, καὶ ἡμεῖς εὐτυχήσαιμεν τοιούτων τέκνων. ὡς παρθένοι δὲ παρθένῳ θεῷ εὔχονται, ταύτην τέως εἰδυῖαι θεόν. συμπεριλαμβάνουσι δὲ τὸ πᾶν γένος, γενοίμεθα λέγουσαι. 1069. Ἃ δράκοντος) ἥτις τὸν φόνον τὸν διὰ λίθου γενόμενον τοῦ δράκοντος πεποίηκας. δοκεῖ γὰρ Ἀθηνᾶ συμπρᾶξαι τῷ Κάδμῳ κατὰ τῶν σπαρτῶν, καὶ ἱδρύσατο ταύτην Ὄγκαν προσαγορεύσας τῇ τῶν Φοινίκων διαλέκτῳ. ἐπιγέγραπται δὲ τῷ ἱερῷ τούτῳ, Ὄγκας νηὸς, τουτέστιν Ἀθηνᾶς, ὅν ποτε Κάδμος εἵσατο, βοῦν θ' ἱέρευσεν, ὅτ' ἔκτισεν ἄστυ τὸ Θήβας.

1070. Καδ

1057. Διὰ τὴν πρὸς μητέρα συνάφειαν. 1069. Τοῦ δράκοντος φόνον τὸν λιθόβλητον πεποίηκας, ἀντὶ τοῦ διὰ τῆς βολῆς τοῦ λίθου γενόμενον.

Καδμείαν μέριμναν
Ὁρμήσασ' ἐπ' ἔργον.
Ὅθεν ἐπέσυτο τάνδε γᾶν
Ἁρπαγαῖσι δαιμόνων τις ἄτα.

ΣΧΟΛΙΑ.

1070. Καδμείαν μέριμναν) τὸν Κάδμον περιφραστικῶς, διανείρουσα καὶ παρορμήσασα εἰς ἔργον, ἤτοι εἰς τὸν φόνον τοῦ δράκοντος. 2072. Ὅθεν) ἤγουν ἀφ' ἧς αἰτίας ἐπῆλθεν εἰς τήνδε τὴν πόλιν

ΑΓΓΕΛΟΣ, ΙΟΚΑΣΤΗ, ΧΟΡΟΣ, ΑΝΤΙΓΟΝΗ.

Ἰαμβοί.

Αγ. Ὦ Ἠ, τίς ἐν πύλαισι δωμάτων κυρεῖ;
Ἀνοίγετ', ἐκπορεύετ' Ἰοκάστην δόμων.
Ὠὴ μάλ' αὖθις· διὰ μακροῦ μὲν, ἀλλ' ὅμως
Ἔξελθ', ἄκουσον, Οἰδίπου κλεινὴ δάμαρ,
Λήξασ' ὀδυρμῶν, πενθίμων τε δακρύων.
Ιοκ. Ὦ φίλτατ', ἢ που ξυμφορὰν ἥκεις φέρων,
Ἐτεοκλέους θανόντος, οὗ παρ' ἀσπίδα
Βέβηκας αἰεὶ, πολεμίων εἴργων βέλη;
Τί μοι πόθ' ἥκες καινὸν ἀγγέλλων ἔπος;
Τέθνηκεν, ἢ ζῇ παῖς ἐμός; σήμαινέ μοι.
Αγ. Ζῇ· μὴ τρέσῃς τόδ', ὥς σ' ἀπαλλάξω φόβου.
Ιοκ. Τί

ΣΧΟΛΙΑ.

1074. Ὠὴ) τοῦτο καὶ ἐπὶ χαρᾶς λέγεται, καὶ ἐπὶ φόβου καὶ θρήνου, ἐνταῦθα ἐπὶ χαρᾶς. 1075. Ἐκπορεύετε) ἐξάγετε. 1076. Διὰ μακροῦ) βραδέως μὲν ἐξέρχῃ, ἀλλ' ὅμως δὲ ἔξελθε, καὶ ἄκουσον, ἔνδοξε γυνὴ τοῦ Οἰδίποδος, παυσαμένη τῶν θρήνων, καὶ τῶν θρηνωδῶν δακρύων.

Cadmi ſollicitudinem
Impellens ad opus.
Unde invaſit hunc agrum
Rapinis dæmonum quædam noxa.

ΣΧΟΛΙΑ.

πόλιν μεγάλη τις βλάβη ταῖς τῶν θεῶν ἁρπαγαῖς. ἥρπαζε γὰρ ἡ σφίγξ, ὁ δὲ Μενοικεὺς ἔπαθεν τι ὅμοιον ἁρπαγῇ.

1073. Ἄτα) βλάβη, ἣν οἱ θεοὶ ἔπεμψαν, τουτέστι θάλατος. λέγει δὲ τὴν σφίγγα ἣν ὁ Ἄρης ἔπεμπεν.

NUNCIUS, JOCASTA, CHORUS, ANTIGONE.

Nun. EHO, quis in portis ædium occurrit?
Aperite, educite Iocaſten ex ædibus.
Eho rurſus: ſerò quidem, ſed tamen
Egredere, audi, ô inclyta uxor Oedipi,
Sedatis luctibus, & lugubribus lacrymis.

Ioc. O amiciſſime, an venis ferens aliquam calamitatem
De mortuo Eteocle, cui ad clypeum
Adſtas ſemper, arcens tela hoſtium?
Quodnam mihi veniſti novum nuncians nuncium?
Mortuus ne eſt? an vivit filius meus? indica mihi.

Nun. Vivit,ne metuas hoc,quia liberabo te à metu.
Ioc. Quo-

ΣΧΟΛΙΑ.

δακρύων. 1080. Οὐ παρ' ἀσπίδα βέβηκας) ἐν πολλοῖς ἀντιγράφοις οὐ φέρεται οὗτος ὁ στίχος, ἐπειδὴ ὑπασπιστὴς αὐτοῦ ἦν. νυνὶ δὲ κεχώρισται τοῦ δεσπότου, ἀλλὰ τοῦτο ὑπονοεῖ μὴ καὶ τέθνηκεν.

1084. Ὡς ἀπαλλάξω) τὸ εἰς αὐτὴ τοῦ ἥκω, ἦλθον, ἵνα σε ἐλευθερώσω τοῦ φόβου. 1085. Ε-

Ιοχ. Τί δ', ἑπτάπυργοι πῶς ἔχουσι περιβολαί;
Αγ. Ἑστᾶσ' ἄθραυστοι, κοὐκ ἀνήρπασται πόλις.
Ιοχ. Ἦλθον δὲ πρὸς κίνδυνον Ἀργείου δορός;
Αγ. Ἀκμήν γ' ἐπ' αὐτήν· ἀλλ' ὁ Καδμείων Ἄρης
Κρείσσων κατέστη τοῦ Μυκηναίου δορός.
Ιοχ. Ἓν εἰπὲ πρὸς θεῶν, εἴ τι Πολυνείκους πέρι
Οἶσθ', ὡς μέλει μοι καὶ τόδ', εἰ λεύσσει φάος.
Αγ. Ζῇ σοι ξυνωρὶς εἰς τόδ' ἡμέρας τέκνων.
Ιοχ. Εὐδαιμονοίης· πῶς γὰρ Ἀργείων δόρυ
Πυλῶν ἀπεστήσασθε πυργηρούμενοι;
Λέξον, γέροντα τυφλὸν ὡς κατὰ στέγας
Ἐλθοῦσα τέρψω, τῆσδε γῆς σεσωσμένης.
Αγ. Ἐπεὶ Κρέοντος παῖς ὁ γῆς ὑπερθανὼν,
Πύργων ἐπ' ἄκρων στὰς, μελάνδετον ξίφος
Λαιμῶν διῆκε, τῇσδε γῆς σωτήριον,
Λόχους ἔνειμεν ἑπτὰ, καὶ λοχαγέτας
Πύλας ἐφ' ἑπτὰ, φύλακας Ἀργείου δορὸς,
Σὸς παῖς· ἐφέδρους δ' ἱππότας μὲν ἱππόταις
Ἔταξ',

ΣΧΟΛΙΑ.

1085. Ἑπτάπυργοι) ἀντὶ τοῦ ἑπτάπυλοι· πύργος γὰρ ἡ ἀσφάλεια. Ἄλλως. Αἱ ἑπτάπυλοι σκέπαι τῆς πόλεως. 1087. Ἦλθον δὲ πρὸς κίνδυνον) ἀντὶ τοῦ, συμβαλόντες τοῖς Ἀργείοις, κινδύνου διάπειραν ἔχον. 1088. Ἀκμὴν ἐς αὐτὴν) εἰς αὐτὴν ἦλθον τοῦ πολέμου τὴν σφοδρότητα· ἀλλ' ὁ τῶν Θηβαίων πόλεμος ἐπικρατέστερος ἐγένετο τῶν Ἀργείων. 1090. Εἴ τι Πολυνείκους πέρι) φιλόστοργον μητρὸς ἦθος· εὔχεται γὰρ ἑκατέρους εὐτυχεῖν· ἀκούσασα δὲ περὶ Ἐτεοκλέους καὶ περὶ Πολυνείκους ἐρωτᾷ. 1092. Ξυνωρὶς) ἡ δυάς. 1093. Εὐδαιμονοίης) εὐτυχοίης· λέξον δὲ, πῶς τοὺς Ἀργείους ἀπὸ τῶν πυλῶν ἀπεδιώξατε περικυκλούμενοι ὑπ' ἐκείνων, ὅπως εἰσελθοῦσα εὐφράνω τὸν τυφλὸν Οἰδίποδα, τῆς γῆς ταύτης φυλαττομένης. 1098. Μελάνδετον) μέλαιναν λαβὴν ἔχον κερατίνην, ἢ σιδηρᾶν. Ἡσίοδος· Μέλας δ' οὐκ ἔστι σίδηρος. ἐπ' ἄκρων δὲ πύργων, πρὸς τὸ πᾶσι τὴν πρᾶξιν καταφανῆ γενέσθαι. τὸ ἑξῆς ξίφος μελάνδετον.

σωτήρ

Ioc. Quomodo vero ſe habent muri, ſeptem portis diſtincti?

Nun. Stant inconcuſſi, nec capta eſt urbs.

Ioc. Venerúntne verò ad periculum Argivæ pugnæ?

Nun. Ad ipſum articulum ventum eſt. Sed Mars Cadmæus
Superior evaſit Mycenæâ haſtâ.

Ioc. Unum dic, per deos, ſi quid de Polynice
Scis, quia mihi & hoc curæ eſt, an videat lumen.

Nun. Vivit tibi par liberorum in hunc diem.

Ioc. Sis beatus: quomodo verò Argivorum copias
A portis depuliſtis obſeſſi?
Dicito, ut cæcum ſenem domum
Veniens oblectem, hâc terrâ ſervatâ.

Nun. Poſtquam filius Creontis (qui mortuus eſt pro patriâ)
Turribus in ſummis ſtans, nigro-manubrio-munitum-enſem
Per guttur tranſegit, huic Piaculum agro,
Cohortes diſtribuit ſeptem, & cohortium duces
Ad ſeptem portas, cuſtodes Argivi exercitûs,
Tuus filius: adverſantes equites quidem ad equites

Ordi-

ΣΧΟΛΙΑ.

σωτήριον. 1100. Λοχαγέτας) λόχους, τάγματα, φύλακας. Διὰ τοῦτο ἑπτὰ ἔταξε στρατηγοὺς πρὸς ταῖς ἑπτὰ πύλαις, ἑαυτὸν οὐ καταταξας, ὅπως αὐτὸς περιέρχοιτο τὰς πύλας. 1102. Ἐφέδρους) ἀνθυποπάλους ἀγωνιστάς, ἐπικαθεζομένους ἀντιπαρατάξασθαι, εἰ ἐπικρατείη τὸ ἀντίπαλον μέρος. Ἔφεδρος γὰρ ὁ εὐτρεπισμένος, δύο τινῶν παλαιόντων, παλαίειν τῷ νικήσαντι.

1103. Ὁπλί-

1087. Ἦλθον οἱ Θηβαῖοι εἰς ἀγῶνα πολέμου μετὰ τῶν Ἀργείων; λέγει δὲ κίνδυνον ἀντὶ τοῦ ἀγῶνος, ἐπεὶ ὁ τοῦ πολέμου ἀγὼν ἐπικρεμάμενον ἔχει κίνδυνον. 1100. Λοχαγ. ταξιάρχους.

"Εταξ', ὁπλίτας δ' ἀσπιδηφόρους ἔπι,
Ὡς τῷ νοσοῦντι τειχέων εἴη δορὸς
Ἀλκὴ δι' ὀλίγου· περγάμων τ' ἀπ' ὀρθίων,
Λευκάσπιν εἰσορῶμεν Ἀργείων στρατὸν
Τευμησὸν ἐκλιπόντα. Καὶ τάφρου πέλας
Δρόμῳ ξυνῆψαν ἄστυ Καδμείας χθονός.
Παιὰν δὲ καὶ σάλπιγγες ἐκελάδουν ὁμοῦ
Ἐκεῖθεν, ἔκ τε τειχέων, ἡμῶν πάρα.
Καὶ πρῶτα μὲν προσῆγε Νηΐταις πύλαις
Λόχον πυκνοῖσιν ἀσπίσιν πεφρικότα,
Ὁ τῆς κυναγοῦ Παρθενοπαῖος ἔκγονος,
Ἐπίσημ' ἔχων οἰκεῖον ἐν μέσῳ σάκει,
Ἑκηβόλοις τόξοισιν Ἀταλάντην κάπρον
Χειρουμένην Αἰτωλόν. εἰς δὲ Προιτίδας
Πύλας ἐχώρει, σφάγι' ἔχων ἐφ' ἅρμασιν
Ὁ μάντις Ἀμφιάραος, οὐ σημεῖ' ἔχων
Ὑβρισμέν', ἀλλὰ σωφρόνως ἄσημ' ὅπλα.
Ὠγύγια δ' εἰς πυλώμαθ' Ἱππομέδων ἄναξ
Ἔστειχ', ἔχων σημεῖον ἐν μέσῳ σάκει,

Στιχ-

ΣΧΟΛΙΑ.

1103. Ὁπλίτας) πεζούς. 1104. Ὡς τῷ νοσοῦντι) τῷ νοσοῦντι μέρει τῶν τειχῶν. 1107. Τευμησὸν) Τευμησὸς, ὄρος Βοιωτίας, ἀντὶ τοῦ τῷ Τευμησῷ παρακειμένην χώραν. ἐπεὶ πῶς ὁρᾷν ἐδύνατο, τοῦ Τευμησοῦ ἀφεστηκότος πλέον ε' σταδίους τῶν Θηβῶν; ἢ οὐκ ἐκλιπόντα, ἀλλ' ἤδη καταλιπόντα. Καὶ τάφρου πέλας) πλησίον τ' σιάδας. 1109. Παιὰν) εἶδος ᾠδῆς λεγόμενον εἰς Ἀπόλλωνα, ἐπὶ καταπαύσει τῶν δεινῶν. 1111. Νηΐταις πύλαις) ἢ ἀπὸ Νηΐδος τοῦ Ἀμφίονος καὶ Νιόβης· ἢ ἐπεὶ νεάται εἰσίν. ὁ δὲ Φερεκύδης ἀπὸ Νηΐδος τοῦ Ζήθου θυγατρός. 1112. Πεφρικότα δὲ ἐξορθούμενον ταῖς ἀσπίσιν, ὡς τὸ, Ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείησι. 1116. Προιτίδας) ἐκβληθεὶς γὰρ ὑπὸ Ἀκρισίου, ᾤκησεν ὁ Προῖτος εἰς τὰς Θήβας, πλησίον τούτων τῶν πυλῶν, καὶ Προιτίδες ὑπ' αὐτοῦ ὠνομάσθησαν. 1117. Σφάγι' ἔχων) ἱερεῖα σφ-

σφαγια-

Ordinavit, & pedites ad pedites,
Ut laboranti *parti* murorum esset exercitûs *nostri*
Defensio prope: *Statim* autem arcibus ab arduis
Albis scutis *decorum* prospicimus Argivûm exercitum
Teumessum deseruisse. Et *tandem veniens* prope fossam
Cursu attigit urbem Cadmeæ terræ.
Pæan verò, & tubæ sonuerunt simul
Inde, & de mœnibus, *nempè* à nobis.
Et primum quidem adduxit ad Neitas portas
Cohortem crebris clypeis horrentem
Parthenopæus filius venatricis,
Tenens domesticum signum in medio clypeo
Atalantam arcu procul jaculante aprum
Ætolum conficientem. Ad Prœtidem vero
Portam vadebat, victimas habens in curru
Vates Amphiaraus, non habens signa
Significantia arrogantiam, sed modestè signis carentia arma.
Ad portam verò Ogygiam Hippomedon rex
Constitit, habens signum in medio clypeo,
Variis

ΣΧΟΛΙΑ.

σφαγὴν ἔχων ἐπεμπε ἐν τῷ ἅρματι, ἵν' εἰ χρεία γένοιτο μαντείας, εὐθέως σφάξας μαντεύσηται. 1118. Οὐ σημεῖ' ἔχων) οὐκ ἔχων ἐπὶ τῇ ἀσπίδι σημεῖα ὑπερήφανα καὶ μετ' ἀλαζονείας, ὡς τὰ Καπανέως. καὶ παρ' Αἰσχύλῳ· Τοιαῦθ' ὁ μάντις, ἀσπίδ' εὔκυκλον νέμων Πάγχαλκον, ηὔδα· σῆμα δ' οὐκ ἐπῆν κύκλῳ. Οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλει. 1122. Στικ-

1104. Ἐπαλλήλους τούτους ἔταξεν, ἵνα φησὶν, εἴη τοῖς νοσοῦσι μέρεσι πολέμου βοήθεια ἐγγύς. 1109. Ἐκλελοιπότα. ἐπὶ λευκοπέρατον κορυφὴν ἥκομεν. 1112. Πεφρικυῖαν φρὶξ, τὸ ἀνεστηκὸς τῆς θαλάσσης ἐπιπολῆς. ἀπὸ τούτου κατὰ μεταφορὰν, καὶ ἐπὶ συὸς, ὀρθὰς δ' ἐν λοφιᾷ φρίσσει τρίχας --- ἔφριξε μάχη --- καὶ ἐνταῦθα, ἀσπίδα πεφρικότα, οἱονεὶ κυμαίνουσαν τῇ πυκνότητι καὶ κινήσει τῶν ἀσπίδων καὶ ὀρθιάσει.

Στικτοῖς πανόπτην ὄμμασιν δεδορκότα,
Τὰ μὲν σὺν ἄστρων ἐπιτολαῖσιν ὄμματα
Βλέποντα, τὰ δὲ κρύπτοντα δυνόντων μέτα,
Ὡς ὕστερον θανόντος εἰσορᾷν παρῆν.
Ὁμολωΐσιν δὲ τάξιν εἶχε πρὸς πύλαις
Τυδεὺς, λέοντος δέρος ἔχων ἐπ' ἀσπίδος,
Χαίτῃ πεφρικός· δεξιᾷ δὲ λαμπάδα
Τιτὰν Προμηθεὺς ἔφερεν, ὡς πρήσων πόλιν.
Ὁ σὸς δὲ Κρηναίαισι Πολυνείκης πύλαις
Ἄρην προσῆγε. Ποτνιάδες δ' ἐπ' ἀσπίδι
Ἐπίσημα πῶλοι δρομάδες ἐσκίρτων φόβῳ,
Εὖ πως στρόφιγξιν ἔνδοθεν κυκλούμεναι
Πόρπαχ' ὑπ' αὐτὸν, ὥστε μαίνεσθαι δοκεῖν.
Ὁ δ' οὐκ ἔλασσον Ἄρεος εἰς μάχην φρονῶν,
Καπανεὺς, προσῆγε λόχον ἐπ' Ἠλέκτραις
πύλαις.

Σιδη-

ΣΧΟΛΙΑ.

1122. Στικτοῖς) ποικίλοις, καταπληκτικοῖς. Πανόπτην) τὸν Ἄργον κύνα. 1123. Ἐπιτολαῖσι) τοῖς μὲν πρὸς ἀνατολαῖς κειμένοις ὄμμασι βλέποντα, μύοντα δὲ τὰ πρὸς δύσιν. θέλει γὰρ αὐτὸν τοῖς μὲν διαγρυπνεῖν, τοῖς δὲ καθεύδειν ὄμμασι. Ἄλλως. Ὁ Εὐριπίδης ἔνια μὲν τῶν τοῦ Ἄργου ὀμμάτων συνανατέλλειν φησὶ τοῖς ἄστροις δεδορκότα, τὰ δὲ πρὸς ταῖς δύσεσι καταμύειν. ὁ μὲν γὰρ Φερεκύδης ἐπὶ τοῦ ἰνίου φησὶν, αὐτὸν ἔχειν ὀφθαλμὸν, ἅμα δηλῶν, ὅτι δύο ἐγένοντο Ἄργοι. γράφει δὲ οὕτως· Ἄργος ὁ Διὸς, γαμεῖ Πειθὼ τὴν Ὠκεανοῦ θυγατέρα· τοῦ δὲ γίνεται Κέλασος, τοῦ δὲ Ἐρευθαλίων (ἀφ' οὗ Ἐρευθαλία πόλις καλεῖται ἐν Ἄργει) καὶ Φόρβας. τοῦ δὲ γίνεται Ἀρέστωρ, τοῦ δὲ Ἄργος, ᾧ Ἥρα ὀφθαλμὸν τίθησιν ἐν τῷ ἰνίῳ, καὶ τὸν ὕπνον ἐξαιρεῖται, καὶ ὑφίσταται δὲ φύλακα αὐτὸν τῇ Ἰοῖ. ἔπειτα Ἑρμῆς αὐτὸν κτείνει. Διονύσιος δὲ ἐν τῷ ἑνδεκάτῳ τοῦ Κύκλου, βύρσαν αὐτὸν ἠμφιέσθαι φησὶ, καὶ κύκλῳ τὸ σῶμα ὅλον ὀμματῶσθαι. ὁ δὲ τὸν * ποιήσας φησί· Καὶ οἱ ἐπίσκοπον Ἄργον ἵει κρατερόν τε, μέγαν τε, Τέτρασιν ὀφθαλμοῖσιν ὁρώμενον ἔνθα καὶ ἔνθα, Ἀκάματον δέ οἱ ὦρσε θεὰ μένος, οὐδέ οἱ ὕπνος Πίπτεν ἐπὶ βλεφάροις, φυλακὴν δ' ἔχεν ἔμπεδον αἰεί. 1126. Ὁμολωΐσιν) πύλαι Θηβῶν αὗται

οὕτω

Variis Argum oculis cernentem,
Alios quidem cum astrorum ortu oculos *habentem*
Cernentes, alios verò occlusos cum *astris* occidentibus,
Ut postea ipso mortuo videre licebat.
Ad portam verò Homoloida tenebat locum suum
Tydeus, habens in clypeo pellem leonis,
Setis horrentem; dexterâ verò facem
Qualem gigas Prometheus ferebat, incensurus urbem.
Ad Crenæam verò portam filius tuus Polynices
Duxit copias. Potniades verò in clypeo
Insigne equæ pernices saltabant præ metu,
Scitè in gyrum intus circumactæ
Ad ipsum clypei manubrium, ut furere viderentur.
Non minus verò Marte in pugnâ audax
Capaneus adduxit copias ad portam Electram.

Ferreis

ΣΧΟΛΙΑ.

οὕτως ἐκλήθησαν, ἀπὸ Ὁμολωέως τοῦ Ἀμφίονος. τοὺς γὰρ περὶ Ἀμφίονά φασιν ἅμα Κάδμῳ τειχίσαι τὴν πόλιν. Ἀρισόδημος δὲ αὐτάς φησιν οὕτω κληθῆναι, διὰ τὸ πλησίον εἶναι τοῦ Ὁμολωΐου. ἄλλοι δὲ ἀπὸ μιᾶς τῶν Νιόβης θυγατέρων, Ὁμολωΐδος καλουμένης. 1127. Λέοντος δέρος) λέοντος δέρμα ὁ Τυδεὺς εἶχεν ἐγγεγραμμένον, τῇ μὲν λαιᾷ τὸ δέρμα, τῇ δὲ δεξιᾷ τὸν πυρσόν. τὸ δὲ, 1129. Τιτὰν Προμηθεὺς) οὕτως ἐξεδέξαντο τινὲς, ἀντὶ τοῦ δέρυ εἶχεν ὡς Τιτὰν, ἀλλ᾽ αὐτόχρημα Τιτὰν Προμηθεύς. 1130. Κρηναίαισι) ταῖς ἐν τῇ Δίρκῃ. 1131. Ποτνιάδες) τὰς τοῦ Γλαύκου φησὶν, αἳ λυσσήσασαι, κατέφαγον τὸν δεσπότην Γλαῦκον, τὸν Σισύφου, ἐν Ποτνίαις τῆς Βοιωτίας. 1132. Ἐσκίρτων) ἐφοίτων. 1133. Στρόφιγξι μηχαναῖς· ἔνδοθεν κυκλούμεναι) ἔνδοθεν τοῦ ἄντυγος δηλονότι, ἵνα εἴπῃ κατὰ μέσον τῆς ἀσπίδος. στρόφιγξι δὲ, ταῖς περιφοραῖς τοῦ δρόμου. 1134. Πόρπαχ᾽ ὑπ᾽ αὐτὸν) κατὰ τὸ μέσον τῆς ἀσπίδος. 1136. Ἐπ᾽ Ἠλέκτραις πύλαις) ἀπὸ Ἠλεκτρύωνος τοῦ πατρὸς Ἀλκμήνης, ἢ ἀπὸ Ἠλέκτρας τῆς Ἀμφίονος. ἔνιοι δὲ ἀπὸ Ἠλέκτρας τῆς Ἁρμονίας μητρὸς, ἧς εἶναι ἀνάθημά φασι τὸ ἐν Τροίᾳ Παλλάδιον, τὸ κλαπὲν ὑπὸ Ὀδυσσέως καὶ Διομήδους.

1137. Σιδη-

Σιδηρονώτοις δ' ἀσπίδος τύποις ἐπῆν
Γίγας, ἐπ' ὤμοις γηγενὴς ὅλην πόλιν
Φέρων, μοχλοῖσιν ἐξανασπάσας βίᾳ,
Ὑπόνοιαν ἡμῖν, οἷα πείσεται πόλις.
Ταῖς δ' Ἑβδόμαις Ἄδραστος ἐν πύλαισιν ἦν,
Ἑκατὸν ἐχίδναις ἀσπίδ' ἐκπληρῶν γραφῇ
Ὕδρας, ἔχων λαιοῖσιν ἐν βραχίοσιν
Ἀργεῖον αὔχημ'· ἐκ δὲ τειχέων μέσων
Δράκοντες ἔφερον τέκνα Καδμείων γνάθοις.
Παρῆν δ' ἑκάστου τῶνδέ μοι θεάματα,
Ξύνθημα παρφέροντι ποιμέσιν λόχων.
Καὶ πρῶτα μὲν τόξοισι καὶ μεσαγκύλοις
Ἐμαρνάμεσθα, σφενδόναις θ' ἑκηβόλοις,
Πετρῶν τ' ἀραγμοῖς. ὡς δ' ἐνικῶμεν μάχῃ,
Ἔκλαγξε Τυδεὺς, καὶ σὸς ἐξαίφνης γόνος,
Ὦ τέκνα Δαναῶν, πρὶν καταξανθῆναι βολαῖς,
Τί μέλλετ' ἄρδην πάντες ἐμπίπτειν πύλαις,
Γυμνῆτες, ἱππεῖς, ἁρμάτων τ' ἐπιστάται;
Ἠχῆς δ' ὅπως ἤκουσαν, ἀργὸς οὔτις ἦν.

Πολ-

ΣΧΟΛΙΑ.

1137. Σιδηρονώτοις) πῶς οὖν ἀνωτέρω εἶπε λευκάσπιδα εἰσορῶμεν Ἀργείων στρατόν. ἐν δὲ τῇ Ἀντιγόνῃ· ἐπὶ χρυσονώτου ἀσπίδα τὴν Καπανέως. λευκάσπιν μὲν οὖν ἀπὸ τοῦ πλεονάζοντος φησί. χρυσονώτου δὲ τὸ πολυτελῆ. σιδηρονώτου δὲ, τὴν ἰσχυρὰν ἀσπίδα. Σιδηρονώτοις) χαλκενδύτοις. 1140. Ὑπόνοιαν ἡμῖν) τουτέστιν εἰς ὑποψίαν καὶ σημεῖον, ὁποῖα ἡ πόλις πείσεται. ὑπέκειτο γάρ φησι, καὶ ἐζωγράφητο ὑπὸ τῆς ἀσπίδος γίγας, φέρων ἐπὶ τοῖς ὤμοις πᾶσαν τὴν πόλιν, ὑπόνοιαν διδοὺς· καὶ τὰ ἑξῆς. 1142. Ἑκατὸν ἐχίδναις) πληρῶν τὴν ἀσπίδα ἑκατὸν ἐχίδναις. ἐχιδνοκέφαλος γὰρ ἡ ὕδρα. ἡ δὲ σύνταξις, πολλαῖς ἐχίδναις, τουτέστι κεφαλαῖς ὕδρας ἐκπληρῶν τὴν ἀσπίδα, ἀντὶ τοῦ πληρώσας. τὸ δὲ ἑξῆς ἀσπίδα ἔχων λαιοῖς ἐν βραχίοσιν, ἑκατὸν ἐχίδναις ὕδρας ἐκπληρῶν τῇ γραφῇ, ἀντὶ τοῦ ἑκατὸν κεφαλαῖς. λέγει δὲ τὴν ὕδραν, ἐχιδναίαις

γάρ

Ferreis verò in clypeo figuris signum erat,
Gigas è terrâ natus, in humeris totam urbem
Sustinens, vectibus convulsam violentèr:
Ut esset signum nobis, qualia passura esset urbs.
Adrastus verò erat in *Hebdomis* portis, 1141
Centum viperas habentem clypeum implens
Hydræ: habens in lævo brachio [picturâ
Argivum arrogantiæ signum; ex mœnibus verò mediis
Dracones efferebant pueros Thebanos maxillis.
Fui autem spectator horum omnium, 1146
Tesseram ferens ducibus ordinum.
Et primò quidem arcubus & sagittis
Pugnabamus, & fundis longè ferientibus,
Saxorúmque fragore, *i.e. saxis*: cùm autem essemus superiores pugnâ, 1150
Clamavit Tydeus, & tuus derepente filius,
O filii Danaûm, priusquam laceremur jactibus,
Quid cunctamini simul omnes irruere in portas,
Eques pedésque, & gubernatores curruum? 1154
Postquam autem audiverunt hanc vocem, nullus erat ignavus: Multi

ΣΧΟΛΙΑ.

γὰρ ἦσαν αἱ ταύτης κεφαλαί. 1147. Σύνθημα) ἀγγελίαν, μήνυμα, σημεῖον τι ἴδιον εἰ γινώσκουσιν ὑπὲρ τοῦ μὴ τοὺς ἰδίους φονεύειν. Ποιμέσι δὲ λόχων) τοῖς στρατηγοῖς τῶν ταγμάτων. 1148. Μεσαγκύλαις δὲ, τοῖς ἀκοντίοις. διὰ τὸ κατὰ μέσον τοῦ ξύλου, τὰ ἀκόντια ἀγκύλον τι καὶ κοῖλον ἔχειν. 1152. Καταξανθῆναι) ἐκ μεταφορᾶς τῶν ἐρίων κατὰ μικρὸν ξαινομένων τῇ ἐργασίᾳ. 1153. Τί μέλλετε) διατί καθ' ὀλίγον ἀναλισκόμεθα, καὶ οὐχὶ πάντες ἐμπίπτομεν ταῖς πύλαις; γυμνῆτες δὲ οἱ σφενδονῆται καὶ οἱ τοξόται.

1158. Κυβι-

1137. Σιδηρ. ἐπὶ τοῖς τύποις, ἤγουν ταῖς γραφαῖς, ταῖς σιδηρογραφίαις τῆς ἀσπίδος, ἀντὶ τοῦ ἐπὶ τῷ νώτῳ τῆς ἀσπίδος ἦν γίγας ἐκβεβλημένην πόλιν φέρων ἐπὶ τοῖς ἑαυτοῦ ὤμοις ἐκμοχλεύσας αὐτὴν σὺν βίᾳ μοχλῶν. 1153. Τί βραδύνετε μετ᾽ ὀργῆς κινήσαντες τὴν συντεταγμένην ὥστε ἐπιπεσεῖν ταῖς πύλαις. 1155. Ἠχὴ ἀρσενικῶς ἦχος κοινὸν, ἠχὼ δὲ τὸ τῆς κραυγῆς ἀντίφθεγμα, καὶ ἄνεμος θηλ.

Πολλοὶ δ' ἔπιπτον κρᾶτας αἱματούμενοι.
Ἡμῶν τ' ἐς οὖδας εἶδες ἂν πρὸ τειχέων
Πυκνοὺς κυβιστητῆρας ἐκπεπνευκότας.
Ξηρὰν δ' ἔδευον γαῖαν αἵματος ῥοαῖς.
Ὁ δ' Ἀρκάς, οὐκ Ἀργεῖος, Ἀταλάντης γόνος,
Τυφὼς πύλαισιν ὥς τις ἐμπεσών, βοᾷ
Πῦρ καὶ δικέλλας, ὡς κατασκάψων πόλιν.
Ἀλλ' ἔσχε μαργῶντ' αὐτὸν ἐναλίου θεοῦ
Περικλύμενος παῖς, λᾶαν ἐμβαλὼν κάρᾳ
Ἁμαξοπληθῆ, γεῖσσ' ἐπάλξεων ἄπο.
Ξανθὸν δὲ κρᾶτα διεπάλυνε, καὶ ῥαφὰς
Ἔρρηξεν ὀστέων, ἄρτι δ' οἰνωπὸν γένυν
Καθημάτωσεν· οὐδ' ἀποίσεται βίον
Τῇ καλλιτόξῳ ματρί, Μαινάλου κόρῃ.

Ἐπεὶ

ΣΧΟΛΙΑ.

1158. Κυβιστητῆρας ἐκπεπνευκότας) τὴν ψυχὴν παραδεδωκότας, καὶ ἐπὶ τῆς κεφαλῆς πεπτωκότας. 1160. Ὁ δ' Ἀρκάς) Ἀρκὰς μὲν ὢν ἐν Ἄργει ἐπαιδεύθη, ὡς ἐν ἄλλοις φησίν· Ἀρκὰς μέν ἐστιν, ἐλθὼν δ' ἐπ' Ἰνάχου ῥοὰς Παιδεύεται κατ' Ἄργος. Ἀταλάντης γόνος) ὁ Παρθενοπαῖος. 1161. Τυφὼς πύλαισι) τύφεσθαί ἐστι τοὺς ὀφθαλμοὺς συγκεχύσθαι. Μένανδρος ἐν Φιλαδέλφοις· Νὴ τὸν Δία τὸν μέγιστον ἐκτυφήσομαι. Καὶ ἐν Ἐπιτρέπουσιν· Ἐξετύφην μὲν οὖν κλαίουσα. Τυφὼς μὲν οὖν ἡ ἐκ τῆς ἀναθυμιάσεως, πρὶν ἐκπυρωθῆναι τὸν ἀέρα, συστροφή· βούλεται δὲ ἀπὸ μέρους τὸ πῦρ δηλῶσαι· ἐμπεσὼν, φησὶ, ταῖς πύλαις, ὡς πῦρ, ἀνεβόησε φωνῇ μεγάλῃ, πῦρ καὶ δικέλλας αἰτῶν· τινὲς ἐκ τοῦ Τυφῶνος ἐδέξαντο ἑνὸς τῶν γιγάντων. Τυφὼς) πελάσιος δαίμων, καὶ τὸ σφοδρὸν τοῦ ἀνέμου. 1163. Ἀλλ' ἔσχε) πρὸς ταῖς Κρηναίαις πύλαις, φησὶ τὸν Παρθενοπαῖον ὑπὸ τοῦ Περικλυμένου λιθοβοληθῆναι Ἀριστόδημος. Μαργῶντα) μεμηνότα. Ἐναλίου θεοῦ) τοῦ Ποσειδῶνος. 1165. Ἁμαξοπληθῆ) δυνάμενον πληρῶσαι ἅμαξαν. ἀπὸ κοινοῦ τὸ ἐμβαλών. Γεῖσσ' ἐπάλξεων) τὰ ἄκρα τῶν ἐπάλξεων. 1166. Ξανθὸν δὲ κρᾶτα) ἀμφίβολον, πότερον τοὺς κρᾶτας εἶπεν, ἢ τὰς κράτας. ἐπεὶ καὶ ἐν Ἀρχελάῳ. Ἐγὼ δὲ τὸ σὸν κρᾶτ' ἀναστρέψαι θέλω. καὶ Ὅμηρος ἀμφιβόλως εἴρηκεν, εἰπὼν κεράτων τυπτομένων. καὶ Ἴων, τύπτων τὸ αὐτοῦ κρᾶτα. 1166. Διεπάλυνε)

Multi autem cadebant cruentati capitibus.
Et è nostris quoque in solum *cadentes* vidisses ante mœnia
Crebros saltatores expirare animam.
Siccam autem rigabant terram fluxu sanguinis.
Arcas verò ille, non Argivus, filius Atalantæ,
Sicut turbo quidam in portas irruens, clamat
Ignem & dolabras, *vel ligiones*; tanquam eversurus urbem.
Sed repressit ipsum furentem marini dei
Filius Periclymenus, dejiciens saxum in caput,
Quod implevisset currum, pinnis à propugnaculo *revulsis*:
Flavúmque caput comminuit, & suturas
Ossium rupit; statímque rubras genas
Cruentavit: neque referet vitam
Insigni jaculatrici matri, Mænaliæ puellæ, *i. e. Arcadica.*

Post-

ΣΧΟΛΙΑ.

πάλωσε) διελέπτυνε. Διεσπάλωσεν) εἰς λεπτὰ διέχεε. ἐκ γὰρ τοῦ πασπάλη λέγεται τὸ λεπτότατον τοῦ ἀλεύρου. Ὅμηρος· Ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας· ἀντὶ τοῦ ἐπέπασεν, παρὰ τὸ, Παλάσσετο δ' αἵματι θώρηξ. Ῥαφὰς) συνδέσεις. 1167. Οἰνωπὸν) πυῤῥὸν, ξανθίζουσαν γένυν, ἣν παραχρῆμα ᾑμάτωσεν. 1168. Οὐ δ' ἀποίσεται) οὐδὲ κομιεῖ ἑαυτὸν ζῶντα, πρὸς τὴν μητέρα.

1171. Ἐπηὶ)

1157. Καὶ ἀφ' ἡμῶν εἶδες ἂν πολλοὺς κατὰ κεφαλῆς πίπτοντας εἰς τὸ ἔδαφος ἀπὸ τῶν τειχῶν ἐκπεπτωκότας. 1161. Τυφὼς, ἡ κονιῶς ἀνεμοζάλη. 1162. Δότε μοι πῦρ καὶ δ. ἵνα καταβάλω πόλιν. 1167. Τὴν ἄρτι δὲ ξανθότριχα σιαγόνα, ἤγουν τὴν ἐκ τοῦ μικροῦ τὰς μακρὰς τρίχας φύουσαν, ᾑμαγμένην ἐποίησεν. 1168. Οὐδὲ διασώσει τὴν ἑαυτοῦ ζωὴν, ἤγουν οὐδὲ ἐπάξει ἑαυτὸν ζῶντα τῇ ἑαυτοῦ μητρὶ τῇ Ἀταλάντῃ τῇ κόρῃ τοῦ Μαινάλου, ἤγουν τῇ περὶ τὸ Μαίναλον διατριβούσῃ.

Ἐπεὶ δὲ τάσδ' ἐσεῖδεν εὐτυχεῖς πύλας,
Ἄλλας ἐπῄει παῖς σός, εἱπόμην δ' ἐγώ.
Ὁρῶ δὲ Τυδέα, καὶ παρασπιστὰς πυκνούς,
Αἰτωλίσιν λόγχαισιν εἰς ἄκρον στόμα
Πύργων ἀκοντίζοντας, ὥστ' ἐπάλξεων
Λιπεῖν ἐρείπνας φυγάδας. ἀλλά νιν πάλιν,
Κυναγὸς ὡσεί, παῖς σὸς ἐξαθροίζεται,
Πύργοις δ' ἐπέστησ' αὖθις. εἰς δ' ἄλλας πύλας
Ἠπειγόμεσθα, τοῦτο παύσαντες νοσοῦν.
Καπανεὺς δέ, πῶς εἴποιμ' ἄν, ὡς ἐμαίνετο;
Μακραύχενος γὰρ κλίμακος προσαμβάσεις
Ἔχων ἐχώρει, καὶ τοσόνδ' ἐκόμπασε,
Μηδ' ἂν τὸ σεμνὸν πῦρ νιν εἰργαθεῖν Διός,
Τὸ μὴ οὐ κατ' ἄκρων περγάμων ἑλεῖν πόλιν.
Καὶ ταῦθ' ἅμ' ἠγόρευε, καὶ πετρούμενος,
Ἀνεῖρφ' ὑπ' αὐτὴν ἀσπίδ' εἱλίξας δέμας,
Κλίμακος ἀμείβων ξέστ' ἐνηλάτων βάθρα.
Ἤδη δ' ὑπερβαίνοντα γεῖσα τειχέων

Βάλλει

ΣΧΟΛΙΑ.

1171. Ἐπῄει) ἐπήρχετο. 1172. Παρασπιστὰς) ἀσπιδηφόρους. 1175. Ἐρείπνας) τῶν ἐπάλξεων τὰ ἄκρα, ὥστε καταλείψαι τὰς ἐπάλξεις φυγάδας γινομένους ἡμᾶς. Ἀλλά νιν) τὸν λαόν. 1176. Ἐξαθροίζεται) συνάγει πάλιν, καὶ ἐν τοῖς πύργοις ἔστησεν. 1178. Νοσοῦν) τοῦτο τὸ μέρος παύσαντες δυστυχοῦν, καὶ κακῶς ἔχον, ἐσπεύδομεν εἰς ἄλλας πύλας. 1179. Ὡς) πῶς. 1180. Προσαμβάσεις) τὰς ἀναβάσεις τῆς ὑψηλῆς κλίμακος βαστάζων, ἐπορεύετο. 1181. Καὶ τοσόνδ' ἐκόμπασε) καὶ τοσοῦτον ἐκαυχήσατο, μηδὲ τὸ τίμιον πῦρ, ὅ ἐστιν ὁ κεραυνός, κωλύειν αὐτόν, τοῦ μὴ πορθῆσαι τὴν πόλιν ἀπ' ἄκρων τειχῶν. 1183. Κατ' ἄκρων) ἢ κατὰ αὐτὸς τὸ ἑλεῖν, περγάμων δὲ τῶν τειχῶν. εἰς τὸ μὴ καθελεῖν τὴν πόλιν, τὸ γὰρ οὐ πλεονάζει. 1185. Ὑπ' αὐτὴν ἀσπίδα) ἐναργῶς ἔδειξε τοῦτον ὑπὸ τῇ ἀσπίδι κεκαλυμμένον, καὶ βαλλόμενον ἄνωθεν, ὡς τὸ ἀσπίδι ταυρείῃ κεκαλυμμένος. περιφραστικῶς δὲ ἀνήλατο, ὅπερ

ἐπιβαινόμενα,

Poſtquam autem hanc portam vidit fortunatam,
Acceſſit alias filius tuus, *Eteocl.* ſequebar verò ego.
Video autem Tydeum, & crebros milites clypeatos
Ætolicis haſtis in ſummitates
Turrium jaculantes, ut murorum
Propugnacula ſumma relinquerent noſtri fugitivi: ſed eos rurſus,
Tanquàm venator, filius tuus collegit,
Et rurſus ad turres collocavit. Ad aliam verò portam
Feſtinabamus, ubi *partem* hanc laborantem curaſſemus.
Quomodo autem dicam, quàm Capaneus inſaniverit?
Longarum enim ſcalarum gradus
Geſtans veniebat, atque hæc ſuperbè protulit,
Nè ſacrum quidem ignem ipſum Jovis prohibiturum,
Quominus à ſummis arcibus capiat urbem.
Et hæc ſimul dixit, & quamvis ſaxis peteretur,
Aſcendebat *tamen*, ſub ipſum clypeum contracto corpore,
Scalarum clavis munitarum politos gradus percurrens.
Et jam eminentem mœnium pinnas ſuper,
Ferit

ΣΧΟΛΙΑ.

ἐπιβαινόμενος, ἢ τὰς βάσεις τῶν ἐνηλάτων τῆς κλίμακος. Ἄλλως. Ἐνήλατα εἰσὶ τὰ ὀρθὰ ξύλα, ἔνθα πήγνυνται ἢ ἐλαύνεται τὰ βάθρα τῆς κλίμακος. 1185. Ἀμείβων) διερχόμενος.

1190. Ἐσφει-

1174. Ἐρείπειν ἐπάλξ. ὥστε λιπεῖν τοὺς ἐν τοῖς τείχεσι τὰ μετέωρα τῶν τειχῶν, φυγόντας. 1180. Μακραύχ. ὑψηλῆς κλίμακος ἐπαναβάσεις φέρων. 1182. Εἴργω κοινόν. εἴργαθω Ἀττικόν.

Βάλλει κεραυνῷ Ζεύς νιν. ἐκτύπησε δὲ
Χθών, ὥστε δεῖσαι πάντας. ἐκ δὲ κλιμάκων
Ἐσφενδονᾶτο χωρὶς ἀλλήλων μέλη·
Κόμαι μὲν εἰς ὄλυμπον, αἷμα δ' εἰς χθόνα·
Χεῖρες δὲ καὶ κῶλ', ὡς κύκλωμ' Ἰξίονος,
Ἑλίσσετ'· εἰς γῆν δ' ἔμπυρος πίπτει νεκρός.
Ὡς δ' εἶδ' Ἄδραστος Ζῆνα πολέμιον στρατῷ,
Ἔξω τάφρου καθεῖσεν Ἀργείων στρατόν.
Οἱ δ' αὖ παρ' ἡμῶν δεξιὸν Διὸς τέρας
Ἰδόντες, ἐξήλαυνον ἁρμάτων ὄχους·
Ἱππεῖς ὁπλῖται, κεὶς μέσ' Ἀργείων ὅπλα
Συνῆψαν ἔγχη. πάντα δ' ἦν ὁμοῦ κακά.
Ἔθνησκον, ἐξέπιπτον ἀντύγων ἄπο·
Τροχοί τ' ἐπήδων, ἄξονές τ' ἐπ' ἄξοσι·
Νεκροὶ δὲ νεκροῖς ἐξεσωρεύονθ' ὁμοῦ.
Πύργων μὲν οὖν γῆς ἔσχομεν κατασκαφὰς
Εἰς τὴν παροῦσαν ἡμέραν· εἰ δ' εὐτυχὴς
Ἔσται τὸ λοιπὸν ἥδε γῆ, θεοῖς μέλει.
Χο. ε' Καλὸν τὸ νικᾶν· εἰ δ' ἀμείνον' οἱ θεοὶ

Γνώμην

ΣΧΟΛΙΑ.

1190. Ἐσφενδονᾶτο) ὡς ἀπὸ σφενδόνης ἐχωρίζετο καὶ ἐρρίπτετο τὰ μέλη αὐτοῦ ἀπ' ἀλλήλων. 1192. Κῶλα) τὰ ἄκρα τῶν ποδῶν. ὡς κύκλωμα δὲ, ὡς ὁ τροχὸς τοῦ Ἰξίονος, περὶ ὃν ἀεὶ στρέφεται. οὗτος γὰρ ὁ Ἰξίων διὰ τὸ ἐρασθῆναι Ἥρας, ταύτην κατεδικάσθη τὴν τιμωρίαν ἐν ᾅδου. 1193. Ἔμπυρος) κεκαυμένος. 1195. Καθεῖσεν) καθεσθῆναι ἐποίησεν ἔξω τῆς σούδας. 1197. Ἁρμάτων ὄχους) τὰ ἅρματα, περιφραστικῶς. 1198. Κεὶς μέσ') ἐν μέσῃ τῇ παρατάξει. 1201. Ἄξονές τ' ἐπ' ἄξοσι) τὸ παρ' Αἰσχύλῳ ἐν Γλαύκῳ· Ἐφ' ἅρματος γὰρ ἅρμα, καὶ νεκρῷ νεκρός. Ἵπποι δ' ἐφ' ἵπποις ἦσαν ἐμπεφυρμένοι. 1202. Ἐξεσωρεύονθ' ὁμοῦ) σωρηδὸν ἀλλήλοις ἐπέκειντο. 1203. Ἔσχομεν κατασκαφὰς) τοὺς θεμελίους τῶν πύργων κατασκαφῆναι διεκωλύσαμεν. 1205. Θεοῖς μέλει) τοῖς θεοῖς φροντίς ἐστι. 1206. Καλὸν τὸ νικᾶν) καλὸν τὸ

νικᾶν

Ferit eum fulmine Jupiter. Strepitum autem edidit
Terra, ut omnes metuerent: at è scalis
Velut fundâ tacta disjiciebantur seorsum alia ab aliis membra *ejus:*
Comæ quidem cœlum versus, sanguis verò in terram;
Manus verò & pedes, ut rota Ixionis
Volvebantur: ignitum verò in terram cadit cadaver.
Postquam autem vidit Adrastus Jovem inimi- [cum exercitui,
Extra fossam reduxit Argivum exercitum.
Nostri verò vicissim dextrum Jovis signum
Videntes, eduxerunt curruum vehicula
Equites gravitèr armati, & in media Argivorum arma
Ruentes commiserunt hastas. Omnia autem mala concurrunt.
Moriebantur, cadebant ex suis curribus;
Rotæque absiliunt, axesque *implicantur* axibus:
Et cadavera cadaveribus cumulabantur simul.
Prohibuimus igitur eversionem turrium terræ hujus
Hodie: an *verò* felix
Futura sit in posterum hæc urbs, Diis erit curæ.
Ch. Pulchrum est vincere: si verò dii meliorem
Habu-

ΣΧΟΛΙΑ.

νικᾷν ἐστίν. εἰ δὲ καὶ βέλτιον τοῦ νικᾷν ἡμᾶς βουλεύονται οἱ θεοὶ εὐτυχέστερον ἄν. λέγει δὲ τὸ φιλίαν ἐμβαλεῖν τοῖς ἀδελφοῖς. Εἰ δὲ ἀμείνονα) τινὲς ἀντὶ τοῦ δικαίαν. ὁ δὲ νοῦς, ἐγένετο μὲν νικᾷν τοὺς Θηβαίους. εἰ δὲ οἱ θεοὶ τὰ δίκαια κρίνουσι, καὶ συμβῇ ἀπολέσθαι τοὺς Θηβαίους, ἀλλ' οὐ ἐγὼ διαφόρομαι. 1213. Ἀλλ'

1192. Κῶλα, οἱ πόδες. 1199. Ξυνῆψαν ἔγχη, συνεκρότησαν τὴν μάχην. 1200. Ἄντυξ, ἡ περιφέρεια τοῦ ἅρματος· ἐνταῦθα ἀντύγων ἄπο, ἀντὶ τοῦ ἀπὸ ἁρμάτων.

Γνώμην ἔχοιεν, εὐτυχὴς εἴην ἐγώ.
Ιοκ. " Καλῶς τὰ τῶν θεῶν καὶ τὰ τῆς τύχης ἔχει.
Παῖδές τε γάρ μοι ζῶσι, κἀκπέφευγε γῆ.
Κρέων δ' ἔοικε τῶν ἐμῶν νυμφευμάτων,
Τῶν τ' Οἰδίπου δύστηνος ἀπολαῦσαι κακῶν,
Παιδὸς στερηθεὶς, τῇ πόλει μὲν εὐτυχῶς,
Ἰδίᾳ δὲ λυπρῶς. ἀλλ' ἄνελθέ μοι πάλιν,
Τί τἀπὶ τούτοις παῖδ' ἐμὼ δρασείετον;
Αγ. Ἔα τὰ λοιπά· δεῦρ' ἀεὶ γὰρ εὐτυχεῖς.
Ιοκ. Τοῦτ' εἰς ὕποπτον εἶπας· οὐκ ἐατέον.
Αγ. Μεῖζον τί χρῄζεις, παῖδας ἢ σεσωσμένους;
Ιοκ. Καὶ τἀπίλοιπά γ' εἰ καλῶς πράσσω, κλύειν.
Αγ. Μέθες μ'· ἔρημος παῖς ὑπασπιστοῦ σέθεν.
Ιοκ. Κακόν τι κεύθεις, καὶ στέγεις ὑπὸ σκότῳ.
Αγ. Οὐκ ἄν γε λέξαιμ' ἐπ' ἀγαθοῖσι σοῖς κακά.
Ιοκ. Εἰ μή γε φεύγων ἐκφύγῃς πρὸς αἰθέρα.
Αγ. Αἶ, αἶ· τί μ' οὐκ εἴασας ἐξ εὐαγγέλου
Φήμης ἀπελθεῖν, ἀλλὰ μηνῦσαι κακά;
Τὼ παῖδε τὼ σὼ μέλλετον τολμήματα
Αἴσχιστα, χωρὶς μονομαχεῖν παντὸς στρατοῦ,
Λε-

ΣΧΟΛΙΑ.

1213. Ἀλλ' ἄνελθέ μοι) ἀνάδραμε, διήγησαι. 1215. Ἔα τὰ λοιπά) μὴ περαιτέρω πύθῃ. Δεῦρ' ἀεί) ἀντὶ τοῦ μέχρι τοῦ νῦν, ἕως τούτου. ἐπειδὴ δὲ εἶπεν, ἔα τὰ λοιπά, εἰ καλῶς πράσσεις, εἶπεν, ὅτι εἰς ὑποψίαν εἶπας. 1219. Ὑπασπιστοῦ) ἀντὶ τοῦ ἀσπιδηφόρου, ἔρημος καὶ μεμονωμένος ἐστὶ ἐμοῦ τοῦ ὑπασπιστοῦ ὁ σὸς παῖς. 1220. Καὶ στέγεις ὑπὸ σκότῳ) ἢ καλύπτεις ἐν ἀφανείᾳ. 1221. Ἐπ' ἀγαθοῖσι) πρὸς οἷς ἔλεξα ἀγαθοῖς, οὐκ ἂν παραγγείλαιμι τὰ κακά. 1222. Εἰ μή με φεύγων) λέξεις δηλονότι. 1223. Τί μ' οὐκ εἴασας) διατί μετὰ τὴν εὐάγγελον ἀγγελίαν οὐκ ἀφῆκας ἐμὲ ἀπελθεῖν, ἀλλ' ἀναγκάζεις μηνύσαι τὰ κακά; 1225. Τὼ παῖδε τὼ σὼ) φροντίζουσι τολμᾶν, λέγω ἀπρεπέστατα τολμήματα, μονομαχεῖν ἰδίᾳ παντὸς τοῦ στρατοῦ, λέξαντες εἰς μέσον τῶν Ἀργείων

καὶ

ſabuerint ſententiam, ego felix eſſem.
Pulchrè habent quæ ſunt deorum & fortunæ.
ilii enim ſunt ſalvi, & civitas evaſit *periculum*.
:reon verò videtur mearum nuptiarum,
.t horum malorum Oedipi pœnas luere infelix,
ilio privatus: urbi quidem fauſtum id & felix,
rivatim verò acerbum eſt. ſed narrato mihi deinceps,
Ɂuid poſt hæc filii mei facere ſtatuerint.
ɪ. Omitte reliqua; ſemper enim huc uſque es fortunata.
Hoc dixiſti ſuſpicioſè; non eſt omittendum.
ɪ. Quid vis majus habere, quàm filios ſalvos?
An & in poſterum prorſus ſim futura felix, audire *volo*.
ɪ. Dimitte me: filius tuus eſt ſine armigero.
Aliquod malum occultas, & involvis tenebris.
ɪ. Nequaquam dicam poſt bona, tua, mala.
Ni dixeris, non effugies, niſi effugies in cœlum.
ɪ. Heu, heu! quare me non ſinis poſt lætum
ſuncium abire, ſed vis me dicere mala?
ilii tui agitant facinora
ʼurpiſſima, ſingulari-pugnâ decernere ſeorſim ab exercitu,

Etenim

ΣΧΟΛΙΑ.

ιδμωείων λόγον τοιοῦτον, ὁποῖον μὴ ὤφελον εἰπεῖν. ὁ Ἐτεοκλῆς δὲ ὁ τοῦ λόγου ἀφ᾽ ὑψηλοῦ πύργου σταὶς, κελεύσας τοῖς κήρυξι σιγὴν ...αι τῷ λαῷ.

1231. Ὦ

08. Ἔχει. Διάκειται. 1216. Εἰς ὕποπτον. εἰς ὑπόνοιαν. 1217. Ἄλλο θέλεις μαθεῖν ἢ μαθεῖν παῖδας πεφυλαγμένους; .. Λέξεις ἐάν γε μὴ φεύγων ἐκφύγῃς, ἤγουν φυγὴν ἀνύσῃς αἰθέρα.

Λέξαντες Ἀργείοισι, Καδμείοισί τε
Εἰς κοινὸν, οἷον μή ποτ' ὤφελον, λόγον.
Ἐτεοκλῆς προὐπῆρξ' ἀπ' ὀρθίου σταθεὶς
Πύργου, κελεύσας σῖγα κηρύξαι στρατῷ.
Ἔλεξε δ', ὦ γῆς Ἑλλάδος στρατηλάται,
Δαναῶν ἀριστεῖς, οἵπερ ἤλθετ' ἐνθάδε,
Κάδμου τε λαὸς, μήτε Πολυνείκους χάριν
Ψυχὰς ἀπεμπολᾶτε, μήθ' ἡμῶν ὕπερ.
Ἐγὼ γὰρ αὐτὸς τόνδε κίνδυνον μεθεὶς,
Μόνος συνάψω συγγόνῳ τῷ 'μῷ μάχην.
Κἂν μὲν κτάνω τόνδ', οἶκον οἰκήσω μόνος·
Ἡσσώμενος δὲ, τῷδε παραδώσω πόλιν.
Ὑμεῖς δ' ἀγῶν' ἀφέντες, Ἀργείαν χθόνα
Νεῖσθε, βίοτον μὴ λιπόντες ἐνθάδε.
Σπαρτῶν τε λαὸς ἅλις, ὅσος κεῖται θανών.
Τοσαῦτ' ἔλεξ'. ὁ σὸς δὲ Πολυνείκης γόνος
Ἐκ τάξεων ὄρουσε, κἀπῄνει λόγους.
Πάντες δ' ἐπερρόθησαν Ἀργεῖοι τάδε,
Κάδμου τε λαὸς, ὡς δίκαι' ἡγούμενοι.
Ἐπὶ τοῖσι δ' ἐσπείσαντο, κἀν μεταιχμίοις
Ὁρ-

ΣΧΟΛΙΑ.

1231. Ὦ γῆς Ἑλλάδος) Ὁμηρικῶς, ἤρξατο, Κέκλυτέ μευ Τρῶες καὶ ἐϋκνήμιδες Ἀχαιοί. οὗτος δὲ ὁ στίχος ἐν πολλοῖς ἀντιγράφοις οὐ φέρεται. 1234. Ψυχὰς ἀπεμπολᾶτε) τὴν ζωὴν ὑμῶν ἀποδίδοτε. ἀπεμπολᾶν κυρίως τὸ πιπράσκειν. Ἄλλως. Εἰς κίνδυνον ἐνδίδοτε. ἡ μεταφορὰ ἀπὸ τῶν κινδυνευόντων ἐν θαλάσσῃ κέρδους χάριν. 1235. Μεθεὶς) ἐκβαλὼν τὸν θάνατον, μόνος συγκροτήσω τῷ ἀδελφῷ μου μάχην. Μεθεὶς) παύσας, ἐκβαλὼν τὸν κίνδυνον ὑμῶν καὶ τὸν πόλεμον. 1240. Νείσεσθε) πορεύεσθε, ἀπέλθετε. 1241. Σπαρτῶν τε) καὶ ὁ τῶν Θηβαίων ὄχλος ἀποθανὼν, αὐτάρκης. 1243. Ἐκ τάξεων) ἐκ τῶν ταγμάτων ὥρμησε, καὶ ἐπῄνεσε τοὺς λόγους. καὶ οἱ Ἀργεῖοι πάντες ἐπευφήμησαν ἃ ὁ Ἐτεοκλῆς εἶπε, καὶ οἱ Καδμεῖοι,

ὡς

:enim dixerunt Argivis & Thebanis
làm, quæ nunquam dicere debebant.
:eocléſque ſtans in arduo loco, prior incœpit
e turri, jubens indici ſilentium exercitui : 1230
ixit autem, ô duces Græci ſoli,
æſtantiſſimi Græcorum, qui huc veniſtis,
t vos cives Thebani, neque Polynicis gratiâ
endite animas, neque noſtrâ cauſâ. 1234
go enim ipſe hoc *vobis* periculum remittens,
›lus committam cum meo fratre certamen.
t ſi quidem hunc occidero, ſolus regnabo in patriâ,
ictus verò, huic tradam urbem :
os verò omittentes certamen, in Argivum agrum
.edibitis, non relinquentes hîc vitam : 1240
'hebaníque populi ſatis eſt, qui jacet mortuus.
Ic dixit. Tuus autem filius Polynices
.x agmine celeritèr accurrit, & laudavit *hoc* dictum.
)mnes verò fremitu applauſerunt Argivi
:admíque populus, utpote hæc juſta æſtimantes, 1245
ropter hæc ſunt factæ induciæ, & in medio utriuſque aciei loco

Jus-

ΣΧΟΛΙΑ.

(καιον τόδε νομίζοντες. ἐπὶ τούτοις ἐφιλιώθησαν, καὶ ἀπὸ δύο μερῶν ὅρκους ὤμοσαν ἐμμένειν τοῖς ἄρθροις τοὺς στρα-ς. 1246. Κἀν μεταιχμίοις) μεταίχμιον λέγεται ὁ ϑ ὁ μεταξὺ τῶν δύο στρατευμάτων. ἐπὶ τούτοις τοῖς ὁμιλή-ν ἐν τοῖς μεταιχμίοις συνελθόντες, ἐπεσπείσαντο ἐμμένειν ς οἱ στρατηγοί, ἢ τοὺς ἄλλους βασιλεῖς καὶ τὰ στρατεύματα νοοῦσιν ίνειν τοῖς ῥηθεῖσιν ὑπ' ἀμφοτέρων.

1247. Ὅρκους

44. Ἐπερρόθ. ἀντὶ ἐπὶ τούτοις ἤχησαν, ἀπὸ μεταφορᾶς τοῦ τῶν κυμάτων, ὡς δίκαια τάδε νομίζοντες. 1246. Μεταιχ. ἐν ιεταξὺ τόπῳ τῶν παρατάξεων.

Ὅρκους συνῆψαν ἐμμενεῖν στρατηλάτας.
Ἤδη δ' ἔκρυπτον σῶμα παγχάλκοις ὅπλοις
Δισσοὶ γέροντος Οἰδίπου νεανίαι.
Φίλοι δ' ἐκόσμουν τῆσδε μὲν πρόμον χθονὸς,
Σπαρτῶν ἀριστεῖς· τὸν δὲ, Δαναϊδῶν ἄκροι.
Ἔσταν δὲ λαμπρὼ, χρῶμά τ' οὐκ ἠλλαξάτην,
Μαργῶντ' ἐπ' ἀλλήλοισιν ἱέναι δόρυ.
Παρεξιόντες δ' ἄλλος ἄλλοθεν φίλων,
Λόγοισι θαρσύνοντες, ἐξηύδων τάδε·
Πολύνεικες, ἐν σοὶ Ζηνὸς ὀρθῶσαι βρέτας
Τρόπαιον, Ἄργει τ' εὐκλεᾶ δοῦναι λόγον.
Ἐτεοκλέα δ' αὖ, Νῦν πόλεως ὑπερμαχεῖς,
Νῦν καλλίνικος γενόμενος, σκήπτρων κρατεῖς.
Τάδ' ἠγόρευον, παρακαλοῦντες εἰς μάχην.
Μάντεις τε μῆλ' ἔσφαζον, ἐμπύρους δ' ἀκμὰς,
Ῥήξεις τ' ἐνώμων, ὑγρότητ' ἐναντίαν,

Ἄκραν

ΣΧΟΛΙΑ.

1247. Ὅρκους συνῆψαν) οἷον τὰ πρὸς τοὺς ὅρκους ἐπιτήδεια συνέμιξαν Θηβαῖοι καὶ Ἀργεῖοι, τουτέστι τὸν οἶνον, καὶ τὸ αἷμα τῶν ἱερείων. 1248. Ἤδη δ' ἔκρυπτον) ἐξ ἐκείνου τὸ σῶμα καθώπλιζον. 1249. Νεανίαι) οἱ δύο νεανίαι τοῦ γέροντος Οἰδίποδος, ἀντὶ οἱ δύο παῖδες. καθὸ λέγεται ἡ κόρη τοῦ δεῖνος, ἀντὶ ἡ θυγάτηρ. 1250. Πρόμον) πρόμαχον. 1252. Ἔσταν δὲ) ἔστησαν δὲ φαιδροὶ, καὶ οὐκ ἠλλοίωσαν τὴν ὄψιν. 1153. Μαργῶντε) μανικῶς ὁρμῶντες πέμψειν κατ' ἀλλήλων τὸ δόρυ. 1254. Ἄλλος) ἄλλος δὲ τῶν φίλων ἀπ' ἄλλου μέρους παρεκβαίνοντες διὰ λόγων εἰς θάρσος προβάλλοντες προσηύδων ταῦτα. 1256. Ἐν σοὶ Ζηνὸς) ἐν σοὶ τρόπαιον στῆσαι ἐστὶν ἡμῖν ἐλπὶς, τῷ τε Ἄργει εὐκλεῆ ἀπαγγελίαν δοῦναι. ἢ εὔκλειαν, λόγον καὶ φήμην καταλεῖψαι τοῦ πατελέδος. Ἄλλως. Ἐν σοὶ κεῖται ἀνορθῶσαι τὸ εἴδωλον τὸ νικητήριον. οἱ γὰρ νικῶντες εἴδωλον ἵστασαν τοῦ Διός. 1258. Ἐτεοκλέα δ' αὖ) ἀπὸ κοινοῦ τὸ ἐθάρσυνόν τε καὶ ἔλεγον. 1261. Ἐμπύρους τ' ἀκμὰς) τὰς τοῦ πυρὸς ἀναδόσεις, καὶ τὰ φῶτα τὰ ἐκ τῶν ἐμπύρων ἀναφερόμενα, ἀφ' ὧν σημειοῦνται οἱ μάντεις. Ἀκμὰς δὲ, τὰς ἀναδόσεις,

ἐπὶ

Jusjurandum dederunt omnes duces iis staturos esse.
Jámque occultabant corpus æneis armis
Duo juvenes senis Oedipi.
Amici vero ornabant ducem hujus terræ,
Principes Thebani: alterum verò principes Argivorum.
Steterunt autem fulgentes, nec mutaverunt colorem,
Insano impetu cupientes alter in alterum jaculari hastam.
Prætereuntes verò alii aliunde amici,
Animabant sermone & dicebant hæc,
Polynices, penes te est erigere Jovis statuam
Trophæi signum, & magnam gloriam parare Argis.
Eteoclem verò vicissim *sic hortabantur*, Nunc pro patriâ pugnas,
Nunc præclaræ victoriæ compos factus, sceptrum *regni* tenes.
Hæc dicebant, hortantes ad pugnam.
Vates verò mactabant pecudes, & igneas acies,
Rupturásque observabant, *&* *ignis* contrarium humorem,

Sum-

ΣΧΟΛΙΑ.

ἐπεὶ βιαιότατόν ἐστι τὸ πῦρ. 1262. Ῥήξεις δ' ἐνάμων) τὰς τῆς χολῆς ῥήξεις ἐπισκόπουν τὴν ὄψιν μεταφέροντες. τηροῦσι γὰρ οἱ μάντεις τὰς χολάς. Ὑγρότητ' ἐναντίαν) τὸ περὶ τῶν ἐναντίων δηλοῦσαν, τὴν ἐπὶ τῶν ἐναντίων ἐχθρῶν ἀεὶ τερατοσκοπουμένην. οἱ γὰρ ἦττον περὶ τῶν ἐχθρῶν οἱ βουληθέντες μαντεύσασθαι, ἔχοντες χολὴν ἀφορῶσι. πυρὶ γὰρ οἱ ἐχθροί. ὑγρότητα δὲ λέγει, αὐτὴν τὴν χολήν. Ἄλλως. Ῥήξεις τ' ἐνάμων, τῆς κύστεως τὸ σῶμα ἱερὸν διερμηνεύοντες ἐπετίθεσαν τῷ πυρί, καὶ παρετήρουν τὰς ῥαγάς, καὶ πῦ τὸ ὕδωρ ἀνηκόντιζε.

Σοφο-

1248. Περιφραστικῶς ἀντὶ ὡπλίζοντο. 1257. Ἐδόλευ λέγ' ἀντὶ φήμην. 1258. Πρὸς Ἐτεοκλ. ἔλεγον.

Ἄκραι τε λαμπάδ', ἣ δυοῖν ὅρους ἔχει
Νίκης τε σῆμα, καὶ τὸ τῶν ἡσσωμένων.
Ἀλλ' εἴ τιν' ἀλκὴν, ἢ σοφοὺς ἔχεις λόγους,
Ἢ φίλτρ' ἐπῳδῶν, στεῖχ', ἐρήτυσον τέκνα
Δεινῆς ἁμίλλης, ὡς ὁ κίνδυνος μέγας,
Καὶ τἆθλα δεινὰ, δάκρυά σοι γενήσεται·
Δισσοῖν στερήσῃ τῇδ' ἐν ἡμέρᾳ τέκνοιν.
Ιοκ. Ὦ τέκνον, ἔξελθ' Ἀντιγόνη δόμων πάρος·
Οὐκ ἐν χορείαις οὐδὲ παρθενεύμασι
Νῦν σοι προχωρεῖ δαιμόνων κατάστασις.
Ἀλλ' ἄνδρ' ἀρίστω καὶ κασιγνήτω σέθεν,
Εἰς θάνατον ἐκνεύοντε, κωλῦσαί σε δεῖ
Ξὺν μητρὶ τῇ σῇ, μὴ πρὸς ἀλλήλοις θανεῖν.
Αν. Τίν', ὦ τεκοῦσα μῆτερ, ἔκπληξιν νέαν
Φίλοις ἀϋτεῖς τῶνδε δωμάτων πάρος;
Ιοκ. Ὦ θύγατερ, ἔρρει σῶν κασιγνήτων βίος.
Αν. Πῶς

ΣΧΟΛΙΑ.

Σοφοκλῆς ἐν Μάντεσι, τοὺς μαλθοδέτεις κύστεις. Ὑγρότητα ἐναντίαν) τὴν τὰ περὶ τῶν ἐναντίων δηλοῦσαν, ἢ διὰ τὸ πικρὸν οὖσαν καλεῖ γλυκεῖαν, ἢ ἐναντίαν, ὡς πρὸς τὸ πῦρ, ξηρὸν γὰρ τὸ πῦρ. τὸ δὲ ἑξῆς, μάντεις τὰ μῆλ' ἔσφαζον, ἐμπύρους τ' ἀκμὰς ἐνώμων. κοινοῦ γὰρ τὸ ἐνώμων ἄκραν τε λαμπάδα ἐνώμων. ἄκραν τε λαμπάδα, τὸ ἄκρον τοῦ πυρὸς, ὃ καλεῖται κέρχνος, ἐπιόπτων. οἱ δὲ τὴν καρδίαν, διὰ τὸ εἶναι πυρώδη, καὶ θερμήν. Ἄλλως. τὴν ἱερὰν τοῦ ἱερείου. ἦν γὰρ καὶ δι' αὐτῆς μαντεία. καμπτομένη γὰρ ὑπὸ τοῦ πυρὸς σημαίνει δυσχέρειαν πολέμου. ἁπλουμένη δὲ καὶ κάτω νεύουσα, ἧτταν. ἀνατεινομένη δὲ εἰς ὕψος, νίκην. οἱ δὲ ἄκραν λαμπάδα τὴν χολὴν λέγουσι, τὴν ἐν τῷ ἥπατι. σημεῖον γάρ ἐστι τῆς νίκης τε καὶ ἥττης. 1265. Ἢ σοφοὺς) μαγικούς. 1266. Ἢ φίλτρ' ἐπῳδῶν) τῶν ἐπᾳδόντων ἀνθρώπων, ἃ ἐπάγουσι δύναται εἰς φιλίαν αὐτοὺς ἀγαγεῖν. Ἄλλως. φίλτρον ἐπῳδῶν, ἀντὶ τοῦ ἐπῳδὰς φίλτρων. φίλτρον, τὸ φιλίαν ἐμποιοῦν, ὥσπερ μίσητρον, τὸ ἐμποιοῦν μῖσος. καὶ φόβητρον, τὸ φόβου ποιητικόν· καὶ θέλγητρον, τὸ προσκινοῦν εἰς τέρψιν. ἐνταῦθα δὲ φίλτρον ἀντὶ φιλίας, ἵν' ᾖ ἐπῳδὰς φιλίας, τουτέστιν εἰς φιλίαν.

ummámque flammam, quæ duarum *rerum* significationes habet,
ictoriæ *scilicet* signum, & *cladis*, quâ victi afficiuntur.
ed si quod remedium, si quam sapientem habes rationem,
t philtra incantationum, vade & cohibe liberos
saevo certamine, quia periculum est magnum,
t præmia gravia: lacrymæ *verò* tibi erunt:
rivaberis duobus filiis in hoc die.
O filia Antigone, egredere ante ædes.
on in choreis neque in virginum cœtu
unc tibi procedit status fortunæ.
ed viros optimos & fratres tuos
endentes ad mortem, impedire te oportet
um matre tuâ, nè mutuo *vulnere* concidant.
Quem, ô mater, novum horrorem
micis insonas ante has ædes?
O filia, disperiit vita tuorum fratrum.

An. Quo-

ΣΧΟΛΙΑ.

ν ζυνάγειν δυναμένας. Σπεῦχ' ἀρήγουσα) ἀπείρχε τον ἀπὸ τῆς χαλεπῆς ἔριδος τὰ τέκνα, ἐπεὶ ὁ πόλεμος μείζας 1267. Ἁμίλλης) φιλονεικίας. 1268. Καὶ τἆθλα δεινά) θλα ἀμφοτέρων, ἤγουν τὰ ἔπαθλα, τὰ ἐπὶ τῇ νίκῃ γέρα. ὲ τοι ἐπιδακρυτέα τὰ δεινὰ ἀγωνίσματα. 1270. Δόμων ς) τὸ πάρος ἐπίρρημα, παρὰ ποιηταῖς ἐν χρήσει, ἐνίοτε μὲν τοπιῶς ἐνταῦθα, ἐνίοτε δὲ χρονικόν· ἀπὸ τούτου τὸ παροίτερον παροίτατον. 1272. Δαιμόνων κατάστασις) κατάστασις η. ὁ δὲ νοῦς, ἔξιθι ἀπὸ τῶν οἴκων, ὦ τέκνον, οὐ γὰρ ἐν χοροῖς καὶ ινῶσιν ἡ παροῦσα τύχη προβαίνει σοι, ὥς τε τὸν ὄχλον διελθεῖν ῆναι. 1276. Τίν' ὦ τεκοῦσα) τίνα, ὦ μῆτερ, τὴν νέαν ἐπισυμφορὰν ἐμοὶ τῇ φίλῃ ἀπαγγέλλεις; τὸ γὰρ φίλοις, ἀντὶ τοῦ ἡ φίλοις, ἀντὶ τοῦ περὶ φίλων ἡμῶν Ἐτεοκλέους καὶ Πολυνείκους.

1279. Αἰ-

55. Σοφοὺς, ἐπιτηδείους, ἐπαγωγοὺς λόγους.

Αν. Πῶς εἶπας; Ιοκ. αἰχμὴν εἰς μίαν καθέστασιν.
Αν. Οἴ 'γώ· τί λέξεις, μᾶτερ; Ιοκ. οὐ φίλ', ἀλλ' ἕπου.
Αν. Ποῖ, παρθενῶνας ἐκλιποῦσ'; Ιοκ. ἀνὰ στρατόν. 1281
Αν. Αἰδούμεθ' ὄχλον. Ιοκ. οὐκ ἐν αἰσχύνῃ τὰ σά.
Αν. Δράσω δὲ δὴ τί; Ιοκ. συγγόνων λύσεις ἔριν.
Αν. Τί δρῶσα, μᾶτερ; Ιοκ. προσπιτνοῦσ' ἐμοῦ μέτα.
Αν. Ἡγοῦ σὺ πρὸς μεταίχμι', οὐ μελλητέον.
Ιοκ. Ἔπειγ', ἔπειγε, θύγατερ, ὡς ἢν μὲν φθάσω
Παῖδας πρὸ λόγχης, οὑμὸς ἐν φάει βίος.
Ἢν δ' ὑστερήσῃς, οἰχόμεσθα, κατθανῇ.
Θανοῦσι δ' αὐτοῖς συνθανοῦσα κείσομαι.

ΑΝΤΙΣΤΡΟΦΙΚΑ.

Στροφή.

Χο. Αἶ, αἶ, αἶ, αἶ. τρομερὰν φρίκαν,
Τρομερὰν φρέν' ἔχω.
Αἶ, αἶ· διὰ σάρκα δ' ἐμὰν
Ἔλεος, ἔλεος

Ἔμολε

ΣΧΟΛΙΑ.

1279. Αἰχμὴν εἰς μίαν) εἰς μονομαχίαν καθεστήκασιν. 1280. Οἴ 'γώ) ἐπίῤῥημα στεναγμοῦ. Οὐ φίλα) οὐ προσφιλῆ, ἀλλ' ἀνωλέθρια. 1284. Προσπιτνοῦσαι) παρακαλοῦσαι. 1285. Πρὸς μεταίχμιον) πρὸς τὸν τόπον τὸν μεταξὺ τοῦ πολέμου, ἔνθα ἦν τὸ μονομαχεῖον. 1290. Αἶ αἶ τρομερὰν φρίκα) φεῦ φεῦ ἔντρομον ὀρθίασιν τῶν τριχῶν ἔχω. τρομερὰν φρένα, ἤτοι ἔντρομον λογισμὸν ἔχω, τουτέστιν ἐν φόβῳ εἰμί. διὰ δὲ τῆς ἐμῆς σαρκὸς οἶκτος ἦλθε, διὰ τοὺς δύο παῖδας τῆς ἀθλίας μητρός. πότερος ἄρα πότερον αἱμάξει διὰ πολέμου, διὰ φόνου, τὸ συγγενὲς λέγω σῶμα, τὴν συγγενῆ ψυχήν· ὡς ὁμογενῆ γὰρ σώματα τοῖς ἀδελφοῖς, καὶ αἱ ψυχαὶ διὰ τῶν ἀδελφῶν. θέλουσι αἱ τοῦ χοροῦ αὐξῆσαι τὸ πάθος, ταῦτα ἐπιλέγουσιν. ὡς εἰ ἔλεγον, πότερος ἂν αὐτῶν τὸν ἕτερον αἱμάξει, οὐ τὸν τυχόντα ἄνθρωπον, ἀλλ' ἀδελφὸν, οὗ τὸ σῶμα καὶ ἡ ψυχὴ ὁμογενῆ εἰσὶν αὐτοῦ.

Τρομε-

An. Quomodo dicis? *Ioc.* Constituti sunt in singulare certamen.

An. Heu mihi, quid dicis, mater? *Ioc.* Non grata, sed sequere.

An. Quò, virginum cœtu relicto? *Ioc.* Ad exercitum. 1181

An. Pudet *me venire in* turbam. *Ioc.* Tuæ res non *requirunt* pudorem.

An. Quid igitur faciam? *Ioc.* Solvas dissidium fratrum.

An. Quomodo solvam, mater? *Ioc.* Mecum procidens in genu.

An. Præcede tu ad locum inter acies medium, non est cunctandum. 1285

Ioc. Festina, festina, ô filia: quia si prævertero
Filios ante pugnam, mea vita erit in luce.
Si verò tardiùs veneris, periimus, morieris.
Cum ipsis autem mortuis mortua jacebo.

ANTISTROPHICA.

Strophe.

Cho. Heu, heu, heu, heu. trementem horrorem,
Et tremens pectus habeo. 1291
Heu, heu. per meum verò corpus
Miseratio, miseratio

Venit

ΣΧΟΛΙΑ.

Τρομερὸν φρίκα) φρίκην τρόμου παρέχουσαν. καὶ Πίνδαρος· φριξάντων ὄμβρους, τοὺς φρίσσειν ποιοῦντας. Τρομερὸν) τρόμου ἐμποιητικήν. καὶ τρομοποιὸν φόβον. Ἄλλως. τῇ φρικὶ τρομερὰν ἔχω τὴν φρένα. 1292. Διὰ σάρκας) ἀντὶ τοῦ διὰ σαρκός. ὡς τὸ, Διὰ τ' ἔντεα καὶ μέλαν αἷμα. 1293. Ἔλεος) ἔλεός μοι εἰσῆλθε ὁ οἶκτος ὁ περὶ τῆς Ιοκάστης, διὰ τὰ δίδυμα τέκνα.

1295. Διδυμογ

1282. Οὐκ' ἐς) ἤγουν τὰ πράγματα αἰσχύνην οὐκ ἔχουσι, ἀναιροῦσι τὴν αἰσχύνην.

Ἔμολε ματρὸς δειλαίας,
Δίδυμα τέκεα· Πότερος ἄρα
Πότερον αἱμάξει
(Ἰώ μοι πόνων, Ἰὼ Ζεῦ, Ἰὼ γᾶ)
Ὁμογενῆ δέραν,
Ὁμογενῆ ψυχὰν,
Δι' ἀσπίδων, δι' αἱμάτων;
Τάλαιν' ἐγὼ, τάλαινα.
Πότερον ἄρα νέκυν ὀ-
λόμενον ἰαχήσω;

Ἀντιστροφή.

Φεῦ δᾶ, Φεῦ δᾶ· δίδυμοι θῆρες,
Φόνιαι ψυχαὶ,
Δορὶ παλλόμεναι,
Πέσεα, πέσεα
Δάϊα αὐτίχ' αἱμάξετον.
Τάλανες, ὅτι ποτὲ μονομάχον
Ἐπὶ φρέν' ἠλυθέτην.
Βοᾷ βαρβάρῳ στεναχτὰν ἰαχὰν
Μελομέναν νεκροῖς,
Δάκρυσι θρηνήσω. Σχε-

ΣΧΟΛΙΑ.

1295. Δίδυμα τέκεα) τοῦτό τινες σολοικισμὸν ἡγήσαντο. ἔδει γὰρ εἰπεῖν, διδύμων τεκέων. Πότερος ἄρα) ὁποῖος ἀπὸ τῶν δύο, τίς αἱμάξει τὴν ὁμογενοῦς δέρην, τὸ ἑξῆς, πότερος ἄρα, πότερον αἱμάξει τὴν ὁμογενῆ δέραν, ὁμογενῆ ψυχὰν δι' ἀσπίδων, δι' αἱμάτων. 1302. Πότερον ἄρα) ποῖον ἄρα τῶν νεκρῶν ἀπολόμενον θρηνήσω. 1304. Φεῦ δᾶ) φεῦ γῆ. ἡ δᾶ συλλαβὴ Ἀττικῶς πλεονάζει, ὡς ἐπὶ τοῦ ἦσθα καὶ φῆσθα. Ἄλλως, οἱ μὲν ἐν μέρει λόγου ἀνέγνωσαν τὸ φεῦ δᾶ. οἱ δὲ, ὡς ἐν παρολκῇ τοῦ δᾶ. ἔνιοι δὲ ἀντὶ τοῦ φεῦ δή. τινὲς δὲ ἀντὶ τοῦ φεῦ γῆ, κατὰ πάθος μεταβληθέντος τοῦ γ' εἰς τὸ δ', ὡς ἐν τῷ δημήτηρ, πηγὴ, πηδή. παρὰ τὸ, τὸ ὕδωρ πηδᾶν ἄμα. 1306. Δορὶ δὲ παλλόμεναι) ἀντὶ τοῦ τὸ δόρυ

τιν-

Venit matris miseræ,
Propter duos filios: Quis nempè
Quemnam cruentabit
(Hei mihi propter labores,
O Jupiter, ô Tellus) cognatam cervicem,
Cognatam animam,
Per clypeos, per sanguineas cædes?
Misera ego, misera,
Quemnam igitur mortuum ex-
tinctum lugebo?

Antistrophe.

O terra, ô terra. Geminæ feræ,
Sanguineæ animæ,
Hastam vibrantes,
Cadavera, cadavera *ut*
Hostilia mox *se mutuis vulneribus* cruentabunt.
Miseri *sunt isti*, quòd unquam singularis prælii
In cognitionem venerint.
Vociferatione barbarâ lugubrem sonum
Debitum mortuis,
Cum lacrymis lugens edam.

Prope

ΣΧΟΛΙΑ.

κατ' ἀλλήλων πάλλουσαι, ἢ ἐπὶ πόλεμον κινηθεῖσαι. 1307. Πέσεα) τὰ πτώματα θέλει εἰπεῖν, ὅτι πεσόντες αἱμάσουσι τὰ σώματα. πέσεα οὖν ἀντὶ τοῦ πεσήματα, πτώματα. 1309. Τάλανες) δυστυχεῖς εἰσιν, ὅτι εἰς ἐνθύμησιν μονομαχίας ἦλθον. 1311. Βοᾷ βαρβάρῳ) τῇ ἐμαυτῆς φησὶ τῇ βαρβάρῳ τὴν ἐπιστένακτον βοὴν τῶν νεκρῶν. οἷον τὴν ἐπὶ τοῖς νεκροῖς ἰαχὴν στεναγμῷ προσφερομένην βοὴν μέλλουσαν τοῖς δάκρυσι θρηνήσω. τουτέστιν ἐπιμελῶς δακρύσασα θρηνήσω. 1312. Μελλομέναν) ἀντὶ τοῦ μέλλουσαν. ἢ μελλομένην τοῖς νεκροῖς, καὶ θεραπεύουσαν τὰς τούτων ψυχάς.

1314. Σχε-

1297. Τόδε Ἰώ μοι πό. &c. διὰ μέσου. 1304. Δᾶ. ἡ γῆ Δωρικῶς, ἀφ' οὗ Δημήτηρ, γῆς μήτηρ.

Σχεδὸν τύχα πέλας φόνου,
Κρινεῖ φάος τὸ μέλλον.
Ἄποτμος, ἄποτμος ὁ φόνος,
Ἕνεκεν Ἐριννύων.
Ἀλλὰ γὰρ Κρέοντα λεύσσω τόνδε δεῦρο συννεφῆ
Πρὸς δόμους στείχοντα, παύσω τοὺς παρεστῶτας
λόγους.

ΣΧΟΛΙΑ.

1314. Σχεδὸν τύχα) πέλας. τὸ σχεδὸν καὶ τὸ πέλας ἐκ παραλλήλου· ἢ καθ' αὐτοὺς τύχη τοῦ φόνου πλησίον ἐστὶ, τουτέστιν ὅσον οὔπω γνωσόμεθα, πῶς ἐκβήσεται αὐτοῖς τὸ μονομάχιον. 1315. Κρινεῖ φάος) τὸ σήμερον δηλονότι, ἡ παροῦσα ἡμέρα διδάξει τὸ πέρας, καὶ τὸ μέλλον,

---

ΚΡΕΩΝ, ΧΟΡΟΣ, ΑΓΓΕΛΟΣ, ΑΝΤΙΓΟΝΗ, ΟΙΔΙΠΟΥΣ.

Ἰαμβοί.

Κρέ. Οἴμοι, τί δράσω; πότερ' ἐμαυτὸν, ἢ πόλιν
Στένω δακρύσας, ἣν πέριξ ἔχει νέφος
Τοιοῦτον, ὥστε δι' Ἀχέροντος ἰέναι;
Ἐμός τε γὰρ παῖς γῆς ὄλωλ' ὑπερθανὼν,
Τοὔνομα λαβὼν γενναῖον, ἀνιαρὸν δ' ἐμοί.
Ὃν ἄρτι κρημνῶν ἐκ δρακοντείων ἑλὼν,
Αὐ-

ΣΧΟΛΙΑ.

1320. Οἴμοι, τί δράσω) ἵνα δείξῃ φιλόπατρις ὁ Κρέων, καὶ μὴ μόνον τοῦ παιδὸς λόγον ποιεῖσθαι, φησὶ, τίνος ἄρξομαι, θρήνων ποιούμενος τοῦ παιδὸς καὶ τῆς πόλεως, καίτοι εἰδὼς, ὅτι διὰ τὸν θάνατον τοῦ παιδὸς εὐτυχεῖ τὰ τῆς πόλεως. μικρὸν γὰρ ὕστερον εἰπὼν, Ἐμός τε γὰρ παῖς ὄλωλεν, ἐπιλάθεται εἰπεῖν, πόλις τε. 1321. Νέφος) πλῆθος.

Prope fortuna; prope cædem *eſt*,
Decernet *apertéque demonſtrabit hac* lux futurum *rei exitum.*
Infelix, infelix *eſt* iſta cædes,
Propter Furias.
Sed enim Creontem video hunc huc triſtem
Ad ædes venientem, miſſa faciam præſentia verba.

ΣΧΟΛΙΑ.

ἦγεν τὸ ἀποβησόμενον. 1317. Ἕνεκ' ἐριννύων) ὡς τῶν ἐριννύων ἐπιπεμπουσῶν τὰ φαῦλα τοῖς ἀνθρώποις. ἢ διὰ τὰς ἀρὰς τοῦ Οἰδίποδος, καὶ τὰς ἐπηκόους ἐριννῦς. 1318. Συννεφῆ) στυγνὸν, κατηφῆ.

CREON, CHORUS, NUNCIUS, ANTIGONE, OEDIPUS.

Iambi.

Cre. HEU mihi, quid agam? num meipſum, an verò urbem
Lugeam lacrymans? quam undique habet nubes
Talis, ut ſit eundum per Acherontem.
Meus enim filius pro patriâ mortuus periit,
Nobile nomen conſecutus: ſed mihi moleſtum.
Quem modò rupibus ex draconteis ſublatum,

Pro-

ΣΧΟΛΙΑ.

πλῆθος τῶν πολεμίων. 1325. Κρημνῶν ἐκ δρακοντείων) ὡς τοῦ Μενοικέως παρὰ τὸν τάφον, ἔνθα ἦν ὁ δράκων, κατακρημνίσαντος ἑαυτόν. Ἄλλως. δεῖ νοεῖν ἔσω τῶν τειχῶν τὸν σηκὸν τοῦ δράκοντος εἶναι. πῶς γὰρ εἶχε τὸ σῶμα ἀναλαβεῖν ὁ Κρέων, τῶν πολεμίων περικαθημένων. ἀπὸ δὲ τοῦ τείχους ἔρριψεν ἑαυτὸν ὁ παῖς, εἰς ἐπίδειξιν τῆς ὑπὲρ τῆς πατρίδος προθυμίας. 1326. Αἰ-
1321. Πέριξ ἔχει, ἀντὶ περιέχει.

Αὐτοσφαγῆ δίστηνον ἐκκόμισ' ἐν χεροῖν.
Βοᾷ δὲ δῶμα πᾶν. ἐγὼ δ' ἥκω μετα-
στέλλων ἀδελφὴν γραῖαν Ἰοκάστην, ὅπως
Λούσῃ προθῆταί τ' οὐκέτ' ὄντα παῖδ' ἐμόν.
« Τοῖς γὰρ θανοῦσι χρὴ τὸν οὐ τεθνηκότα
« Τιμὰς διδόντα, χθόνιον εὐσεβεῖν θεόν.
Χο. Βέβηκ' ἀδελφὴ σὴ δόμων ἔξω, Κρέον,
Κόρη τε μητρὸς Ἀντιγόνη κοινῷ ποδί.
Κρέ. Ποῖ, κἀπὶ ποίαν συμφοράν; σήμαινέ μοι.
Χο. Ἤκουσε τέκνα μονομάχῳ μέλλειν δορὶ
Εἰς ἀσπίδ' ἥξειν βασιλικῶν δόμων ὕπερ.
Κρ. Πῶς φῄς; νέκυν τοι παιδὸς ἀγαπάζων ἐμοῦ
Οὐκ εἰς τόδ' ἦλθον, ὥστε καὶ τάδ' εἰδέναι.
Χο. Ἀλλ' οἴχεται μὲν σὴ κασιγνήτη πάλαι.
Δοκῶ δ' ἀγῶνα τὸν περὶ ψυχῆς, Κρέον,
Ἤδη πεπρᾶχθαι παισὶ τοῖσιν Οἰδίπου.
Κρ. Οἴμοι, τὸ μὲν σημεῖον εἰσορῶ τόδε,
Σκυθρωπὸν ὄμμα, καὶ πρόσωπον ἀγγέλου
Στείχοντος, ὃς πᾶν ἀγγελεῖ τὸ δρώμενον.

Τροχαῖοι.

Αγ. Ὦ τάλας ἐγώ, τίν' εἴπω μῦθον, ἢ τίνας λό-
γους;

Κρ.

ΣΧΟΛΙΑ.

1326. Αὐτοσφαγῆ) ταῖς αὐτοῦ χερσὶν ἐσφαγμένον. 1327. Βοᾷ) θρηνεῖ δὲ ὁ ἐμὸς πᾶς οἶκος. Μεταστέλλων) μετακαλέσων. Ἐγὼ δὲ ὁ γέρων μεθήκω, ἢ μετέρχομαι καὶ ζητῶ τὴν ἐμὴν ἀδελφὴν τὴν γραῖαν, τὴν Ἰοκάστην. 1331. Εὐσεβεῖν) τιμᾶν τὸν χθόνιον θεόν. 1333. Κόρη τε) τὸ ἑξῆς κόρη τε Ἀντιγόνη, κοινῇ ἐξόδῳ τῆς μητρὸς, ἅμα τῇ μητρὶ, καὶ ἡ Ἀντιγόνη ἐξῆλθε. 1334. Ποῖ) ποῦ βέβηκε; Κἀπὶ ποίαν συμφοράν) ἐνταῦθα λέγει τὴν συντυχίαν, ἢ τὸ συμβεβηκός. 1336. Εἰς ἀσπίδ' ἥξειν) εἰς μάχην, εἰς συμβολήν. 1337. Νέκυν τοι) ἀντὶ τοῦ τὸ νεκρὸν

σῶμα

'ropriâ cæde confectum, miserum tuli in manibus.

Vociferatur autem domus tota. Ego verò venio accer-

iturus sororem anum Iocasten, ut

.avet, & componat filium meum, qui non vivit amplius.

'as namque *poscit* mortuis non mortuos

Ionores dando, piè colere Deum subterraneum.

. Tua soror egressa est ex ædibus, ô Creon,

'uellàque matris Antigone communi gressu.

. Quò, & ad quam calamitatem? significa mihi.

. Audivit filios singulari certamine esse

.d pugnam venturos pro regiâ domo.

Quomodo dicis? ego cadaver mei filii curans,

Ion veni huc, ut hæc etiam scirem.

. At abiit soror tua jamdudum.

:xistimo autem certamen de vitâ, Creon,

ım commissum esse filiis Oedipi.

Hei mihi, video quidem signum hoc,

'ristem oculum, & vultum nuncii

'enientis, qui omnem nunciabit rem gestam.

. O miser ego, quem dicam sermonem, aut quæ verba?

Cre.

ΣΧΟΛΙΑ.

τοῦ παιδὸς ἐμοῦ ἐπιμελείας ἠξίουν 1338. Οὐκ εἰς τόδ' ἦλθον) τόδε ἔφθασα, εἰς τὸ γνωρίσαι, οὐκ ἐπὶ τοῦτο παρεγενόμην ὥστε ἢ εἰδέναι. 1342. Οἴμοι, τὸ μὲν σημεῖον) ἐκ τοῦ προσώπου τοῦ στοχάζεται) τὰ λεχθησόμενα. 1344. Τὸ δρώμενον) τὸ πραχθέν. 1346. Οὐκ

27. Πᾶν δῶμα) ἀντὶ πάντες ἐν τῷ ἐμῷ οἴκῳ θρηνοῦσιν. Ἀγαπάζων) ἐπιμελούμενος, περιέπων. 1339. Ἀλλὰ ὤχετο, ἀπῆλθεν.

Κρ. Οἰχόμεθ'· οὐκ εὐπροσώποις φροιμίοις ἄρχῃ λόγου.

Αγ. Ὦ τάλας, διστῶς αὐτῷ· μεγάλα γὰρ φέρω κακά.

Κρ. Πρὸς πεπραγμένοισιν ἄλλοις πήμασιν, λέγεις δὲ τί;

Αγ. Οὐκέτ' εἰσὶ σῆς ἀδελφῆς παῖδες ἐν φάει, Κρέον.

ΑΝΟΜΟΙΟΣΤΡΟΦΑ.

Στροφὴ ά.

Κρ. Αἶ, αἶ· μεγάλα μοι πάθεα, καὶ πόλει θροεῖς.
Αγ. Ὦ δώματ' εἰσακούσατ' Οἰδίπου τάδε,
Παίδων ὁμοίαις συμφοραῖς ὀλωλότων;
Χο. Ὥστ' ἐνδακρῦσαί γ', εἰ φρονοῦντ' ἐτύγχανον.

Στροφὴ β'.

Κρ. Οἴμοι ξυμφορᾶς βαρυποτμωτάτας·
Οἴμοι κακῶν δύστηνος· ὦ τάλας ἐγώ.
Αγ. Εἰ καὶ τὰ πρὸς τούτοισιν εἰδείης κακά.
Κρ. Καὶ πῶς γένοιτ' ἂν τῶνδε δυσποτμώτερα;
Αγ. Τέθνηκ' ἀδελφὴ σὴ, δυοῖν παίδοιν μέτα.

Στρο-

ΣΧΟΛΙΑ.

1346. Οὐκ εὐπροσώποις) προοιμίοις οὐ καλοῖς, οὐκ εὐσχήμοσι· τὸ ὦ τάλας δεύτερον βοᾷ. θρηνητικὸν δὲ τὸ ἦθος. 1348. Λέγεις δὲ δὴ τί) ἀποφαντικῶς, ἢ ἐρωτηματικῶς. πρὸς τοῖς εἰρημένοις πήμασι λέγεις φέρειν ἕτερα; 1349. Ἐν φάει) ἐν τῷ φωτὶ, τουτέστιν ἐν συντελείᾳ· συνήθως δὲ ὁ Εὐριπίδης, ἐν ἑνὶ στίχῳ περιέχει τῆς συμφορᾶς τὸ κεφάλαιον, καταστατικώτερον ὕστερον διηγεῖται τὸ πᾶν. 1352. Παίδων) λείπει ἡ περί. τί περὶ τῶν παίδων, καὶ τὴν αὐτὴν συμφορὰν ὀλωλότων; 1353. Ὥστ' ἐνδακρῦσαι) ἰσ-

Cre. Periimus! non ſpecioſis *neque fauſtis* proœmiis initium *fit* orationis.

Nun. Heu me miſerum, iterum clamo: magna enim fero mala.

Cre. Quod nam malum dicis, præter alia quæ acciderunt?

Nun. Filii ſororis tuæ non ſunt in luce ampliùs, ô Creon.

ANOMOEOSTROPHA.

Strophe 1.

Cre. Heu, heu, magnos dolores mihi & urbi ſonas.

Nun. O domus Oedipi, audis hæc
De filiis extinctis ſimili clade?

Cho. Ut etiam lacrymaretur, ſi ſenſum haberet.

Strophe 2.

Cre. Heu calamitatem miſerrimam,
Heu mala: miſer ego & infelix.

Nun. *Rectè*, ſi ſcires mala, quæ præter hæc acciderunt.

Cre. Et quomodo poſſent accidere iſtis triſtiora?

Nun. Mortua eſt ſoror tua cum duobus filiis.

Stro-

ΣΧΟΛΙΑ.

ἤχησεν, ὥστε δακρύσαι εἰ αἴσθησιν εἶχε τὰ οἰκήματα. 1356. Εἰ καὶ τὰ πρὸς τούτοισιν εἰδείης κακά) τί ἐρεῖς, ἢ τελευταίας γίνοιο, δηλονότι. 1357. Δυσποτμώτερα) δυστυχέστερα.

1359. Ἀνά-

1354. Βαρύποτμος.) δυστυχεστάτης. πότμος ϗ δαίμων τὸ αὐτὸ, ϗ δυσδαίμων ϗ δύσποτμος, βαρυδαίμων καὶ βαρύποτμος, πάλιν τὰ αὐτὸ, βαρυδαίμων ὁ βαρεῖαν ἔχων τύχην, δυσδαίμων δ' ὁ κακήν. μέγα δὲ γίνεται τὸ---τμον---διὰ τὸ μέτρον μὲ ὅμως οὐκ ἐκλέγομεν, ἐπεὶ ἡ πρὸ αὐτῆ ἡ συλλαβὴ δύναται μακρὰ εἶναι ἡ αὐτὴ καὶ βραχεῖα.

Στροφὴ γ'.

Χο. Ἀνάγετ', ἀνάγετε κωκυτὸν,
Ἐπὶ κρᾶτά τε λευκοπήχεις κτύπους χεροῖν.

Ἰαμβοί.

Κρ. Ὦ τλῆμον, οἷον τέρμ' Ἰοκάστη τοῦ βίου,
Γάμων τε τῶν σῶν, Σφιγγὸς αἰνιγμοὺς ἔτλης.
Καὶ πῶς πέπρακται διπλοῦν παίδων φόνος,
Ἀρᾶς τ' ἀγώνισμ' Οἰδίπου; σήμαινέ μοι.
Αγ. Τὰ μὲν πρὸ πύργων εὐτυχήματα χθονὸς,
Οἶσθ'· οὐ μακρὰν γὰρ τειχέων περιπτυχαὶ,
Ὥστ' οὐχ ἅπαντά σ' εἰδέναι τὰ δρώμενα.
Ἐπεὶ δὲ χαλκοῖς σῶμ' ἐκοσμήσανθ' ὅπλοις
Οἱ τοῦ γέροντος Οἰδίπου νεανίαι,
Ἔστησαν ἐλθόντ' εἰς μέσον μεταίχμιον
Δισσὼ στρατηγὼ, καὶ διπλὼ στρατηλάτα,
Ὡς εἰς ἀγῶνα μονομαχοῦντ' ἀλκὴν δορός.
Βλέψας δ' ἐς Ἄργος, ἧκε Πολυνείκης ἀράς·

Ὦ

ΣΧΟΛΙΑ.

1359. Ἀνάγετε, ὑψοῦτε θρῆνον) τοὺς κτύπους λευκοπηχέων χειρῶν. ἀνάγετε ἀπὸ κοινοῦ. 1361. Ὦ τλῆμον, ὦ ἀθλία Ἰοκάστη, οἷον τέλος τοῦ βίου καὶ τῶν γάμων ὑπέμεινας διὰ τοὺς αἰνιγμοὺς τῆς Σφιγγός. 1364. Ἀρᾶς τ' ἀγώνισμα) τὸ κατάραμα. τουτέστιν, εἰπέ μοι, πῶς ἀπέβη ἡ κατάρα τοῦ Οἰδίποδος. 1365. Τὰ μὲν πρὸ πύργων) εὐτυχήματα γινώσκεις. λέγει δὲ τὴν νίκην, ἣν ἐνίκησαν πρὸ πυλῶν τῆς πόλεως. 1366. Τειχέων περιπτυχαὶ) περιφραστικῶς τὰ τείχη. οὐ μακρὰν εἰσὶν, ὥστε μὴ οὐχὶ πάντας εἰδέναι τὸ δρώμενον. λείπει γὰρ τὸ μή. Οἶσθ' ὡς οὐ) τινὲς εἰς τὸ οὐ στίζουσιν. οὐκ οἶσθα, φησὶ, τὰ πρὸ τῶν πύργων εὐτυχήματα· μακρὰ γάρ εἰσι. Ἄλλως. τειχέων περιπτυχαὶ, περιφραστικῶς τὰ τείχη. ἐκ τοῦ οἷον περιπτύσσεσθαι, καὶ κυκλοῦν τὴν πόλιν. περιλαμβάνονται γὰρ αἱ πόλεις τοῖς τείχεσι. καλῶς δὲ διὰ πιθανῆς ἀφορμῆς τὰ προειρημένα ὑπὸ τοῦ πρώτου ἀγγέλου ἐσιώπησεν. ἡ δὲ διάνοια, τὰ μὲν πρὸ τῶν τειχῶν εὐτυχήματα, ὡς ἐνικήσαμεν δηλαδὴ τοὺς Ἀργείους, οἶδας. οὐ γὰρ μακρὰν τὰ τείχη, ὡς μὴ πάντα σε εἰδέναι. 1370. Εἰς μέσον μεταίχμιον)

παρὰλ-

Strophe 3.

Ch. Elevate, extollite luctum,
Et candidarum manuum planctus supra caput.

Cre. O misera Iocaste, qualem finem *tuæ* vitæ,
Et nuptiarum tuarum propter ænigmata sphingis sustinuisti?
Quomodo verò facta est cædes geminorum filiorum,
Et certamen ortum ex diris Oedipi? dic mihi.

Nun. Successus quidem secundos urbis nostræ ante mœnia
Scis: non enim ita procul sunt ambitus murorum,
Ut nescias omnia quæ ibi geruntur.
Postquam igitur armaverunt corpus ferreis armis
Senis Oedipi adolescentes,
Steterunt venientes in locum medium inter acies
Duo duces, & duo imperatores;
Ut in certamen singulare descensuri robore hastæ.
Spectans autem versus Argos, emisit Polynices preces:

O

ΣΧΟΛΙΑ.

παρῆλθον εἰς τὸ μέσον ὡς εἰς ἀγῶνα ὀρθῶς, καὶ ἀλλήλων μονομαχίᾳ. 1373. Βλέψας δ' ἐς Ἄργος) τὸ νῦν ἐκεῖσε ἔχων, ἀφῆκεν εὐχὰς ὁ Πολυνείκης λέγων, ὦ σεβασμία Ἥρα, σὸς εἰμί, ἐπολιτογραφήθην γὰρ παρὰ σοί, ἐμαυτοῦ ζεύξας, ἀντὶ τοῦ εἰς ζεῦξιν λαβών, τὴν παῖδα τοῦ

1364. Ἀγώνισμα, ὁ ἀγών, ἤγουν ἡ πρᾶξις αὐτὴ τοῦ ἀγῶνος. ὥσπερ βάδισμα ἡ πορεία, καὶ ἆσμα ἡ ᾠδή. ὥσπερ δὲ λέγεται ἔργον ἡ πρᾶξις· λέγεται δὲ καὶ τὸ πραττόμενον πρᾶγμα· οὕτω λέγεται ἀγώνισμα καὶ τὸ ἀποβαῖνον ἔργον ἀπὸ τοῦ ἀγῶνος. ἐνταῦθα ἤγουν ἐστὶ τὸ ἀνυσθὲν ἔργον τῆς κατάρας τοῦ Οἰδίποδος, τουτέστιν ὃ ἤνυσεν ἡ κατάρα τοῦ Οἰδίπ. 1372. Καὶ εἰς μάχην ἀντὶ παρατάξεως μονομάχου ἣν αὐτοὶ ἔμελλον ἀντιπαρατάξασθαι πρὸς ἀλλήλους μονομαχοῦντες.

Ὦ πότνια Ἥρα, σὸς γάρ εἰμ', ἐπεὶ γάμοις
Ἔζευξ' Ἀδράστου παῖδα, καὶ ναίω χθόνα,
Δός μοι κτανεῖν ἀδελφὸν, ἀντήρη δ' ἐμὴν
Καθαιματῶσαι δεξιὰν νικηφόρον·
Αἴσχιστον αἰτῶ στέφανον, ὁμογενῆ κτανεῖν.
Πολλοῖς δ' ἐπῄει δάκρυα τῆς τύχης ὅση.
Κἄβλεψαν ἀλλήλοισι διαδόντες κόρας.
Ἐτεοκλέης δὲ Παλλάδος χρυσάσπιδος
Βλέψας πρὸς οἶκον, ηὔχετο· ὦ Διὸς κόρη,
Δὸς ἔγχος ἡμῖν καλλίνικον ἐκ χερὸς
Εἰς στέρν' ἀδελφοῦ τῆσδ' ἀπ' ὠλένης βαλεῖν,
Κτανεῖν θ', ὃς ἦλθε πατρίδα πορθήσων ἐμήν.
Ἐπεὶ δ' ἀφείθη πυρσὸς, ὡς Τυρσηνικῆς
Σάλπιγγος ἠχὴ, σῆμα φοινίου μάχης,
Ἦιξαν δρόμημα δεινὸν ἀλλήλοις ἔπι.

Κά-

ΣΧΟΛΙΑ.

τοῦ Ἀδράστου. καὶ οἰκῶ τὴν σὴν χθόνα. δὸς, ὦ Ἥρα, ἐμοὶ κτεῖναι τὸν ἀδελφὸν, καὶ καθαιμάξαι τὴν ἐμὴν δεξιὰν νικηφόρον, τὴν ἀντήρη, ἤτοι τὴν ἐνισταμένην ἐναντίαν. αἴσχιστον αἰτῶ νίκην τὸν ἀδελφὸν φονεῦσαι. ἄκρως δὲ δηλοῖ ἦθος ἀνδρὸς, μεμφομένου ἑαυτὸν ἐπὶ ὠμότητι. 1379. Πολλοῖς δ' ἐπῄει) τοσαῦτα φησὶν ἐπῄει δάκρυα τοῖς πολλοῖς, ὅση ταῖς τύχαις ἦν συμφορὰ τοῖς μονομαχοῦσι, τουτέστι συμφώνως τῇ κατ' αὐτοὺς τύχῃ, ἐδάκρυον οἱ ἐκτός. Ἄλλως. πολλοῖς δὲ ἐπῄει δάκρυα τῆς τύχης ὅση. λείπει γὰρ τὸ ἕνεκεν τῆς τύχης, ἡ δίκη ἦν. Ἄλλως. Τῆς τύχης, ὅση) ἕνεκα τῆς τύχης τῶν ἀθλίων ἀδελφῶν, ὅση ἦν καὶ ὁποία διὰ τὸ μέγεθος τῆς δυστυχίας. 1380. Διαδόντες κόρας) οἰκτρὸν γὰρ θέαμα μονομαχοῦντας ἀδελφοὺς ἦν ἰδεῖν, οἷς καὶ τὸ ἡττᾶν καὶ τὸ ἡττᾶσθαι οἰκτρὸν ἦν. Ἄλλως. ἐμφαίνει) καὶ κατὰ ἀλλήλων θυμὸς πικρίαν ἐνδεικνύμενος διὰ τοῦ βλέμματος. 1382. Ηὔχετ' ὦ) καὶ οὗτος νῦν εἰς τὸ ἱερὸν τῆς Ἀθηνᾶς ἀποβλέψας τὸ ἐν Θήβαις. 1386. Ἐπεὶ δ' ἀφείθη) ἐπὶ τῶν ἑπτὰ ἐπὶ Θήβας οὔπω ἐχρῶντο τῇ σάλπιγγι Ἕλληνες. ἀλλ' οὐδὲ ἐπὶ τοῦ Τρωϊκοῦ πολέμου. ὁ Ὅμηρος δὲ αὐτοὺς μὲν οἶδε σάλπιγγα, οὐ ποιεῖ δὲ σάλπιγγι χρωμένους τοὺς ἥρωας. πρῶτος δὲ Ἀρχώνδας συμμαχῶν τοῖς Ἡρακλείδαις, ἤγαγε τὴν Τυρσηνικὴν σάλπιγγα εἰς Ἕλληνας. ἐχρῶντο οὖν κατὰ τὸ παλαιὸν

οἱ

O veneranda Juno, tuus enim sum; postquam nuptiis
Adjunxi *mihi* Adrasti filiam, & habito *tuam* terram,
Da mihi occidere fratrem, & contrariam meam
Dextram cruentare victricem:
Peto turpissimam coronam, *videlicet* ut interficiam fratrem.
Multis obortæ sunt lacrymæ, ob magnitudinem calamitatis.
Intuebantúrque se mutuò obvertentes pupillas.
Eteocles verò Palladis armatæ aureo scuto
Respiciens ad ædem precatus est: O filia Jovis,
Da ut hastam victricem ex manu *emissam*
In pectus fratris ab hoc brachio jaculer,
Et interficiam *eum*, qui venit eversurus meam patriam.
Postquam autem missa est fax (ut Tyrrhenicæ
Tubæ sonitus) signum cruentæ pugnæ,
Ruunt contra se mutuo atroci cursu.

Et

ΣΧΟΛΙΑ.

ἐν τοῖς πολέμοις ἀντὶ σαλπιγκτῶν πυρφόροις. οὗτοι δὲ ἱεροὶ ἦσαν Ἄρεως, ἑκατέρας στρατιᾶς προηγούμενοι μετὰ λαμπάδων, ἃς ἀφιέντες εἰς τὸ μεταίχμιον, ἀνεχώρουν ἀκίνδυνοι. καὶ οὕτως συνέβαλλον αἱ στρατιαί. ἐσώζοντο δὲ οἱ πυρφόροι, ὡς ἱεροὶ τοῦ θεοῦ, εἰ καὶ πάντες οἱ ἄλλοι ἀπώλοντο· ὅθεν παροιμία ἐπὶ τῶν ἄρδην ἀπολλυμένων στρατευμάτων. οὐδὲ πυρφόρος ἐσώθη. Ἄλλως. πυρσός ἐστιν ἡ λαμπάς, ἣν ἀνατείνουσιν ἐν νυκτὶ, σημεῖον τοῦ χρῆναι πολεμεῖν. καὶ ἄλλως. Πυρσὸς ὡς Τυρσηνικῆς) ἀντὶ τοῦ μεγάλως, ὡς τῶν Τυρσηνικῶν γενναιότερον τῇ σάλπιγγι χρωμένων. ὁ δὲ νοῦς. ἐπειδὴ ἀφείθη τὸ σημεῖον ὡς Τυρσηνικῆς σάλπιγγος ἠχὼ, σῆμα τῆς φονικῆς μάχης, ὥρμησαν δρόμον χαλεπὸν κατ᾽ ἀλλήλων.

1390. Συνῆ-

1376. Ἀντήρη) ἐπιρρηματικῶς, ἀντὶ τοῦ κατὰ τὴν παράταξιν. 1377. Δεξ. χεῖρα νικηφόρον γενομένην. 1379. Δάκρ.) τὸ τοῦ δακρύειν διὰ τὴν μεγαλότητα τῆς δυστυχίας. ὅμοιον πάντως ἐμφαίνει τὸ ἦθος. 1380. Διαδόντ. διαβιβάσαντες τὸ βλέμμα.

Κάπρω δ' ὅπως θήγοντες ἀγρίαν γένυν,
Ξυνῆψαν, ἀφρῷ διάβροχοι γενειάδας.
Ἤισσον δὲ λόγχαις· ἀλλ' ὑφίζανον κύκλοις,
Ὅπως σίδηρος ἐξολισθάνοι μάτην.
Εἰ δ' ὄμμ' ὑπερσχὸν ἴτυος ἅτερος μάθοι,
Λόγχην ἐνώμα στόματι, προφθῆναι θέλων.
Ἀλλ' εὖ προσῆγον ἀσπίδων κεγχρώμασιν
Ὀφθαλμὸν, ἀργὸν ὥστε γίνεσθαι δόρυ.
Πλείων δὲ τοῖς ὁρῶσιν ἐστάλαζ' ἱδρὼς,
Ἢ τοῖσι δρῶσι, διὰ φίλων ὀρρωδίαν.
Ἐτεοκλέης δὲ, ποδὶ μεταψαίρων πέτρον,
Ἴχνους ὑπόδρομον κῶλον ἐκτὸς ἀσπίδος
Τίθησι. Πολυνείκης δ' ἀπήντησεν δορὶ,
Πληγὴν σιδήρῳ παραδοθεῖσαν εἰσιδών.
Κνήμην τε διεπέρασεν Ἀργεῖον δόρυ.
Στρατὸς δ' ἀνηλάλαξε Δαναϊδῶν ἅπας.
Κἀν τῷδε μόχθῳ γυμνὸν ὦμον εἰσιδὼν

Ὁ

ΣΧΟΛΙΑ.

1390. Συνῆψαν ἀφρῷ) λείπει ὁ γάρ, καὶ ἄλλως, συνῆψαν μάχην ὡς κάπροι τὰς γενειάδας ἀφρῷ διάβροχοι, καὶ τὴν ἀγρίαν γένυν θήγοντες, ἐπὶ γὰρ τῶν κάπρων ἀμφότερα ληπτέον, τό, τε θήγοντες, καὶ τὸ διάβροχοι γενειάδας. 1391. Ἤισσον δὲ λόγχαις) ἀντὶ τοῦ ὥρμων, ἀπὸ τοῦ ἀΐσσω. κατ' ἀλλήλων δὲ ὥρμων τὰς λόγχας ἀκοντίζοντες. ἀλλ' ἑκάτερος ἐν τῷ βάλλειν τὸν ἕτερον, ὑπεκαθέζετο τῷ τῆς ἀσπίδος κύκλῳ, ἵνα αὐτὸν ὑπερπηδήσειε τὸ δόρυ, καὶ ὀλισθήσειε τῷ κύκλῳ τῆς ἀσπίδος, μάταιον, καὶ ἀνεπίτευκτον γένηται. 1393. Εἰ δ' ὄμμ' ὑπερσχὸν) εἰ δὲ ἴδῃ ὁ ἕτερος τὸ πρόσωπον τοῦ ἄλλου, ὑπεράνω τῆς ἀσπίδος ἐκίνει τὴν λόγχην. Ἄλλως. εἰ δὲ ὁ ἕτερος τὸ ὄμμα τῆς περιφερείας ὑπερσχὼν ἠβουλήθη θεάσασθαι, ὁ ἕτερος τὴν λόγχην ἐκίνει, ὥστε τοῦτον πλῆξαι τῷ στόματι. ὄμμα δὲ φησὶν ἀπὸ μέρους τὸ πρόσωπον. 1395. Κεγχρώμασι) κέγχρους καλοῦσι τοὺς ἐπὶ τὴν ἴτυν τῆς ἀσπίδος κόσμους. μικροὶ δὲ ἧλοι εἰσίν, οἱ ἐκ χρυσοῦ γίνονται. τινὲς δὲ μικρὰς ὀπὰς περὶ τὴν ἴτυν, δι' ὧν ἐθεῶντο τοὺς ἐναντίους. 1396. Ἀργὸν) ὡς μὴ δύνασθαι τρῶσαι.

1397. Πλείων

Et ficut apri acuentes fævas genas, *i. e. dentes*,
Commiferunt pugnam, madidi genis propter fpumam.
Impetum autem faciebant haftis, fed fedebant fub clypeis rotundis,
Ut *hafta* ferrum excideret fruftrà.
Si verò alter oculum *alterius* eminentem fupra clypeum vidiffet,
Vibrabat haftam verfus os, antevertere volens:
Sed fcitè admovebant clypeorum foraminibus
Oculos, ut effet ociofa hafta.
Plus verò fpectantibus ftillabat fudoris,
Quàm agentibus, propter metum amicorum.
Eteocles autem faxum pede transferens,
Veftigio excurrens pedem extra clypeum
Ponit: Polynices verò occurrit haftâ,
Plagam ferro traditam confpicatus,
Tibiámque tranfegit Argiva hafta.
Totus autem exercitus Græcus exclamavit præ [*jubilo.*
Et in hoc labore nudum humerum videns
Prius

ΣΧΟΛΙΑ.

1397. Πλείων δὲ) πλείων δὲ ἱδρὼς ἐστάλαζε τοῖς ὁρῶσι, διὰ τὸν φόβον τῶν φίλων, ἢ τοῖς ἀγωνιζομένοις. 1399. Μεταψαίρων) μετακινῶν, μεταστρέφων τῷ ποδὶ κατὰ τὸ λεληθὸς, οἱονεὶ παρασύρων. ἀπὸ τοῦ ψῶ, ὃ παραγωγόν ἐστι τὸ ψαύω. ἐκ οἱ ναῦται χαίρειν φασὶ τὸ ἄρμενον, ὅταν μὴ πολὺς ἄνεμος πνέῃ, ἀλλὰ μόνον ψαύῃ. 1400. Ἴχνους ὑπόδρομον) μεταφορικῶς τὸ ἴχνος. ὑπόδρομον δὲ, ἔξω ὑποδεδραμηκώς. 1402. Εἰσιδὼν) ἰδὼν τὸν πόδα πρὸς τὸ πλήσσεσθαι ἐπιτήδειον. ὃ ἦν ηὐτρεπισμένον τὸ σκέλος πρὸς τὸ τρωθῆναι ἰδών. Πληγὴν σιδήρῳ) τόπον δυνατὸν πληγῆναι. 1404. Ἐπηλάλαξεν) ἤχησεν. 1405. Κἀν τῷδε) καὶ ἐν τούτῳ, ὑπὸ τοῦ μόχθου γυμνὸν τῆς ἀσπίδος τὸν ὦμον τοῦ
Πολυ-

1389. Ἀγρίαν σιαγόνα ἢ γένυν, ἀντὶ τοὺς ὀδόντας. 1392. Ἵνα ἡ αἰχμὴ ἐκφεύγῃ μηδὲν ἀνύουσα. εἰ δ' ὄμμα τοῦ ἑτέρου ὑπερφανὲν τοῦ κύκλου τῆς ἀσπίδος ἴδοι ὁ ἕτερος, τὴν αἰχμὴν τὴν ἑαυτοῦ ἐκίνει κατὰ τοῦ στόματος, προλαβεῖν θέλων αὐτὸν πρὶν καλυφθῆναι. 1405. Καὶ ἐν ταύτῃ τῇ ὀδύνῃ γυμνὸν τὸν ὦμον ἐκείνου ἰδὼν, ἀπὸ τοῦ ὤμου καὶ τὰ στέρνα νοεῖ γυμνούμενα.

Ὁ πρόσθε τρωθεὶς, στέρνα Πολυνείκους βίᾳ
Διῆκε λόγχην, κἀπέδωκεν ἡδονὰς
Κάδμου πολίταις, ἀπὸ δ᾽ ἔθραυσ᾽ ἄκρον δόρυ.
Εἰς δ᾽ ἄπορον ἥκων δορὸς, ἐπὶ σκέλος πάλιν
Χωρεῖ· λαβὼν δ᾽ ἀφῆκε μάρμαρον πέτρον,
Μέσον δ᾽ ἄκοντ᾽ ἔθραυσεν· ἐξ ἴσου δ᾽ Ἄρης
Ἦν, κάμακος ἀμφοῖν χεὶρ ἀπεστερημένοιν.
Ἔνθεν δὲ, κώπας ἁρπάσαντε φασγάνων,
Ἐς ταυτὸν ἧκον· συμβαλόντε δ᾽ ἀσπίδας
Πολὺν ταραγμὸν ἀμφιβάντ᾽ εἶχον μάχης.
Καί πως νοήσας Ἐτεοκλῆς, τὸ Θεσσαλὸν
Εἰσήγαγεν σόφισμ᾽ ὁμιλίᾳ χθονός.

Ἐξαλ-

ΣΧΟΛΙΑ.

Πολυνείκους θνησόμενος, ὁ πρόσθεν τρωθεὶς Ἐτεοκλῆς, εἰς τὰ στέρνα τοῦ Πολυνείκους ἔπεμψε σὺν βίᾳ τὴν λόγχην. λόγχην δὲ νῦν τὸ ξίφος. σύνηθες δὲ τοῦτο τοῖς τραγικοῖς. 1408. Ἀπὸ δ᾽ ἔθραυσεν) εἰς τὰ στήθη βίᾳ ὡς τὸ δόρυ καθῆκεν, ἀπεκλάσθη τὸ δόρυ μὴ δυνηθὲν περάσαι τὸν θώρακα. τὸ ἑαυτοῦ δὲ δόρυ ἀπέκλασεν, τῇ σφοδρᾷ ῥύμῃ τρώσας. 1410. Μάρμαρον πέτρον) εἶδος λίθου τὸ μάρμαρον. εἰπὼν οὖν πέτρον τὸ γένος, ἀποδίδωσι καὶ τὸ εἶδος, μάρμαρον. 1411. Ἐξ ἴσου δ᾽ Ἄρης) ἀγωγὴ τοῖς ἀκροαταῖς. τὸ ἴσον ἀπονείμας τῆς τύχης ἑκατέρῳ τῶν ἀγωνιζομένων. 1412. Ἀπεστερημένοιν) ἀμφοτέρων ἀπεστερημένων τὰς χεῖρας τοῦ δόρατος. 1413. Ἔνθεν δὲ) ἀπὸ τούτου δὲ ἁρπάσαντες τὰς κώπας τῶν φασγάνων, συνῆλθον, ἐγγὺς ἀλλήλων ἦλθον. συμβαλόντες δὲ τὰς ἀσπίδας, καὶ ἀμφοτέροις τοῖς ποσὶ βάντες, καὶ στάντες πολλὴν ταραχὴν ἐποίουν περὶ ἑαυτοὺς ὡρμηκότες. 1416. Τὸ Θεσσαλὸν εἰσήγαγε σόφισμα) τέθειται δὲ ἐπὶ τοῦ παραλογίζεσθαι καὶ ἀπατᾶν. ποικίλοι γὰρ τὰ ἤθη οἱ Θεσσαλοὶ, καὶ οὐκ ὀρθοὶ τὴν γνώμην. διαδέδοται δὲ τὴν παροιμίαν ἐντεῦθεν. Διοτίμῳ τῷ Θεσσαλῷ κατιέναι μέλλοντι, λόγιον ἐξέπεσεν, ἐπιτηρεῖν μὴ λάθωσιν αὐτὸν οἱ ἐναντίοι μείζω εὐξάμενοι. σπεύδων οὖν ἐκείνους ὑπερβαλέσθαι, καθ᾽ ἑκατόμβης ἀνδρῶν ηὔξατο καταιβάτῃ Ἀπόλλωνι. κατελθὼν δὲ εἰς θυσίαν, ἀνθρώπους ἐλογίσατο μὴ πρέπειν θεῷ, μὴ δ᾽ ἄλλως εὐαγὲς εἶναι, καὶ ὑπερέθετο. τοῦτο δὲ ἑκάστου ἔτους δρᾶν τοὺς Θεσσαλοὺς φασὶ, τὴν θυσίαν ὑπισχνουμένους. ὁ οὖν Εὐριπίδης ἐπὶ τοῦ τὸν Πολυνείκην σοφισαμένου, τὰ

Θεσ-

Prius vulneratus, per pectus Polynicis vi
Transegit hastam, & *ablatam* reddidit voluptatem
Cadmi civibus: sed fregit summam hastam.
Veniens autem ad inopiam hastæ, in crus *inclinatus* retrò
Cedit, & correptum jecit marmoreum saxum,
Et fregit medium telum. Jam verò Mars æqualis
Erat, amborum manibus privatis hastâ.
Postea verò, manubria corripientes gladiorum,
Congressi sunt cominùs; committentes autem clypeos
Habebant magnum pugnæ tumultum circumstantem ipsos.
Et quodammodo *rei successum* præsentiens Eteocles, Thessalicum
Usurpavit commentum *sibi notum* ob commercium agri.

Omit-

ΣΧΟΛΙΑ.

Θεσσαλὸν παρέλαβε σόφισμα. λοιδορεῖ δὲ Θεσσαλοὺς ὁ Εὐελπίδης· Πολλοὶ γάρ εἰσιν, ἀλλ' ἄπιστοι Θεσσαλοῖς. καὶ Ἀριστοφάνης ἐν Πλούτῳ· Ἔμπορος ἥκων ἐκ Θετταλίας παρὰ πλείστων ἀνδραποδιστῶν. καὶ ὁ Ῥήτωρ· Εἶτα τὰ τῶν Θετταλῶν, ταῦτα γὰρ ἄπιστα μὲν δήπου φύσει καὶ ἀεὶ πᾶσιν ἀνθρώποις. ὅτι δὲ καὶ φαρμακίδες εἰσὶν αἱ Θετταλαὶ, Ἀριστοφάνης φησί· Γυναῖκα φαρμακίδα εἰ πριάμενος Θετταλήν. οὐχ ὡς τραφέντος δὲ τοῦ Ἐτεοκλέους ἐν Θετταλίᾳ, ἀλλ' ὡς ἐν ξυντυχίᾳ αὐτοῦ πεποιηκότος χρῆμα Θετταλὸν, οὐχ ὡς Θετταλῶν οὕτω πανουργούντων, ἀλλ' ὡς δι' ἀπάτης νικώντων. 1417. Ὁμιλίᾳ χθονὸς) ἀντὶ ἔλεγεν ὁμιλίᾳ καὶ ἔρωτι τοῦ πατρίδος ὑπέμεινε σοφίσασθαι τὴν μάχην. ἤρα γὰρ πλέον τοῦ πατρίδος, διὰ τὸ εὐθέως ἄρχειν. τινὲς δὲ ὁμιλεῖν, ἀντὶ τοῦ συμμαχεῖν. Ὅμηρος· Καὶ μὲν τοῖσιν ἐγὼ μεθομίλεον ἐκ Πύλου ἐλθών. καὶ· Νῦν δὲ μετὰ Τρώεσσιν ὁμιλεῖ. ὁμιλία οὖν ἀντὶ τοῦ συμμαχία, βοήθεια· τουτέστι συμμαχῶν τῇ πατρίδι, καὶ βοηθῶν ἐξεῦρε τὸ σόφισμα τοῦτο.

1419. Λαιὸν

1416. Καί πως) καθ' ἅντινα τρόπον εἰς νοῦν στρέψας, μηχανὴν εἰσήγαγε τῇ μάχῃ ἣν ἂν Θετταλὸς ἐπινόησε· ἀφ' οὗ παροιμία, τὸ Θετταλικὸν σόφισμα.

Ἐξαλλαγεὶς γὰρ τοῦ παρεστῶτος πόνου,
Λαιὸν μὲν εἰς τοὔπισθεν ἀμφέρει πόδα,
Πρόσω τὰ κοῖλα γαστρὸς εὐλαβούμενος·
Προβὰς δὲ κῶλον δεξιὸν, δι' ὀμφαλοῦ
Καθῆκεν ἔγχος, σπονδύλοις τ' ἐνήρμοσεν.
Ὁμοῦ δὲ κάμψας πλευρὰ καὶ νηδὺν τάλας,
Σὺν αἱματηραῖς σταγόσι Πολυνείκης πιτνεῖ.
Ὁ δ' ὡς κρατῶν δὴ καὶ νενικηκὼς μάχῃ,
Ξίφος δικὼν ἐς γαῖαν, ἐσκύλευέ νιν,
Τὸν νοῦν πρὸς αὐτὸν οὐκ ἔχων, ἐκεῖσε δέ.
Ὃ καί νιν ἔσφηλ'. ἔτι γὰρ ἐμπνέων βραχὺ,
Σώζων σίδηρον ἐν λυγρῷ πεσήματι,
Μόλις μὲν, ἐξέτεινε δ' εἰς ἧπαρ ξίφος
Ἐτεοκλέους, ὁ πρόσθε Πολυνείκης πεσών.
Γαῖαν δ' ὀδὰξ ἑλόντες, ἀλλήλων πέλας
Πίπτουσιν ἄμφω, κοὐ διώρισαν κράτος.
Χο. Φεῦ, φεῦ· κακῶν σῶν Οἰδίπου γ' ὅσον στένω.
Κρ. Τὰς σὰς δ' ἀρὰς ἔοικεν ἐκπλῆσαι θεός.
Αγ. Ἄκουε δὴ νῦν καὶ τὰ πρὸς τούτοις κακά.
Ἐπεὶ τέκνω πεσόντ' ἐλειπέτην βίον,

Ἐν

ΣΧΟΛΙΑ.

1419. Λαιὸν μὲν) τοῦτο φησὶν, ὅτι ἰδόντος τὸ ἀντιπροσώπως μάχεσθαι, ὀπίσω ἤνεγκε τὸν ἀριστερὸν πόδα, ἵνα πλάγιος εὑρεθείη, καὶ μὴ ἀνθιστάμενον ἔχων τὴν ἀσπίδα τοῦ Πολυνείκους, κατὰ τὴν πλευρὰν αὐτὸν τρώσῃ. 1420. Πρόσω τὰ κοῖλα) τὰ περὶ τὴν λαγόνα φυλάσσων ἢ πρόσω κοῖλα τῆς ἑαυτοῦ γαστρὸς φυλάττων. 1421. Προβὰς δὲ) προτείνας δὲ τὸν δεξιὸν πόδα, ἐνέβαλε τὸ ἔγχος διὰ τοῦ ὀμφαλοῦ, καὶ συνήρμοσε καὶ διεπέρασε μέχρι τῶν σπονδύλων τῆς ῥάχεως. ἅμα δὲ κλίνας τὴν πλευρὰν καὶ τὴν γαστέρα σὺν σταλαγμοῖς αἱμάτων ἔπεσεν ὁ ἄθλιος Πολυνείκης. ὁ δὲ Ἐτεοκλῆς ὡς νενικηκὼς τὴν μάχην, ῥίψας τὸ ξίφος εἰς γῆν, ἐλαφυραγώγει αὐτὸν, τὸν νοῦν πρὸς τὸν Πολυνείκην οὐκ ἔχων. 1427. Ἐκεῖσε δὲ) πρὸς τὸ σκυλεύειν, ἢ πρὸς τὸν νεκρὸν, ἢ πρὸς ἑαυτὸν. εἶχεν οὐκ ἔχων ἑαυτὸν· ὃ

δὴ

Omittens enim præſentem laborem,
Siniſtrum quidem pedem retro refert,
Antè concavitati ventris *& lateribus* cavens:
Protendens verò dextrum pedem, per umbilicum
Demiſit enſem, egítque ad ſpinæ vertebras.
Simul autem flectens latera, & ventrem miſer
Polynices cum ſanguineis guttis cadit.
Hic verò tanquam vincens jam, & victor pugnâ,
Abjiciens gladium in terram, ſpoliabat eum,
Non habens mentem ad illum, ſed illic, *i. e. ad ſpolia.*
Quod & fefellit eum: adhuc enim exiguum quiddam ſpirans,
Servánſque enſem in triſti caſu,
Vix quidem, extendit tamen enſem in hepar
Eteoclis Polynices, qui priùs lapſus erat.
Terram autem mordicùs apprehendentes alter prope alterum,
Cadunt ambo, nec diſcreverunt victoriam.

Cho. Heu, heu, quàntum gemo mala tua, Oedipe!

Cre. Tibi *debitas, Oedipe*, diras videtur implere Deus.

Nun. Audi nunc etiam, quæ præter hæc acciderunt mala.
Poſtquam filii lapſi reliquerunt vitam, *i. e. ſpem vitæ*,
Tunc

ΣΧΟΛΙΑ.

διὰ αὐτὸν ἀποτυχεῖν ἐποίησεν. Ἄλλως. οὐ πρὸς τὸ νεκρὸν ἔχων τὸν νοῦν, ἀλλ' εἰς τὸ σκυλεύειν τὸν Πολυνείκην. ᾤετο γὰρ αὐτὸν εἶναι νεκρόν. 1433. Κοὐ διείλοντο) οὐκ ἐχώρισαν τὴν ἀρχήν. ἢ οὐκ ἐσαφήνισαν τὴν νίκην. 1434. Χο. τινὲς Κρέων. Φεῦ, φεῦ) ἕνεκα τῶν σῶν κακῶν Οἰδίπου ὅσον ἐπὶ μέγα στενάζω. τὰς σὰς δὲ καθ' ἄρας ἔοικεν ἀναπληρῶσαι ὁ θεός.

1441. Βεν-

1418. Ἀπαλλαγείς, ἀποστὰς τῆς συστάδην μάχης. 1426. Ἐσύλα, τὰ ὅπλα ἀφῄρει ἐκ τοῦ ἀνδρὸς. 1430. Ἐξέτ. ἐκβάσει τῆς χειρὸς ἔτεινεν.

Ἐν τῷδε μήτηρ ἡ τάλαινα προσπίτνει,
Σὺν παρθένῳ τε, καὶ προθυμίᾳ ποδός.
Τετρωμένους δ' ἰδοῦσα καιρίους σφαγὰς,
Ὤμωξεν· ὦ τέκν', ὑστέρα βοηδρόμος
Πάρειμι. προσπίτνουσα δ' ἐν μέρει, τέκνα
Ἔκλαι', ἐθρήνει τὸν πολὺν μαστῶν πόνον,
Στένουσ', ἀδελφή θ' ἡ παρασπίζουσ' ὁμοῦ,
Ὦ γηροβοσκὼ μητρὸς, ὦ γάμους ἐμοὺς
Προδόντ' ἀδελφὼ φιλτάτω. στέρνων δ' ἄπο
Φύσημ' ἀνεὶς δύσληπτον Ἐτεοκλῆς ἄναξ,
Ἤκουσε μητρός· κἀπιθεὶς ὑγρὰν χέρα,
Φωνὴν μὲν οὐκ ἀφῆκεν, ὀμμάτων δ' ἄπο
Προσεῖπε δακρύοις, ὥστε σημῆναι φίλα.
Ὁ δ' ἦν ἔτ' ἔμπνους, πρὸς κασιγνήτην δ' ἰδὼν,
Γραῖάν τε μητέρα, εἶπε Πολυνείκης τάδε·
Ἀπωλόμεσθα, μῆτερ· οἰκτείρω δέ σε,
Καὶ τήνδ' ἀδελφὴν, καὶ κασίγνητον νεκρόν.
Φίλος γὰρ, ἐχθρὸς ἐγένετ', ἀλλ' ὅμως φίλος.
Θάψον δέ μ' ὦ τεκοῦσα, καὶ σὺ σύγγονε,
Ἐν γῇ πατρῴᾳ, καὶ πόλιν θυμουμένην
Παρηγορεῖτον, ὡς τοσόνδε γοῦν τύχω
Χθονὸς πατρῴας, κεἰ δόμους ἀπώλεσα.

Ξυνάρ-

ΣΧΟΛΙΑ.

1441. Βοηδρόμος) ὁ μετὰ βοῆς καὶ ἑτέρους προσκαλούμενος εἰς βοήθειαν. ἢ ὁ ἐν τῇ βοῇ, ἤγουν ἐν τῷ πολέμῳ τρέχων. τελευταία βοηθὸς παραγέγονα. 1444. Ἡ παρασπίζουσα) ἡ συμπαρατεταγμένη πλησιάζουσα. 1445. Ὦ γηροβοσκὼ μητρὸς) λείπει τὸ ταῦτα λέγουσα. 1447. Ἀνεὶς) ἀναπέμψας. Δύσληπτον) δυσέκπνευστον. 1448. Ὑγρὰν χέρα) ὑγρὰν ὑπὸ τοῦ αἵματος. γράφεται καὶ λυγρὰν, ἤτοι χαλεπήν. 1450. Ὥστε σημῆναι) ὡς δηλῶν ὅτι ἀσπάζεσθαι τὴν μητέρα βούλεται. 1458. Ὡς το-

Tunc mater misera accedit
Cum filiâ, celerique gressu.
Videns autem vulneratos letali cæde,
Ejulavit: O filii, tarda auxiliatrix
Adsum. Advoluta autem per vices, filios
Deplorabat, & lugebat magnum laborem suorum uberum,
Gemens, & soror *eorum* comes matris simul,
O nutricii senectutis matris, ô mearum nuptiarum
Proditores fratres carissimi. ex pectore autem
Flatum emittens difficilem rex Eteocles,
Audivit matrem, & porrigens humidam manum,
Vocem quidem non edidit, sed ex oculis
Salutavit eam lacrymis, ut significaret amorem.
Alter verò adhuc spirabat, & intuens sororem,
Et anum matrem, Polynices hæc dixit:
Periimus, ô mater: miseret me verò tui,
Et sororis hujus, & fratris mortui.
Amicus enim hostis factus est, sed tamen amicus.
Sepelias verò me, ô mater, & tu, soror,
In terrâ patriâ, & urbem iratam
Placate, ut eatenùs *saltem* consequar
Terram patriam, etsi regnum perdidi.

Com-

ΣΧΟΛΙΑ.

τοσόνδε δὲ γῆς τύχω) ὁ νοῦς, ἵνα κἂν τούτου τύχω τοῦ θάπτεσθαι εἰς τὴν πατρίδα.

Ξυνάρ-

1442. Προσπίπτουσα καὶ ἀνακαλοῦσα τὰ τέκνα ἑκάτερον ἀνὰ μέρος. 1449. Ἀφῆκε βέλος, ἀντὶ ἔπεμψεν· φωνὴν δὲ ἀφῆκεν, ἀντὶ ἐξήνεγκεν· μέλος δὲ ἀφῆκεν ἀπὸ κιθάρας, ἀντὶ ἤχησεν· 1450. Διὰ δακρύων, οὕτως ὥστε δηλῶσαι διάθεσιν προσφιλῆ. 1455. Φίλος ὢν ἀπὸ τῆς φύσεως. 1457. Πόλιν ὀργιζομένην κατ' ἐμοῦ παραινεῖτε, ἵνα τύχω τῆς γῆς πατρῴας, καὶ τὸ ταφῆναι ἐν αὐτῇ.

Ξυνάρμοσον δὲ βλέφαρα μου τῇ σῇ χερὶ,
Μᾶτερ (τίθησι δ' αὐτὸς ὀμμάτων ἔπι)
Καὶ χαίρετ'· ἤδη γάρ με περιβάλλει σκότος.
Ἄμφω δ' ἅμ' ἐξέπνευσαν ἄθλιον βίον.
Μήτηρ δ' ὅπως εἰσεῖδε τήνδε συμφορὰν,
Ὑπερπαθήσασ', ἥρπασεν νεκροῦ ξίφος,
Κἄπραξε δεινά. διὰ μέσου γὰρ αὐχένος
Ὠθεῖ σίδηρον. ἐν δὲ τοῖσι φιλτάτοις
Θανοῦσα κεῖται, περιβαλοῦσ' ἀμφοῖν χέρας.
Ἀνῇξε δ' ὀρθὸς λαὸς εἰς ἔριν λόγων.
Ἡμεῖς μὲν, ὡς νικῶντα δεσπότην ἐμὸν,
Οἱ δ', ὡς ἐκεῖνον. ἦν δ' ἔρις στρατηλάταις,
Οἱ μὲν πατάξαι πρόσθε Πολυνείκην δορὶ,
Οἱ δ' ὡς θανόντων οὐδαμοῦ νίκη πέλοι.
Κἂν τῷδ' ὑπεξῆλθ' Ἀντιγόνη στρατοῦ δίχα,
Οἱ δ' εἰς ὅπλ' ἤϊσσον. εὖ δέ πως προμηθίᾳ
Καθῆστο Κάδμου λαὸς ἀσπίδων ἔπι.
Κἄφθημεν οὔπω τεύχεσιν πεφραγμένον
Ἀργεῖον εἰσπεσόντες ἐξαίφνης στρατόν.
Κοὐδεὶς ὑπέστη· πεδία δ' ἐξεπίμπλασαν
Φεύγοντες· ἔῤῥει δ' αἷμα μυρίων νεκρῶν,
Λόγ-

ΣΧΟΛΙΑ.

1460. Ξυνάρμοσον) κάλυψον. 1461. Τίθησι δ' αὐτὸς) τοῦτο διὰ μέσου ὁ ποιητής. τὰς χεῖρας τῆς μητρὸς ἐπιθεὶς τοῖς ἑαυτοῦ ὄμμασι, λέγει τὸ χαίρετε. 1465. Ὑπερπαθήσασα) ὑπεραλγήσασα. 1467. Ἐν δὲ τοῖσι φιλτάτοις) γράφεται ζωοῖς τέκνοις δὲ φιλτάτοις. Ὅμηρος δὲ φησὶν αὐτὴν ἀγχόνῃ ἀπολέσθαι, Ἀψαμένη βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο μελάθρου. 1469. Ἀνῇξε) ἀνέδραμεν. 1472. Οἱ μὲν πατάξαι) λείπει τὸ λέγοντες. 1475. Ἤϊσσον) ὥρμησαν. Προμηθίᾳ) προνοίᾳ καὶ λογισμῷ ἐκάθηντο ὡπλισμένοι. 1477. Κἄφθημεν) τὸ ἑξῆς, προελάβομεν Ἀργεῖον εἰσπεσόντες ἐξαίφνης στρατὸν, οὔπω τεύχεσι ἠσφαλισμένον, καὶ οὐδεὶς ἐκαρτέρησεν, ὑπέμεινεν. 1480. Ἔῤῥει) ἔῤῥεεν.

1459. Δέμους

Compone verò palpebras meas tuâ manu,
O mater (ponit autem eam simul ipse ad oculos suos)
Et valete: jam enim circundant me tenebræ.
Ambo autem simul exhalaverunt miseram vitam.
Mater vero postquam vidit hanc calamitatem,
Vehementèr dolens rapuit gladium *hærentem in* cadavere,
Et fecit atrocia. Nam per medium guttur
Adigit ferrum, inter verò suos carissimos
Mortua jacet, complexa utrumque manibus.
Surrexit autem erectus exercitus in contentionem sermonum,
Nos quidem quasi vicisset dominus meus:
Illi verò quasi alter: erat autem contentio inter duces.
Illi enim Polynicem priùs verberâsse *fratrem* [hastâ dicebant:
Hi verò, quòd utroque mortuo nusquam victoria esset.
Interea verò recessit Antigone seorsim ab exer[citu,
Isti verò ad arma ruerunt. Bene autem quâdam providentiâ
Consederat Thebanus exercitus in clypeis,
Et antevertimus nondum armis septum
Argivum exercitum, irruentes subitò:
Et nullus *impetum nostrum* sustinuit: compleverunt autem campos
Fugientes: fluebat autem sanguis innumerorum cadaverum

Caden-

ΣΧΟΛΙΑ.

1459. Δόμους, τὴν βασιλείαν. 1474. Καὶ ἐν ὅσῳ ταῦτα ἐγένετο ἔλαθεν ἐξελθοῦσα ἡ Ἀντιγ. 1475. Εὖ δέ πως) καλῶς δὲ κατά τινα τρόπον προνοίας τινί. 1480. Ἔρρει. ἀντὶ τοῦ φθείρεται ἀπὸ ἐνεστῶτος. ἔρρει δὲ ἀντὶ τοῦ ἐχεῖτο ἐπὶ παρεληλυθότος.

Λόγχαις πιτνόντων. ὡς δ' ἐνικῶμεν μάχῃ,
Οἱ μὲν Διὸς τρόπαιον ἵστασαν βρέτας,
Οἱ δ' ἀσπίδας συλῶντες Ἀργείων νεκρῶν,
Σκυλεύματ' εἴσω τειχέων ἐπέμπομεν.
Ἄλλοι δὲ τοὺς θανόντας Ἀντιγόνης μέτα
Νεκροὺς φέρουσιν ἐνθάδ' οἰκτίσαι φίλους.
Πόλει δ' ἀγῶνες οἱ μὲν εὐτυχέστατοι
Τῇδ' ἐξέβησαν, οἱ δὲ δυστυχέστατοι.

Ἀνάπαιστοι.

Χο. Οὐκ εἰς ἀκοὰς ἔτι δυστυχία δώματος ἥκει·
Πάρα γὰρ λεύσσειν πτώματα νεκρῶν
Τρισσῶν ἤδη τάδε πρὸς μελάθροις,
Κοινῷ θανάτῳ σκοτίαν αἰῶνα λαχόντων.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Αν. Οὐ προκαλυπτομένα βοστρυχώδεος
Ἁβρὰ παρηΐδος, οὐδ' ὑπὸ παρθενίας

Τὸν

ΣΧΟΛΙΑ.

1482. Οἱ μὲν Διὸς) Οἱ μὲν Ἀργεῖοι ἔστησαν τὸ εἴδωλον τοῦ Διός. 1486. Οἰκτίσαι) ὥστε κλαῦσαι, θάψαι. 1487. Πόλει δ' ἀγῶνες) ὁ κατὰ τὴν πόλιν πόλεμος, οἱ ἀγῶνες ἐξέβησαν τῇ πόλει εὐτυχεῖς μὲν, ἐπεὶ ἐνίκησαν· δυστυχεῖς δὲ, διότι ἐσφάγησαν οἱ ἀδελφοὶ καὶ ἡ μήτηρ. 1489. Οὐκ εἰς ἀκοὰς) οὐκ ἄχρις ἀκοῆς ἐστὶ τὰ κακὰ τῶν οἰκείων, ἤγουν οὐκ ἀκοῇ ἔτι γινώσκομεν τὴν συμφορὰν, ἀλλ' ὄψει καὶ πείρᾳ. 1491. Πρὸς μελάθροις) ἐγγὺς μελάθρων. 1492. Αἰῶνα) βίον, ζωήν. 1493. Οὐ προκαλυπτομένα) οὐ καλύπτουσα τὰ ἁβρὰ καὶ τρυφερὰ τῆς παρειᾶς τῆς βοστρυχώδους. οὐδὲ τὸ ὑπὸ τῆς παρθενίας παρθενικὸν φοίνιγμα τὸ ὑπὸ τοῖς ὀφθαλμοῖς, λέγω τὸ ἐρύθημα τοῦ προσώπου, ἤγουν τὸ ἐν τῷ προσώπῳ αἰδουμένη, φέρομαι βάκχα, ἤτοι ὑπουργὸς τῶν νεκύων, δικοῦσα δὲ ῥίψασα ἀπὸ τῆς ἐμῆς κόμης τὸ σκέπασμα, ἀνεῖσα ἀντὶ τοῦ ἀφεῖσα τὴν ἀνθηρὰν στολὴν, τὴν ἁρμόζουσαν τῇ τρυφῇ, τὴν ἀπὸ κρόκου βεβαμμένην, διὰ ἡγεμόνευμα, ἤτοι διὰ προπομπὴν τῶν νεκρῶν πολύστονον, καὶ πολλῶν στεναγμῶν πλήρη. Οὐ προκαλυπτομένα) Ἀντιγόνη τραγῳδεῖ

Cadentium hastâ. Ut autem vicimus pugnâ,
Alii quidem statuerunt trophæum Jovis statuam;
Alii verò prædantes clypeos Argivorum cadaverum,
Spolia intra urbem misimus.
Alii verò cum Antigone, mortua
Cadavera ferunt huc, amicorum luctus.
Urbi verò hæc quidem certamina felicissima
Huic evenerunt, alia verò infelicissima.

Chorus.

Non ad aures *solùm* ampliùs calamitas regiæ domûs venit:
Licet enim videre cadavera mortuorum
Trium jam hæc ante atria,
Qui pari morte consecuti sunt obscurum ævum.

MONOSTROPHICA.

Ant. Non velans cincinnis ornatas
Teneras genas, nec à virginitate *manantem*

Sub

ΣΧΟΛΙΑ.

γυμνῇ νῦν φησιν, οὐ προκαλυπτομένη τὰς παρειάς, οὐδὲ πρέπουσαν παρθένοις αἰδῶ ἀναλαβοῦσα, ἐξορμῶ δὲ συμβακχεύων, κατὰ τὰς βάκχας τὰς ἐπὶ τοὺς νεκρούς, ἀπορρίψασα τὸ κρήδεμνον, καὶ τὴν στολὴν μεθεῖσα τὴν τῆς ἐμῆς τρυφῆς, τουτέστιν ἣν ὅτε ἐτρύφων καὶ εὐδαιμόνουν περιεβαλλόμην. ἀπάρχομαι θρήνων τοῖς νεκροῖς. οὐ γὰρ τρυφῆς ὁ καιρός. Ἄλλως. Οὐ προκαλυπτομένη) ἀπρεπῶς εἰσβέβληκε, καὶ οὐ παρθενικῶς. τίνι γὰρ ἀπολογεῖται, εἰ μὴ τῷ θεάτρῳ; Ἄλλως. Οὐ προκαλυπτομένη τὰ φαιδρὰ τῆς βοτρυχώδους παρειᾶς. βοτρυχώδη δὲ εἶπεν, ἐπεὶ μέχρι τῶν παρειῶν εἶχε τὰ ἄλλα τῶν τριχῶν. Βοτρυχώδους) ἐφ᾽ ᾗ οἱ βόστρυχοι κεῖνται. 1494. Ἁβρὰ παρηΐδος) τὰ φαιδρὰ τῆς παρειᾶς, περιφραστικῶς τὴν παρειάν.

1495. Τὸν

1482. Οἱ μὲν ἀφ᾽ ἡμῶν σύμβολον τῆς νίκης ἵστασαν. 1485. Ἄλλοι δὲ μετὰ τῆς Ἀντιγόνης, τοὺς θανόντας νεκρούς, ἤγουν τὴν Ἰοκάστην μετὰ τῶν παίδων αὐτῆς ἔφερον, ὥστε τοὺς φίλους οἰκτήσασθαι αὐτούς, δηλονότι αὐτὰ θρηνῆσαι, κλαῦσαι. 1490. Πάρα, πάρεστι. 1492. Ἑνὶ θανάτῳ ζοφερὰν ἀναστροφήν, ἤγουν τὸν ᾅδην κληρωσαμένων.

Τὸν ὑπὸ βλεφάροις φοίνιχ', ἐρύθημα
Προσώπου, αἰδομένα φέρομαι βάκχα νεκύων,
Κράδεμνα δικοῦσα κόμας ἀπ' ἐμᾶς,
Στολίδα κροκόεσσαν ἀνεῖσα τρυφᾶς,
Ἁγεμόνευμα νεκροῖσι πολύστονον, αἶ, αἶ.
Ἰώ μοι μοι, ὦ Πολύνεικες, ἔφυς ἄρ' ἐπώνυμος.
Ὤ μοι μοι, Θῆβαι· σὰ δ' ἔρις, οὐκ ἔρις,
Ἀλλὰ φόνῳ φόνος Οἰδιπόδα δόμον ὤλεσε,
Κρανθεὶς αἵματι δεινῷ, αἵματι λυγρῷ.
Τίνα δὲ προσῳδὸν,
Ἢ τίνα μουσοπόλον στοναχὰν ἐπὶ δάκρυσι,
Δάκρυσιν, ὦ δόμος δόμος, ἀνακαλέσομαι,
Τρισσὰ φέρουσα τάδ' αἵματα σύγγονα,
Ματέρα, καὶ τέκνα, χάρματ' Ἐριννύος;

Ἁ

ΣΧΟΛΙΑ.

1495. Τὸν ὑπὸ βλεφάροις) ἡ ὑπὸ τοῖς τὸ αἰδουμένα· Φοίνιχ' ἐρύθημα) τὸ πυῤῥόν. ἀρσενικῶς δὲ εἶπε τὸ φοίνικα ἐρύθημα ἀντὶ οὐδετέρου. ἔδει γὰρ εἰπεῖν βλεφάροις φοινικοῦν ἐρύθημα. τινὲς δὲ τὴν ὑπὸ βλεφάροις φοίνιξιν αἰδουμένην, ἥπερ ἐστὶν ἐρύθημα προσώπου. αἰδουμένα δὲ, ἀντὶ τοῦ οὐδ' ὑπαιδουμένη τὸ βλεφάροις φοινικοῦν ἐρύθημα τῆς παρθενίας. καὶ τὸ φέρομαι βάκχα νεκύων, παρόσον αἱ βάκχαι ἀπογυμνοστέρνοι χορεύουσιν. οὐ Διονύσου δὲ βάκχη, ἀλλὰ νεκρῶν. 1498. Στολίδα κροκόεσσαν) τὴν ἐκ κρόκης στολὴν χαλάσασα. ὥς τε γυμνὰ μεῖναι τὰ στήθη. Ἄλλως. Τὴν ἐμὴν στολὴν πάσης τρυφῆς ἐκβαλοῦσα. Χλιδᾶς) τρυφῆς. 1499. Ἁγεμόνευμα) ἑαυτὴν γὰρ λέγει προηγήτειραν τῶν νεκρῶν. Αἶ αἶ, ἰὼ Πολύνεικες, ἐγένου ἄρα ἐπώνυμος. ἤγουν αὐτὸ ὃ ἐπωνόμασαι, τουτέστι φιλόνεικος, ἐριστικός. 1501. Ὤ μοι μοι Θῆβαι) τοῦτο διὰ μέσου. ἡ σὴ δὲ ἔρις, οὐκ ἔρις ἦν δηλονότι, ἀλλὰ φόνος κρανθεὶς καὶ ἐναχθεὶς φόνῳ, λέγω αἵματι καὶ φόνῳ δεινῷ καὶ χαλεπῷ, ὤλεσε τὸν δόμον τοῦ Οἰδίποδος. τίνα δὲ τραγῳδίαν ἐμμελῆ ἐν δάκρυσιν, ὦ δόμος, ἀνακαλέσομαι, φέρουσα τάδε τρία σώματα τὰ συγγενικά, λέγω τὴν μητέρα καὶ τὰ τέκνα, τὴν χαρὰν καὶ ἡδονὴν τῆς ἐριννύος, καὶ τῆς καζέρας τοῦ Οἰδίποδος; ἡ ἐριννὺς ὤλεσε παντελῶς τὸν οἶκον τοῦ Οἰδίποδος, τότε μὲν ὤλεσε, δυνάμει δὲ, οὐκ ἐνεργείᾳ· ὅτε, ὦ πάτερ, ἔγνως τὸ μέλος, ἤτοι τὸ αἴνιγμα τῆς δυσερμηνεύτου

Σφιγγὸς.

Sub palpebris purpureum colorem, ruborem
Vultûs, verita feror *ut Baccha* manium,
Velis rejectis à meâ comâ,
Et depositâ stolâ croceâ deliciarum mearum,
Pompæ dux mortuis luctuosa; heu, heu!
Hei mihi, Polynices, profectò respondisti tuo
nomini,
Hei mihi mihi, Thebæ: tua enim lis non est lis,
Sed cædi *addita* cædes perdidit domum Oedipi,
Commixta sanguine diro, sanguine tristi.
Quem accentorem,
Aut quem tragicum gemitum ad lacrymas,
Lacrymas, ô domus, domus, accersens ciebo?
Ferens hæc tria cruenta cognata cadavera,
Matrem & filios, gaudia Erinnyis?

Quæ

ΣΧΟΛΙΑ.

Σφιγγὸς, συνετὸς γενόμενος, τὸ αἴνιγμα αὐτῆς φονεύσας. ἀντὶ τοῦ αὐτὴν περιφραστικῶς· λέγεται δὲ ἀντιστρόφως, ἀντὶ τοῦ, ὅτι ἔγνως τὸ αἴνιγμα τῆς Σφιγγὸς, ἐφόνευσας αὐτήν. ἰώ μοι διὰ μέσου. τίς Ἑλλὰς, ἤτοι Ἑλληνικὴ γυνὴ, ἢ βαρβαρικὴ, ἢ τίς ἕτερος τῶν ἔμπροσθεν εὐγενῶν αἱμάτων καὶ γένους ὑπάρχων δηλονότι ἀνθρωπίνων, τοιαύτας λύπας φανερὰς ὑπέμεινε τοσούτων κακῶν, ὡς ἐγὼ δηλονότι; Σὰ δ' ἔρις) ἡ ἔρις φησὶν, οὐκ αὐτὸ μόνον ἄχρι φιλονεικίας τὸ τέλος ἔχει, ἀλλ' ἄχρι φόνων ἐπαλλήλων διελθοῦσα, ἄρδην τὸν πάντα οἶκον τοῦ Οἰδίποδος ἀπώλεσεν. τινὲς δὲ οὕτως, ἡ σὴ ἔρις, οὐκ αὐτὸ μόνον γέγονε φιλονεικία, ἀλλὰ φόνος φόνῳ κερανθεῖσα. Ἄλλως. Τὸ τέλειον κρανθεῖσα, οἷον οὐκ ἄχρι ψιλῆς φιλονεικίας προελθοῦσα ἡ ἔρις, ἀλλὰ φόνος ἐπὶ φόνῳ κρανθεῖσα. 1504. Τίνα προσῳδὸν) τίνα θρῆνον ἄξιον, καὶ τίνα στεναγμὸν σύμφωνον τῆς προκειμένης συμφορᾶς καὶ τῶν τριῶν τούτων νεκρῶν ἀνακαλέσω προστιθέντα φησὶ καὶ ἁρμόζοντα τοῖς νῦν πάθεσι. 1505. Μουσοπόλον δὲ) μουσικήν. ἔστι γὰρ καὶ θρῆνος μουσικός. Ὅμηρος· Παρὰ δ' εἷσαν ἀοιδοὺς Θρήνων ἐξάρχους, οἵ τε στονόεσσαν ἀοιδὴν, καὶ τὰ ἑξῆς. Μουσοπόλον) θρηνητικήν. Στοναχὴν) στένω κοινὸν, καὶ στενάζω· στενάχω δὲ ποιητικὸν καὶ στεναχίζω, καὶ στοναχέω, ὧν ἀπὸ τοῦ στένω, στόνος ποιητικῶς, καὶ στονόεις· ἀπὸ τοῦ στενάζω, στεναγμὸς κοινόν· ἀπὸ τοῦ στοναχῶ, στοναχὴ παρὰ ποιηταῖς. 1507. Σύγγονα) συγγενικὰ, μητέρα λέγω, καὶ τέκνα, περιχαρῆ τῆς ἐριννύος, ἥτις παντελῶς τοῦ Οἰδίποδος τὸν δόμον ὤλεσε.

1510. Δυσξυνέ-

Ἃ δόμον Οἰδιπόδαο πέρσαι ὤλεσε,
Τᾶς ἀγρίας ὅτε δυσξυνέτου
Ξυνετὸν μέλος ἔγνως,
Σφιγγὸς ἀοιδοῦ σῶμα φονεύσας, ἰώ μοι μοι, πάτερ.
Τίς Ἑλλὰς, ἢ βάρβαρος, ἢ τῶν προπάροι-
θεν εὐγενετᾶν ἕτερος ἔτλα κακῶν τόσων
Δι' αἵματος ἀμερίου τοιάδ' ἄχεα φανερά;
Τάλαιν' ὡς ἐλελίζω· τίς τ' ἄρ' ὄρνις,
Δρυὸς, ἢ ἐλάτας ἀκροκόμοις ἀμφὶ κλάδοις
Ἑζομένα μονομάτωρ,
Ὀδυρμοῖς ἐμοῖς, ἄχεσι συνῳδὸς;
Αἴλινον αἰάγμασιν ἃ τοῖσδε προκλαίω.
Μόνα δ' αἰῶνα διάξουσα τὸν ἀεὶ χρόνον
Ἐν λειβομένοισι δακρύοισιν ἰαχήσω.

Τίν'

ΣΧΟΛΙΑ.

1510. Δυσξυνέτου) τῆς Σφιγγὸς τῆς ἀσαφοῦς. ἐπεὶ πᾶσι δυσξύνετον ἦν τὸ αἴνιγμα, πλὴν τοῦ Οἰδίποδος μόνου. διὰ γὰρ τοῦτο ξυνετὸν ἐπὶ τοῦτο εἴρηκε τὸ μέλος, πᾶσι μὲν τοῖς ἄλλοις ἀσαφὲς, αὐτῷ δὲ μόνῳ σαφὲς καὶ καταληπτὸν, ξυνετὸν δὲ, τὸ σαφές. Ἄλλως. Τῷ Οἰδίποδι ξυνετόν. ἀπὸ κοινοῦ δὲ τὸ Σφιγγός. τινὲς δὲ ξυνετὸν τὸ βαθύτατον· μέλος τὸ αἴνιγμα εἶπεν, ἐπεὶ μετὰ μέλους τινὸς προέφερεν αὐτὸ ἡ Σφίγξ. διὸ καὶ ἀοιδοῦ Σφιγγὸς εἶπεν. 1512. Φονεύσας δὲ) ἀντὶ τοῦ φόνου καὶ ἀναιρέσεως γενόμενος αὐτῇ αἴτιος. 1513. Τίς Ἑλλὰς) τίς Ἑλληνικὴ γυνὴ ἢ βάρβαρος γυνὴ δηλονότι. Ἄλλως. Τίς φησὶν Ἑλλήνων ἢ βαρβάρων, καὶ τῶν ἀνέκαθεν ἀνδρῶν, τοσούτων πλῆθος κακῶν ὑπέμεινε, καὶ λύπης ἐπὶ ἀνθρωπίνου σώματος. τὸ γὰρ ἀνθρωπείου, ἀντὶ τοῦ ἀνθρωπίνου. Ἢ τῶν πάροιθεν) ἀπὸ κοινοῦ τὸ τίς. ἢ τίς τῶν πάροιθεν εὐγενῶν τοσαύτας λύπας ὑπέμεινε. 1516. Τάλαιν' ὡς ἐλελίζω) τάλαινα εἰμὶ ἐγὼ, πῶς ἐλελίζω καὶ ταράττομαι, καὶ ἀγωνιῶ. καὶ τίς ἄρα ὄρνις καθεζομένη ἐπὶ κλάδοις τοῖς κατ' ἄκρον κομῶσιν, ἢ δρυὸς ἢ ἐλάτης, στερηθεῖσα τῆς μητρὸς, συνῳδὸς καὶ σύμφωνος ἔσται τοῖς ἐμοῖς ὀδυρμοῖς ἐν ἄχεσι καὶ λύπαις, εἰς αἴλινον καὶ θρῆνον, ἐν αἰάγμασι καὶ θρηνητικοῖς ἀπηχήμασι· ἥ τις ἐπὶ τούτοις κλαίω. μόνη δὲ τὸν ἀεὶ χρόνον, ἤτοι διαπαντὸς ἰαχήσω καὶ θρηνήσω, διάξουσα τὴν ζωὴν ἐν σταζομένοις δακρύοις. ἐπὶ τινὰ πρῶτον βάλλω ἀπαρ-

χὰς

Quæ domum Oedipi prorſus perdidit,
Quando ſævæ & perplexæ
Subtile carmen intellexiſti,
Interficiens corpus Muſicæ ſphingis (hei mihi mihi) pater.
Quis Græcus, aut barbarus, aut *quis* ſuperiorum
Nobilium alius ſuſtinuit tot mala
Per quotidianum ſanguinem, tales luctus manifeſtos?
O miſera ego, ut ploro! Quænam avis
In ſummis ramis vel quercûs vel abietis,
Sedens privata matre,
In meis ejulatibus *&* doloribus concentrix *erit?*
Quæ lamentationem lamentationibus iſtis antè fleo.
Sola verò vitam actura ſemper
In ſtillantibus lacrymis *lugens* reſonabo.

Ad

ΣΧΟΛΙΑ.

χαίτας ἤγουν ἀνάθημα ἀπὸ τῆς χαίτης, ἤτοι ἀπὸ τῆς κόμης διὰ σπαραγμῶν. πότερον δηλονότι παρὰ τοῖς δυσὶ μαστοῖς τοῦ γάλακτος τῆς μητρὸς, ἢ πρὸς τὰ ὑλόμενα αἱμάσματα τῶν δισσῶν ἀδελφῶν, ἤτοι πρὸς τὰς ἀξίας ἀπωλείας πληγὰς τῶν δύο ἀδελφῶν. φεῦ, ὦ πάτερ ἀλαὸν ὁ φέρων ὄμμα τυφλόν· λίπε τοὺς σοὺς δόμους. δεῖξον, ὦ Οἰδίπους, τὴν σὴν ζωὴν τὴν ἀθλίαν, ὅστις ἐμβαλὼν τοῖς σοῖς ὄμμασιν ἀορασίαν καὶ τύφλωσιν, ἐπὶ τοῖς δώμασιν ὀδυνηρῶς αὐτοῖς ἐπὶ πολὺ ζωὴν παρατεινομένην καὶ μακροχρόνιον. ἀκούεις σὺ ὁ ταλαίπωρος κατὰ τὴν αὐλὴν τῆς κατὰ τὸν οἶκον, ἰαύων καὶ διατελῶν τῆς κοινῶν ἐν τοῖς δεμνίοις γεραιὸν πόδα δύστηνον, ἤτοι γεροντικὴν ἀθλίαν πορείαν; Τάλαιν' ὡς ἐλελίζω) ἐγὼ φησὶ τάλαινα, ἥτις αἴλινον ἀνακλαίω, καὶ ἀναθρηνῶ ἐπὶ τούτοις τοῖς οἰκτροῖς ἀτυχήμασι, καθάπερ τις ὄρνις θρηνοῦσα ἀπηχεῖ δρυὸς πετάλοις ἐφεζομένη. 1518. Μονομάτωρ) ἡ μεμονωμένη τῆς μητρός. 1520. Αἰάγμασι, θρηνητικοῖς ἀπηχήμασι. Ἃ τοῖσδε) ἅ τινα ᾄσματα θρηνῶ, ἐπὶ τοῖσδε τοῖς νεκροῖς. 1521. Μόνα δὲ αἰῶνα) ἀντὶ τοῦ μονάδα βίον, ὀρφανὸν, μονήρη, μεμονωμένον, ἔρημον. ἡ δὲ πρὸ ἀντὶ τοῦ ἀνὰ, τουτέστιν ἀνακλαίω. τοῦτο ἰδίᾳ ἀναπεφώνηται. 1522. Ἐν λειβομένοις) ἐν ὑγροῖς.

1524. Ἀπαρ-

Πολιὸν αἰθέρος ἀφανὲς εἴδωλον,
Ἢ νέκυν ἔνερθεν, ἢ πτανὸν ὄνειρον;

Ἀνάπαιστοι.

Αν. Δυστυχὲς ἀγγελίας ἔπος οἴσῃ.
Πάτερ, οὐκέτι σοι τέκνα λεύσσει
Φάος, οὐδ᾽ ἄλοχος, παραβάκτροις
Ἃ πόδα σὸν τυφλόπουν θεραπεύμασιν
Αἰὲν ἐμόχθει, πάτερ, ὤ μοι.
Οἰδ. Ὤ μοι μοι ἐμῶν παθέων.
Πάρα γὰρ στενάχειν, καὶ τάδ᾽ ἀϋτεῖν.
Τρισσαὶ ψυχαὶ, ποίᾳ μοίρᾳ,
Πῶς ἔλιπον φάος; ὦ τέκνον, αὔδα.
Αν. Οὐκ ἐπ᾽ ὀνείδεσιν, οὐδ᾽ ἐπὶ χάρμασιν,
Ἀλλ᾽ ὀδύναισι λέγω· σὸς Ἀλάστωρ
Ξίφεσι βρίθων, καὶ πυρὶ, καὶ σχετλίαισι μάχαις,
Ἐπὶ παῖδας ἔβα σοὺς, ὦ πάτερ.
Οἰδ. Ἰώ μοι, αἲ, αἴ. Α. τί τάδε στενάχεις;
Οἰδ. Ὦ μοι μοι τέκνα. Α. δι᾽ ὀδύνας ἂν ἔβας,
Εἰ τὰ τέθριππά γ᾽ ἐς ἅρματα λεύσσων
Ἀελίου, τάδε σώματα νεκρῶν
Ὄμματος αὐγαῖς ταῖς ἐπενώμας.

Οἰδ.

ΣΧΟΛΙΑ.

1539. Πτηνὸν) ταχύπτερον. 1540. Δυστυχὲς ἀγγελίας) ἀντὶ τοῦ δυστυχῆ ἀγγελίαν κομίσῃ· οὐκέτι ζῶσι τὰ τέκνα σου, οὐδὲ ἡ γυνή σου, ἥ τις τὸν τυφλόν σου πόδα θεραπεύμασιν ἀεὶ μετὰ μόχθου ὡδήγει. 1546. Πάρα γὰρ) πάρεστι γὰρ στενάζειν διὰ ταῦτα, καὶ βοᾶν. 1549. Οὐκ ἐπὶ χάρμασιν) οὐκ ἐπιχαίρουσα, οὔτε ὀνειδίζουσα νῦν λέγω τοῦτο, ἀλλ᾽ ὀδυνωμένη, καὶ συναλγοῦσα τὴν ψυχήν. ὅτι ἡ σὴ κακοδαιμονία, ἣν ἔδει μέχρι σοῦ στῆναι, καὶ ἐφ᾽ ἡμᾶς τοὺς παῖδας κατελύτησεν οὐχ ὁσίως. 1550. Ἀλάστωρ δὲ) ἔφορος δαίμων τῶν τὰ ἄλαστα πεποιηκότων, καὶ τιμωρὸς, καὶ κακοποιός. Ἀλάστορες λέγονταί τινος, ἢ οἱ κακοποιοῦντες αὐτὸν, ἢ οἱ δὲ ἐκδίκησιν αὐτοῦ ἐπι-

ρος

Canum & obscurum ætheris simulachrum,
Aut cadaver subterraneum, aut volucre somnium?

Ant. Miserum nuntii sermonem feres.
O pater, non ampliùs tibi filii vident
Lucem, neque conjunx, quæ ad baculum
Pedem tuum cæcum regendi ministeriis
Semper curabat, pater, heu mihi.
Oed. Hei mihi, *hei* mihi *ob* mea mala.
Licet enim gemere, licétque vociferari.
Tres animæ, quo fato,
Quomodo reliquerunt vitam? ô filia, loquere.
Ant. Non exprobrandi causâ, nec insultandi gratiâ,
Sed cum dolore dico; tuus Genius malus,
Gravis gladiis & igne & sævis pugnis,
In filios irruit tuos, ô pater.
Oed. Heu, heu. *Ant.* quare ista gemis?
Oed. Hei mihi *propter* liberos. *Ant.* Per dolorem vadens perires;
Si intuens currus quadrijugos
Solis, hæc corpora mortuorum,
Oculorum tuorum acie considerares.

Oed.

ΣΧΟΛΙΑ.

ρὺς κακοδαιμονοῦντες· ἐνταῦθα ἐπὶ τοῦ ἀστέρος λαμβάνεται σημαινόμενον. 1551. Σχετλίαισι) φονίαις μάχαις, ξίφεσί τε βέλεσί τε πυρί. 1554. Τέκνα) διὰ τὰ τέκνα. Δι' ὀδύνας) ἐπίδηλος ὁ σὸς θρῆνος. πολλὰ γὰρ τὰ παρελέχθη σε κακά, διὰ τί νῦν ταῦτα στενάζεις διὰ τὴν τύφλωσιν· διὰ δὲ τὸ μητρὸς γάμον. εἶπεν, ὅ διὰ ταῦτα θρηνεῖ. λείπει δὲ ἡ διά· διατί τάδε κωκύεις. 1555. Εἰ τὰ τέθριππα καὶ ἐς) μειζόνως ἂν ἠδυνήθης, εἰ τοὺς ὀφθαλμοὺς ἔχων ὁρῶντας, καθορᾶς τούτους κειμένους νεκρούς. τὸ γὰρ ἐπιτίθεμαι, ἀντὶ τοῦ διακρίνεσθαι καὶ ἐπισκοπεῖς. 1557. Ὀμμάτων αὐγαῖς) ἀντὶ τῶν ὀμμάτων.

1558. Τῶν

1543. Τυφλὸν) ἐστερημένον ἀκτῖνος αἰγλῆς ὀφθαλμῶν. 1550. Ἀλάστωρ) ὁ προσηλυθὼν σοι κακοποιὸς δαίμων.

Οἰδ. Τῶν μὲν ἐμῶν τεκέων φανερὸν κακόν.
Ἁ δὲ τάλαιν' ἄλοχος, τίνι μοι, τέκνον, ὤλετο
μοίρᾳ;

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Αν. Δάκρυα γοερὰ φανερὰ πᾶσι τιθεμένα
Τέκεσι μαστὸν ἔφερεν,
Ἱκέτις ἱκέταν αἰρομένα.
Εὗρε δ' ἐν Ἠλέκτραισι πύλαις τέκνα,
Λωτοτρόφον κατὰ λείμακα λόγχαις
Κοινὸν ἐνυάλιον μάτηρ,
Ὥστε λέοντας ἐναύλους,
Μαρναμένους ἐπὶ τραύμασιν αἵματος,
Ἤδη ψυχρὰν λοιβὰν, φονίαν,
Ἂν ἔλαχ' Ἀΐδας, ὤπασε δ' Ἄρης.
Χαλκόκροτον δὲ λαβοῦσα νεκρῶν πάρα
Φάσγανον, εἴσω σαρκὸς ἔπεμψεν·
Ἄχει δὲ τέκνων ἔπεσ' ἀμφὶ τέκνοισι.
Πάντα δ' ἐν ἤματι τῷδε συνήγαγεν,
Ἁμετέροισι δόμοισιν ἄχη θεός,

Ὦ

ΣΧΟΛΙΑ.

1558. Τῶν μὲν ἐμῶν) ἐγὼ κατηρευνωμένην τὸ θηκτῷ σιδήρῳ δύμην διαλαχεῖν τοὺς παῖδας. 1559. Ἁ δὲ τάλαιν' ἄλοχος) καὶ τοῦτο ἀπρεπές, ὅτι τὸν Οἰδίποδα ἄλοχον τὴν Ἰοκάστην ποιεῖ λέγοντα, ἐπιγνόντα ὅτι ἡ μήτηρ ἦν. ἔδει οὖν τὸ ὄνομα παραιτήσασθαι. 1560. Δάκρυα γοερὰ) Δάκρυα θρηνώδη φανερὰ πᾶσι ποιοῦσα, μαστὸν ἱκέτην αἴρουσα ἔφερε τοῖς τέκνοις ἱκέτις αὐτοῖς ἀπελθοῦσα. Εὗρε δὲ ἐν ταῖς Ἠλέκτραις πύλαις κατὰ τὸν λειμῶνα τὸν λωτοτρόφον τὰ τέκνα ἡ μήτηρ ἐν πληγαῖς φόνου, ὥσπερ λέοντας τοὺς ἐν τῇ ἐπαύλει μαχομένους, λόγχαις μαχεσαμένους κοινὸν πόλεμον· θυσίαν διὰ ῥοῆς αἵματος φονικοῦ ἤδη ψυχρὰν· ἣν ὁ ἅδης ἐκληρώσατο, παρέσχε δὲ ὁ ἄρης. 1562. Ἱκέτις) ἱκέτιν τὴν μαστὸν αἰρομένην καὶ μετεωρίζουσαν, ἵνα οἱ παῖδες ἰδόντες λήξωσι τῆς μάχης. γράφεται δὲ καὶ ἐρομένα, ὅ ἐστιν ἐρύουσα, καὶ ἀνατείνουσα τὸν μαστόν. 1564. Λείμακα)

Oed. Meorum quidem liberorum manifestum est
malum :
Sed misera conjux quonam fato periît, ô filia?

MONOSTROPHICA.

Ant. Lacrymæ lugubres manifestæ omnibus factæ
sunt.
Filiis mammas ostendebat, ostendebat
Supplex *mater* supplices exerens.
Invenit autem filios ad portam Electram,
In prato, ubi nascitur lotus, hastis
Communem Martem, mater,
Ceu leones contubernales
Pugnando committentes in vulneribus sanguinis,
Jam frigidam & cruentam libationem,
Quam Pluto *quidem* sortitus erat, præbuerat verò
Mars.
Æneum autem accipiens à mortuis
Ensem, misit in suum corpus :
Præ dolore verò filiorum cecidit juxta filios.
Omnes autem hoc die congregavit,
Nostræ domui dolores Deus,

O

ΣΧΟΛΙΑ.

1564. Λείμακα) λειμῶνα. 1565. Κοινὸν) συγκλυδικὸν πόλεμον, κοινὸν τὸ εὗρε. ὁ δὲ λόγος ἀσύνδετος. ἐπὶ τοῖς τραύμασιν εὗρε ψυχρὰν σπονδὴν αἵματος. ἥπερ αἱμάτων φονευομένων σπονδή ἐστι τοῦ ᾅδου. 1566. Ἐναύλους) συνοίκους, ἢ ἐν ἐπαύλει μαχομένους. 1568. Ψυχρὰν λοιβὰν) τὴν εἰς ψῦξιν καὶ θάνατον ἄγουσαν. 1569. Ἂν ἔλαχ᾽ ἀΐδας) ἣν λοιβὴν τοῦ αἵματος κεκλήρωται ὁ ᾅδης. παρ᾽ ὅσον οἱ φονευόμενοι εἰς ᾅδου χωροῦσι. παρεξένισε δὲ φησὶ ὁ Ἄρης τῷ ᾅδῃ τὴν ἐξ αἵματος σπονδήν. 1570. Χαλκόκροτον) τὸ ὑπὸ χαλκοῦ συγκεκροτημένον καὶ κατεσκευασμένον ξίφος. 1572. Ἄγχι δὲ) ἐπὶ τέκνων τῶν νεκρῶν.

1577. Εὐτυ-

1573. Πάσας δὲ τὰς λύπας ἐν ταύτῃ τῇ ἡμέρᾳ συνήγαγεν ἐπὶ τοῖς ἡμετ. δώμασιν ὁ θεὸς ὃς ταῦτα πληροῖ.

Ὦ πάτερ, ὅτε τάδε τελευτᾷ.

Ἰαμβοί.

Χο. Πολλῶν κακῶν κατῆρξεν Οἰδίπου δόμοις
Τόδ' ἦμαρ. εἴη δ' εὐτυχέστερος βίος.
Κρ. Οἴκτων μὲν ἤδη λήγεθ', ὡς ὥρα τάφου
Μνήμην τίθεσθαι. τῶνδε δ', Οἰδίπου, λόγων
Ἄκουσον. Ἀρχὰς τῆσδε γῆς ἔδωκέ μοι
Ἐτεοκλέης σὸς παῖς, γάμων φερνὰς διδοὺς
Αἵμονι, κόρης τε λέκτρον Ἀντιγόνης σέθεν.
Οὔκουν σ' ἐάσω τήνδε γῆν οἰκεῖν ἔτι.
Σαφῶς γὰρ εἶπε Τειρεσίας, οὐ μή ποτε,
Σοῦ τήνδε γῆν οἰκοῦντος, εὖ πράξειν πόλιν.
Ἀλλ' ἐκκομίζου. καὶ τάδ' οὐχ ὕβρει λέγω,
Οὐδ' ἐχθρὸς ὢν σός, διὰ δὲ τοὺς ἀλάστορας
Τοὺς σούς, δεδοικὼς μή τι γῆ πάθῃ κακόν.
Οἰδ. Ὦ μοῖρ', ἀπ' ἀρχῆς ὥς μ' ἔφυσας ἄθλιον,
Καὶ

ΣΧΟΛΙΑ.

1577. Εὐτυχέστερος βίος) οὐχ ὡς τοῦ προτέρου βίου εὐτυχοῦς ὄντος, τῷ συγκριτικῷ ἐχρήσατο, ἔσθ' ὅτε γὰρ τὰ συγκριτικὰ ἐξ ἀνομοιοειδῶν γίνεται, ὡς τὸ πρεσβυτέρων παίδων. οὐχ ὡς καὶ τῶν ἄλλων παίδων παλαιῶν ὄντων. 1578. Ὡς ὥρα τάφου) καιρός ἐστι μνήμην ποιεῖσθαι τῶν τάφων καὶ τῶν θαπτομένων. Ὡς ὥρα τάφου) οὐχ ἵνα πάντες ταφῶσιν, ἀλλὰ μόνος Ἐτεοκλῆς καὶ Ἰοκάστη. τὸν γὰρ Πολυνείκην ἀκήδευτον καθεῖναι κελεύει. 1580. Ἀρχὰς τῆσδε γῆς) τὰς ἀρχὰς διδούς. ἀπὸ κοινοῦ δὲ τὸ διδούς. φερνὰς οὖν φησὶν ἔδωκε τῇ ἑαυτοῦ ἀδελφῇ. ἑαυτοῦ τὴν ἀρχήν. Φερνὰς δὲ φησὶ τὰ διδόμενα χάριν προικὸς τῇ νύμφῃ. 1582. Αἵμονι) τῷ υἱῷ μου. 1587. Διὰ δὲ τοὺς ἀλάστορας) τὰς δυστυχίας τὰς σάς. 1589. Ὦ μοῖρ' ἀπ' ἀρχῆς) ὦ μοῖρα καὶ τύχη λίαν ἐποίησας ἐμὲ ἀπ' ἀρχῆς ἄθλιον καὶ τλήμονα, ὡς οὐδεὶς ἄλλος τῶν ἀνθρώπων ἐγένετο, ὃν, ἐμὲ δηλονότι, καὶ πρὸ τοῦ ἐλθεῖν εἰς φῶς ἐκ τῆς γονῆς τῆς μητρὸς, ἤτοι ἐκ τῆς γεννήσεως τῆς μητρὸς, ἐθέσπισεν ὁ Ἀπόλλων τῷ Λαΐῳ ἄγονον, ἤτοι μὴ γεννηθῆναι ὀφείλοντα γενέσθαι φονέα τοῦ πατρός. φησὶ, ἄθλιός εἰμι ἐγώ. ἐπεὶ δὲ ἐγενόμην, ἤτοι εἰς φῶς ἦλθον, πάλιν ὁ πει-

O pater, qui hæc perficit.

Chorus.

Multorum malorum initium fuit Oedipi domui
Hic dies. Utinam autem *posthac* sit felicior vita.

Cre. Luctuum quidem jam finem facite, quia tempus *est* sepulturæ
Mentionem facere: hæc verò, Oedipe, verba
Audi. Principatum hujus terræ dedit mihi
Eteocles filius tuus, dans dotem propter nuptias
Hæmoni, & conjugium filiæ tuæ Antigones:
Non igitur sinam te hanc terram amplius incolere.
Clarè enim dixit Tiresias, nunquam
Te in hâc terrâ habitante, benè acturam urbem.
Quare abi. Hæc verò non dico tibi per contumeliam,
Neque tuus existens inimicus, sed propter malos Genios,
Qui te agitant, timens, nè terra aliquid mali patiatur.

Oed. O fatum, quàm me ab initio genuisti miserum,
Et

ΣΧΟΛΙΑ.

…ρίως πατὴρ ἔκτεινέ με, ἤτοι κτεῖναί με ἔκελευεν, νομίσας γεγενῆσθαι πολέμιον. ἀπέκειτο δὲ θανεῖν αὐτὸν ἐξ ἐμοῦ. πέμπει δέ με, ἀντὶ τοῦ ἐξέπεμψεν ἐμὲ, ποθοῦντα μαστὸν, ἤτοι ὑπομάζιον ὄντα, βορὰν ἀθλίαν γενησόμενον, δηλονότι θηρσὶν ἀντὶ τοῦ θηρῶν. οὐ καὶ ὅπου σωζόμεθα, ἀντὶ τοῦ ἐσώθημεν. ὤφελε γὰρ ἀντὶ τοῦ ἔπρεπεν ἐλθεῖν ὁ Κιθαιρὼν, εἰς τὰ χάσματα καὶ εἰς τὰ σχίσματα τοῦ Ταρτάρου, τὰ ἄβυσσα καὶ τὰ βαθύτατα, ὃς οὐκ ἀπώλεσεν ἐμὲ, ἀλλὰ ἔδωκεν ἐμοὶ ὁ δαίμων δουλεῦσαι τὸ ἀμφὶ δεσπότην τὸν Πόλυβον. κτανὼν δὲ ὁ δυστυχὴς τὸν ἐμαυτοῦ πατέρα, ἦλθον εἰς συνάφειαν τῆς ταλαιπώρου μητρός. ἔτεκόν τε παῖδας ἀδελφοὺς, οὓς ἀπώλεσα λαβὼν ἀρὰς παρὰ τοῦ Λαΐου, καὶ δὺς
τοῖς

1577. Εἴθε δὲ εἴη ὁ ἐπίλοιπος βίος εὐτυχ. 1582. Τὸ λέκτρον ἀντὶ συνάφειαν τῆς θυγατρὸς σοῦ τῆς Ἀντιγόνης· ἀντὶ τοῦ καὶ τὴν θυγατέρα σοῦ τὴν Ἀντιγόνην εἰς συνάφειαν γάμου.

Καὶ τλήμον', εἴ τις ἄλλος ἀνθρώπων ἔφυ·
Ὃν καὶ πρὶν εἰς φῶς ματρὸς ἐκ γονῆς μολεῖν,
Ἄγονον Ἀπόλλων Λαΐῳ μ' ἐθέσπισε
Φονέα γενέσθαι πατρός· ὦ τάλας ἐγώ.
Ἐπεὶ δ' ἐγενόμην, αὖθις ὁ σπείρας πατὴρ
Κτείνει με, νομίσας πολέμιον πεφυκέναι·
Χρῆν γὰρ θανεῖν νιν ἐξ ἐμοῦ. πέμπει δέ με,
Μαστὸν ποθοῦντα, θηρσὶν ἄθλιον βοράν.
Οὗ σωζόμεσθα. Ταρτάρου γὰρ ὤφελεν
Ἐλθεῖν Κιθαιρὼν εἰς ἄβυσσα χάσματα,
Ὅς μ' οὐ διώλεσ', ἀλλὰ δουλεῦσαί τέ μοι
Δαίμων ἔδωκε Πόλυβον ἀμφὶ δεσπότην.

Κτανὼν

ΣΧΟΛΙΑ.

τοῖς παισίν, οὐ γὰρ τοσοῦτον ὑπάρχω ἀσύνετος καὶ ἀνόητος, ὥστε ἀγνοῶ ὑπὸ καὶ τινὸς τῶν θεῶν ἐμηχανησάμην ταῦτα εἰς τὰ ἐμὰ ὄμματα, καὶ εἰς τὸν βίον καὶ τὴν ζωὴν τῶν ἐμῶν παίδων. εἶσι καὶ ἔσω ταῦτα. τί δῆτα δράσω ὁ δυστυχὴς ἐγώ; τίς ἀκολουθήσει μοι ὁδηγὸς ποδὸς τυφλοῦ; ἢ θανοῦσα ἤδη, ἤγουν ἡ Ἰοκάστη; ζῶσα γὰρ ἂν οἶδα σαφῶς, ὅτι ἐγένετο ἡγεμὼν δηλονότι. ἀλλ' ἡ τῶν καλῶν παίδων δυάς; ἀλλ' οὐκ ἔστι μοι. ἀλλ' ἔτι νεάζων, ἤτοι νέος ὤν, εὕροιμι αὐτὸς πόρον ζωῆς; πόθεν; ἀντὶ τοῦ οὐδαμῶς· τί ἀποκλείνεις ἐμέ, ὦ Κρέον, οὕτως ἄρδην καὶ παντελῶς; ἀποκτενεῖς γάρ, εἰ ἐκβαλεῖς ἐμὲ ἔξω τῆς γῆς. οὐ μὴν ἑλίξας τὰς χεῖρας περὶ τὸ σὸν γόνυ φανοῦμαι δειλός. τὴν γὰρ ποτὲ οὖσαν ἐμοὶ γενναιότητα, οὐκ ἂν καταλίποιμι. καίπερ πράσσων δυστυχῶς. Ὥς μ' ἔφυσας) λίαν ἐξ ἀρχῆς ἐποίησας ἄθλιον, καθὸ πρὶν γενέσθαι δυστυχὴς ὑπῆρχον. 1591. Μητρὸς ἐκ γονῆς) γόνος καὶ γονή, τὸ σπέρμα τοῦ ἀνδρός. ὃ παραλαβοῦσα ἡ γυνή, καὶ θάλψασα, καὶ τὸν τεταγμένον χρόνον κατασχοῦσα, ἀποτίκτει. ὥσπερ δὲ λέγεται σπέρμα τῆς γῆς ὁ σῖτος, καὶ ἡ κριθή, καὶ τὰ τοιαῦτα, διότι εἰς τὴν γῆν σπείρονται. οὕτω καὶ ὁ καταβαλλόμενος πρὸς τὴν γυναῖκα σπόρος τῆς γυναικὸς ἂν λέγοιτο, κατὰ τὸν προσήκοντα λόγον, καθ' ὃ λέγεται ἐνταῦθα τὸ μητρὸς ἐκ γονῆς, ἤγουν ἐκ τοῦ σπέρματος καὶ τῆς μητρός, ἀντὶ τοῦ ἐκ τοῦ πρὸς τὴν ἐμὴν μητέρα καταβληθέντος σπέρματος. ἀπὸ τούτων, καὶ τὸ γόνιμον καὶ τὸ ἄγονον. λέγεται δὲ ταῦτα, ἐναντία γάρ εἰσι. καὶ ἐπὶ τῶν αὐτῶν λέγεται, πρῶτα μὲν ἐπὶ ἀνδρὸς δυναμένου παιδοποιεῖν, ἢ μὴ δυναμένου. καὶ ἐπὶ μήτρας δυναμένης σπέρμα ζωογονεῖν, ἢ μὴ δυναμένης. ἔπειτα δὲ

ἐπὶ

Et infelicem, si quis alius hominum fuit!
Quem priusquam venirem ex conceptu materno in lucem,
Nondum natum me Apollo Laio vaticinatus est
Homicidam fore patris. O miserum me!
Postquam verò natus sum, statim pater, qui *me* seminavit,
Interfici me jubet, existimans *me sibi* hostem fore:
(Oportebat enim eum interfici à me) mittit autem me
Desiderantem ubera, prædam feris infelicem;
Ubi servatus sum. Utinam verò Tartari
Venisset in profundos hiatus Cithæron,
Qui me non perdidit: sed ut servirem, mihi
Dedit fortuna, apud Polybum dominum.

Deinde

ΣΧΟΛΙΑ.

ἐπὶ φυτῶν δυναμένων καρποφορεῖν, ἢ μὴ δυναμένων. ἔτι ἐπὶ γῆς ἐπιτηδείας σπέρματα τρέφειν καὶ θάλπειν, ἢ μὴ ἐπιτηδείας. καὶ ἐπὶ ποιητοῦ δυναμένου ποιεῖν ποιήματα, ἢ μὴ δυναμένου. ἔτι ἐπὶ βρέφους δυναμένου τεχθῆναι, ἢ πρέποντος. ὡς ἐν τούτοις. καὶ τοῦτο φασὶν, ἑπτὰ μησὶ γόνιμον εἶναι. ἐνταῦθα δὲ ἀντὶ τοῦ δυναμένου τεχθῆναι, ἢ μὴ δυναμένου, ἢ πρέποντος. οἷον ἐνταῦθα τὸ ἄγονον. 1592. Ἀπόλλων Λαΐῳ μ' ἐθέσπισεν) ἄγονον ἐνταῦθα. ἀντὶ τοῦ μὴ πρέποντα εἶναι τεχθῆναι. Ἐθέσπισεν, ἐμαντεύσατο, ἐχρησμοδότησεν. 1594. Ἐπεὶ δ' ἐγενόμην) ἐπεὶ δ' ἐγεννήθην, πάλιν ὁ σπείρας πατὴρ κτείνει με, ὅσον κατὰ τὴν οἰκείαν προαίρεσιν. 1596. Χρῆν γάρ) ἀπέκειτο, εἵμαρτο. 1597. Μαστὸν ποθοῦντα) ἔτι χρήζοντα μαστοῦ τὸν ἄθλιον πέμπει με τροφὴν τοῖς θηρσί. 1600. Δουλεῦσαί τέ μοι) δοῦλον γενέσθαι, καὶ τοῦτο εὐηθές. οὐ γὰρ δοῦλον αὐτὸν ἐποίησεν, ὡς ἔτι ἡ Ἰοκάστη φησίν. ἡ δὲ τὸν ἐμὸν ὠδίνων πόνον μαστοῖς ὑφεῖτο, καὶ πόσιν πείθει τεκεῖν. ἀλλὰ φαμὲν, ὅτι ἕνεκα τοῦ εἰς οἶκτον κινῆσαι τοὺς θεωμένους, ἢ ὅτι οἱ βαρυνόμενοι συμφοραῖς ὑπὸ προκειμένης δυστυχίας, καὶ τὰς προκειμένας εὐδαιμονίας, δυστυχίας ἀποκαλοῦσι. 1601. Πόλυβον ἀμφὶ δεσπότην) οὐκ ἐξέφαινεν αὐτὸν πατέρα, οὐκ ἐπέχθη υἱός. ἀλλὰ δοῦλος, καὶ κτῆμα αὐτοῦ γέγονεν.

Κτανὼν δ' ἐμαυτοῦ πατέρ' ὁ δυσδαίμων ἐγὼ,
Εἰς μητρὸς ἦλθον τῆς ταλαιπώρου λέχος.
Παῖδάς τ' ἀδελφοὺς ἔτεκον, οὓς ἀπώλεσα,
Ἀρὰς παραλαβὼν Λαΐου, καὶ παισὶ δούς.
Οὐ γὰρ τοσοῦτον ἀσύνετος πέφυκ' ἐγὼ,
Ὥστ' εἰς ἔμ' ὄμματ', εἴς τ' ἐμῶν παίδων βίον
Ἄνευ θεῶν του ταῦτ' ἐμηχανησάμην.
Εἶεν· τί δράσω δῆθ' ὁ δυσδαίμων ἐγώ;
Τίς ἡγεμών μοι ποδὸς ὁμαρτήσει τυφλοῦ;
Ἥδ' ἡ θανοῦσα; ζῶσα γ' ἂν σάφ' οἶδ' ὅτι.
Ἀλλ' εὔτεκνος ξυνωρίς; ἀλλ' οὐκ ἔστι μοι.
Ἀλλ' ἔτι νεάζων αὐτὸς εὕροιμ' ἂν βίον;
Πόθεν; τί μ' ἄρδην ὧδ' ἀποκτείνεις, Κρέον;
Ἀποκτενεῖς γὰρ, εἴ με γῆς ἔξω βαλεῖς.
Οὐ μὴν ἑλίξας γ' ἀμφὶ σὸν χεῖρας γόνυ
Κακὸς φανοῦμαι. τὸ γὰρ ἐμόν ποτ' εὐγενὲς
Οὐκ ἂν προδοίην, οὐδέπερ πράσσων κακῶς.
Κρ. Σοί τ' εὖ λέλεκται, γόνατα μὴ ψαύειν ἐμά·

Ἐγὼ

ΣΧΟΛΙΑ.

1605. Ἀρὰς παραλαβὼν) θέλει εἰπεῖν ὅτι εἱμαρμένον ταῦτα παθεῖν τῷ γένει. ὁ γὰρ Λάϊος, φησὶ, γνοὺς μὴ κατὰ βούλησιν θεῶν γεγονότα με, κατηράσατο, ἵνα δηλονότι ἀποθάνω. ἐγὼ δὲ ἀπὸ σκαιοῦ δαίμονος τὰς παρ' ἐκείνου ἀρὰς δεξάμενος, παρέδωκα, φησὶ, καὶ τοῖς ἐξ ἐμοῦ παισί. Ἄλλως. Ἀρὰς παραλαβὼν) κατάρας παρὰ τοῦ Λαΐου λαβὼν, ἀντὶ κληρονομήσας, καὶ πρὸς τοὺς παῖδας παραπέμψας· ἀρὰς δὲ λέγει τὰς παρακολουθούσας τῷ γένει αὐτῶν ἀπὸ τοῦ Πέλοπος· οὐκ ἃς αὐτῷ ὁ Λάϊος κατηράσατο (ἐπεὶ οὐδὲ φέρεταί τι τοιοῦτον ἀπὸ τοῦ Λαΐου πρὸς τὸν Οἰδίποδα) ἀλλ' ἃς ὁ Πέλοψ Λαΐῳ κατηράσατο, δυσθυμήσας ἐπὶ τῇ υἱοῦ αὐτοῦ Χρυσίππου ἁρπαγῇ, ἣν ἥρπαξεν ὁ Λάϊος. Οὐ γὰρ τοσοῦτον ἀνόητος πέφυκ' ἐγὼ, ὥστε χωρίς τινος ἀπὸ τῶν θεῶν εἰς τὰ ἐμὰ ὄμματα ταῦτα ἐμηχανησάμην καὶ εἰς τὴν ζωὴν τῶν ἐμῶν παίδων. ὅμοιον τοῦτο παρὰ Σοφοκλεῖ----Ἠδ' ὧδε τλήμων, ὥστε τῷ μιάστορι Ξυνέσιν· τὸ γὰρ ὥστε μετὰ ἀπαρεμφάτου οἰκείως ἔχει τίθεσθαι, ἐν τούτοις μετὰ ὁριστικοῦ κεῖται καθ' ὁμοίαν

ἀκα-

Deinde cùm interfecissem meum patrem infelix ego,
In matris veni miseræ lectum,
Filiósque fratres genui, quos perdidi,
Accipiens imprecationes à Laio, & dans liberis:
Non enim tam stultus ego natus sum,
Ut in meos oculos ínq; meorum filiorum vitam,
Sine deorum aliquo hæc comminiscerer,
Sint illa. Quid faciam igitur ô infelix ego?
Quis comitabitur me dux cæci pedis?
Hæcne quæ mortua est? vivens enim satis scio *fecisset.*
At beatum jugum filiorum? sed non sunt [*plius* mihi. *am-*
Verùm ipse adhuc juvenis inveniam mihi cibum?
Unde? quare me funditùs sic occîdis, ô Creon?
Occîdes enim, si me ex *hoc* agro ejicias.
Non tamen admovens manus ad tuum genu,
Timidus videbor: nam meam pristinam generositatem
Non prodam, neque quamvis rem geram malè.
Cre. Tibi rectè dictum, quòd nolis genua mea polluere; Ego

ΣΧΟΛΙΑ.

ἀκολουθίαν· ἴσως ὁ καὶ σύνδεσμος ἐπὶ τούτῳ συνυπακούεται· μετὰ γὰρ τοῦ καὶ συνδέσμου ὥστε οὐκ ἀνακολούθως πρὸς ὁριστικὸν λέγεται. 1610. Ὁμαρτήσει) ἀκολουθήσει, ὁδηγήσει. 1611. Ζῶσα γὰρ σάφ' οἶδα) σαφῶς οἶδα ὅτι εἰ ἔζη, συνήθως ἄν μοι ἐχειραγώγησεν Ἰοκάστη. 1612. Ἀλλ' εὔτεκνος) ἀλλ' ἡ εὐτεκνία τῶν δύο μου παίδων. 1614. Πόθεν) οὐδαμῶς. Τί δ' ἄρδην) παντελῶς. 1616. Ἑλίξας) συστρέψας τὰς ἐμὰς χεῖρας ὑπὲρ τὸ σὸν γόνυ δειλὸς φανοῦμαι. τὴν γὰρ ἐμὴν εὐγένειαν οὐκ ἂν προδώσω, ἀπολύσαιμι, κἂν δυστυχῶ. 1619. Σοί τ' εὖ λέλεκται) σοί τε εὖ ἤγουν καλῶς λέλεκται μὴ θέλειν τὰ ἐμὰ γόνατα, ἤτοι μὴ χρῄζειν ἀπὸ ἱκεσίας τῶν ἐμῶν γονάτων. ἐγὼ δὲ οὐκ ἂν ἐάσαιμί σε οἰκεῖν τὴν χθόνα. ἀπὸ τῶνδε δὲ τῶν νεκρῶν τὸν μὲν, ἤγουν τὸν Ἐτεοκλέα, προσέπον κομίζειν ἤδη εἰς τοὺς δόμους. τόνδε δὲ, λέγω

1613. Βίον, πόρον ζωῆς. 1616. Ἑλίξ. περιβαλὼν τοὺς σοὺς πόδας.

Ἐγὼ δὲ ναίειν σ' οὐκ ἐάσαιμ' ἂν χθόνα.
Νεκρῶν δὲ τῶνδε, τὸν μὲν εἰς δόμους χρεὼν
Ἤδη κομίζειν. τόνδε δ', ὃς πέρσων πόλιν
Πατρίδα σὺν ἄλλοις ἦλθε, Πολυνείκους νέκυν,
Ἐκβάλλετ' ἄθαπτον τῆσδ' ὅρων ἔξω χθονός.
Κηρύξεται δὲ πᾶσι Καδμείοις τάδε·
Ὃς ἂν νεκρὸν τόνδ' ἢ καταστέφων ἁλῷ,
Ἢ γῇ καλύπτων, θάνατον ἀνταλλάξεται.
Ἐᾶν δ' ἄκλαυστον, ἄταφον, οἰωνοῖς βοράν.
Σὺ δ' ἐκλιποῦσα τριπτύχους θρήνους νεκρῶν,
Κόμιζε σαυτήν, Ἀντιγόνη, δόμων ἔσω,
Καὶ παρθενεύου, τὴν ἐπιοῦσαν ἡμέραν
Μένουσ', ἐν ᾗ σε λέκτρον Αἵμονος μένει.
Αν. Ὦ πάτερ, ἐν οἵοις κείμεθ' ἀθλίοις κακοῖς;
Ὥς σε στενάζω τῶν τεθνηκότων πλέον.
Οὐ γὰρ τὸ μέν σοι βαρὺ κακῶν, τὸ δ' οὐ βαρύ·
Ἀλλ' εἰς ἅπαντα δυστυχὴς ἔφυς, πάτερ.
Ἀτάρ σ' ἐρωτῶ τὸν νεωστὶ κοίρανον,
Τί τόνδ' ὑβρίζεις πατέρ' ἀποστέλλων χθονός;

Τί

ΣΧΟΛΙΑ.

λέγω τὸν νέκυν τοῦ Πολυνείκους, ὃς ἦλθε σὺν ἄλλοις πορθήσων τὴν πατρίδα, ἐκβάλλετε καὶ ῥίψατε ἄταφον ἔξω τῶν ὅρων τῆσδε τῆς χθονός. κηρυχθήσεται δὲ πᾶσι τοῖς Καδμείοις τάδε, ὃς ἁλῷ ἢ κρατηθῇ, ἢ καταστέφων ἢ τιμῶν τόνδε τὸν νεκρὸν, ἢ καλύπτων γῇ, ἤτοι θάπτων, θάνατον ἀνταλλάξεται, ἤγουν ἀντὶ κόσμου καὶ τῆς ταφῆς λήψεται θάνατον. κηρύξεται δὲ καὶ τοῦτο, ἐᾶν ἄκλαυστον, ἄταφον, βορὰν τοῖς ὀρνέοις. σὺ δὲ, ὦ Ἀντιγόνη, ἐκλιποῦσα τοὺς θρήνους τῶν τριῶν νεκρῶν, κόμιζε σεαυτὴν ἔσω τῶν δόμων, καὶ παρθενεύου, ἀντὶ τοῦ ἐν τῷ παρθενῶνι μένε, περιμένουσα τὴν ἐπερχομένην ἡμέραν, ἐν ᾗ μένει σε τὸ λέκτρον καὶ ἡ συνάφεια τοῦ Αἵμονος. Σοί τ' εὖ λέλεκται) καλῶς εἶπας ὅτι οὐχ ἱκετεύω σε. εἰ γὰρ καὶ σὺ ἠθέλησας, ἐγὼ οὐ συνεχώρουν. 1622. Τόνδε δ' ὃς) τὸν δὲ Πολυνείκους νέκυν. Πέρσων) πορθήσων. 1625. Κηρύξεται) κηρυχθήσεται. 1626. Καταστέφων ἁλῷ) εἰώθασι

οἱ

Ego verò non sinam te habitare *hanc* terram.
Horum verò mortuorum alterum quidem domum oportet
Jam portare: alterum verò, qui eversurus urbem
Patriam cum aliis venit, Polynicis cadaver,
Ejicite insepultum extra fines hujus terræ.
Promulgabuntur autem hæc omnibus Thebanis,
QUICUNQUE deprehensus fuerit hunc mortuum aut coronans
Aut terrâ tegens *& sepeliens*, *is pœnas* morte luet.
Relinqui nam *oportet* indeploratum & insepultum, volucribus prædam.
Tu verò relinquens luctus trium cadaverum,
Recipe te ipsam, Antigone, intra ædes,
Et fac officia virginis, futuram diem
Expectans, in quâ te expectat lectus Hæmonis.
Ant. O pater, in quantis sumus miseris malis!
Quàm te gemo, plus quàm mortuos!
Non enim pars quidem malorum tibi gravis est, pars verò non gravis:
Sed in omnibus infelix es, pater.
Sed te interrogo novum tyrannum,
Quid hunc contumeliâ-afficis, patrem expellens terrâ?

Quare

ΣΧΟΛΙΑ.

τὸ στέφειν τοὺς νεκρούς. 1627. Θάνατον ἀνταλλάξεται) ἀντὶ τῆς ταφῆς θάνατον λήψεται. 1631. Καὶ παρθενεύου) παρθένος διάγε, ἐκδεξομένη τὴν ἑξῆς ἡμέραν. 1634. Ὥς σε στενάζω) πρὸς τὸν Οἰδίποδα λέγει. ὅτι στένω σε, ὦ πάτερ, πλέον τῶν τεθνηκότων. 1637. Ἀτὰρ σ' ἐρωτῶ) πρὸς τὸν Κρέοντα ἀποστρέφει τὸν λόγον. τί διώκεις τὸν πατέρα; τί ἀπαγορεύεις τὴν ταφὴν τοῦ παιδὸς Πολυνείκους;

1639. Θεσμο-

1626. Κατεστέφ. ἀλ.) κοσμῶν φωραθῇ. 1629. Τεγκτ. ἀντὶ θρήνους τῶν τελῶν νεκρῶν. 1631. Ἐν παρθενῶνι μένε, τὴν ἐπελευσομένην ἡμέραν περιμένουσα. 1634. Τῶν τεθνηκ.) τῆς Ἰοκάστης καὶ τῶν παίδων αὐτῆς.

Τί θεσμοποιεῖς ἐπὶ ταλαιπώρῳ νεκρῷ;
Κρ. Ἐτεοκλέους βουλεύματ', οὐχ ἡμῶν, τάδε.
Αν. Ἄφρονά γε, καὶ σὺ μῶρος, ὃς ἐπείθου τάδε.
Κρ. Πῶς; τἀντεταλμέν' οὐ δίκαιον ἐκτελεῖν;
Αν. Οὐκ, ἢν πονηρά τ' ᾖ, κακῶς τ' εἰρημένα.
Κρ. Τί δ'; οὐ δικαίως ὅδε κυσὶν δοθήσεται;
Αν. Οὐκ ἔννομον γὰρ τὴν δίκην πράσσεσθέ νιν.
Κρ. Εἴπερ γε πόλεως ἐχθρὸς ἦν, οὐκ ἐχθρὸς ὤν.
Αν. Οὐκοῦν ἔδωκε τῇ τύχῃ τὸν δαίμονα;
Κρ. Καὶ τῷ τάφῳ νῦν τὴν δίκην παρασχέτω.
Αν. Τί πλημμελήσας, τὸ μέρος εἰ μετῆλθε γῆς;
Κρ. Ἄταφος ὅδ' ἀνήρ, ὡς μάθῃς, γενήσεται.
Αν. Ἐγώ σφε θάψω, κἂν ἀπεννέπῃ πόλις.
Κρ. Σαυτὴν ἄρ' ἐγγὺς τῷδε συνθάψεις νεκρῷ.
Αν. Ἀλλ' εὐκλεές τοι δύο φίλω κεῖσθαι πέλας.
Κρ. Λάζυσθε τήνδε, κεἰς δόμους κομίζετε.
Αν. Οὐ δῆτ', ἐπεὶ τοῦδ' οὐ μεθήσομαι νεκροῦ.
Κρ. Ἔκριν' ὁ δαίμων, παρθέν', οὐχ ἃ σοὶ δοκεῖ.

Αν. Κα-

ΣΧΟΛΙΑ.

1639. Θεσμοποιεῖς) νομοθετεῖς. 1640. Ἐτεοκλέους βουλεύματ', οὐχ ἡμῶν, τάδε) πρὸς τὴν δευτέραν ἐρώτησιν ἀπαντᾷ τὴν περὶ τοῦ Πολυνείκους· περὶ γὰρ τοῦ Οἰδίποδος οὐδὲν ὁ Ἐτεοκλῆς διετάξατο. 1641. Ἄφρονά γε) τὰ βουλεύματα, καὶ σὺ μωρὸς, ὃς ἐπείθης τάδε εἰς πέρας ἀγαγεῖν. 1645. Οὐκ ἔννομον γὰρ) οὐκ ἔννομον τιμωρίαν ἀπαιτεῖτε αὐτόν. Ἄλλως. ἀπὸ κοινοῦ τὸ οὐ δικαίως. ἀνόσιον γὰρ φησὶν, ὅτι τοιαύτην τιμωρίαν αὐτὸν ἀπαιτεῖς. λέγει δὲ τὸ ἄταφον εἶναι. 1646. Εἴπερ γε πόλεως) ναί φησιν ἔννομος, εἴπερ ἦν ἐχθρὸς τῆς πόλεως, οὐκ ἐχθρὸς ὢν, ἤτοι οὐκ ὀφείλων εἶναι ἐχθρός. 1647. Οὐκοῦν ἔδωκεν) κατ' ἐρώτησιν ὁ λόγος, οὐκ ἔδωκεν οὖν τῇ ἀποβάσει τὴν κόλασιν; δαίμονα δὲ φησὶ τὸν ἐξ εἱμαρμένης καὶ δαίμονος θάνατον. τύχην δὲ τὴν κατὰ τὸν πόλεμον συντυχίαν. οὐκοῦν φησὶν ἀρκέσθητε τῷ θανάτῳ, ὃν ἔτυχεν αὐτὸν ἐν τῷ πολέμῳ ἀνατλῆναι. 1648. Καὶ τῷ τάφῳ) καὶ ἐν τῷ ἐνταφιασμῷ τὴν δίκην διδότω. 1649. Τί πλημμε-

Quare facis leges de misero mortuo?
Est Eteoclis sententia hæc, non mea.
. Stulta est, & tu stultus, qui obtemperas istis.
Quomodo? non est justum exequi mandata?
. Non, si quidem mala sunt & malè dicta.
Quid verò, non justè hic canibus dabitur?
. Non legitimam enim pœnam exigitis ab eo.
Siquidem urbis hostis fuit, qui hostis *esse* non *debuerat*.
. Annon dedit fortunæ suæ animam?
. Et nunc in sepulturæ-causâ pœnam det.
. Quo peccato commisso, si *armis suam* Regni partem quæsivit?
Insepultus erit hic vir, ut scias.
. Ego verò eum sepeliam, etiam si prohibeat urbs.
. Teipsam propè sepelies cum hoc cadavere.
. At gloriosum *est* profectò duos amicos jacere simul.
Prehendite hanc, & portate domum.
. Nequaquam, non enim relinquam hoc cadaver.
. Decrevit Deus, ô virgo, quæ tibi non videntur.

Ant. Et

ΣΧΟΛΙΑ.

μμελήσας) κατ' ἐρώτησιν ἐνῆθει, τί πλημμελήσας, ἀπῄτησε μέρος; 1651. Κἂν ἀπεννέπῃ) κἂν ἀπαγορεύῃ ἡ πόλις. 2. Σαυτὴν ἄρα συνθάψεις τῷδε τῷ νεκρῷ ἐγγύς. 1653. Ἀλλ' λεὲς) ἀλλ' ἔνδοξον δύο φίλους κεῖσθαι πλησίον. 1654. Λάτε) λαμβάνετε. 1656. Οὐχ ἅ σοι δοκεῖ) ταῦτα ἐκέλευσεν ὁ ων, τὸ μὴ ταφῆναι τὸν ἀδελφόν σου, οὐχ ἅ σοι ἀρεστὰ φαίνεται. 1658. Ὡς

1643. Πονηρὰ, παράνομα. κακῶς, ἀδίκως. 1649. Τί ἁμαρτὰς εἰ ἐζήτησε τὸ ἀνῆκον αὐτῷ. 1655. Οὐ δῆτ') οὐδαμῶς ίζουσι, οὐ χωρισθήσομαι τοῦ νεκροῦ.

Αν. Κἀκεῖνο κέκειται, μὴ ἐφυβρίζεσθαι νεκρούς.
Κρ. Ὡς οὔτις ἀμφὶ σῶμ' ὑγρὰν θήσει κόνιν.
Αν. Ναὶ πρός σε τῆσδε μαστὸς Ἰοκάστης, Κρέον.
Κρ. Μάταια μοχθεῖς, οὐ γὰρ ἂν τύχοις τάδε.
Αν. Σὺ δ' ἀλλὰ νεκρῷ λουτρὰ περιβαλεῖν μ' ἔα.
Κρ. Ἓν τοῦτ' ἂν εἴη τῶν ἀπορρήτων πόλει.
Αν. Ἀλλ' ἀμφὶ τραύματ' ἄγρια τελαμῶνας
    βαλεῖν.
Κρ. Οὐκ ἔσθ', ὅπως σὺ τόνδε τιμήσεις νέκυν.
Αν. Ὦ φίλτατ', ἀλλὰ στόμα γε σὸν προσπτύξομαι.
Κρ. Οὐκ εἰς γάμους σοὺς συμφορὰν κλήσῃ γόοις.
Αν. Ἦ γὰρ γαμοῦμαι ζῶσα παιδὶ σῷ ποτε;
Κρ. Πολλή σ' ἀνάγκη· ποῖ γὰρ ἐκφεύξῃ λέχος;
Αν. Νὺξ ἄρ' ἐκείνη Δαναΐδων μ' ἕξει μίαν.
Κρ. Εἶδες τὸ τόλμημ', οἷον ἐξωνείδισεν;
Αν. Ἴστω σίδηρος, ὅρκιόν τέ μοι ξίφος.
Κρ. Τί δ' ἐκπροθυμῇ τῶνδ' ἀπαλλάχθαι γάμων;
Αν. Συμ-

ΣΧΟΛΙΑ.

1658. Ὡς οὔτις) γίνωσκε, ὅτι οὐδεὶς τοῦτον θάψει. ὑγρὰν κόνιν λέγει τὴν χυτὴν καὶ λεπτὴν, πρὸς ἀντιδιαστολὴν τοῦ ἐριβώλακος. Ὅμηρος· Χυτὴν δ' ἐπὶ γαῖαν ἔχευε. ἔστι δὲ ὑγρὰ ἡ νεοσκαφὴς γῆ. 1659. Ναὶ πρός σε) λείπει ὁ καὶ, καὶ τῆσδε. ἔασον ταφῆναι, ὦ Κρέον, τὸν Πολυνείκην πρὸς τῆσδε τῆς Ἰοκάστης ἀντιβολῶ σε. 1661. Σὺ δ' ἀλλὰ) ἀλλὰ κἂν λουτρὰ ἄφες με περιβαλεῖν τῷ νεκρῷ. 1662. Τῶν ἀπορρήτων) τῶν ἀπηγορευμένων. Ἀριστοφάνης· καὶ ὃς τἀπόρρητ' ἀπεμέμπει ἐξ Αἰγίνης. Ἄλλως. τῶν ἀπορρήτων πόλει) ἀπὸ τῶν ἀπηγορευμένων πρὸς τὴν πόλιν. Οὐ γὰρ ἡ πόλις ταῦτα ἀπηγόρευσεν, ἀλλ' ὁ Κρέων. εὐλαβεῖσθαι οὖν δεῖ, ἵνα μὴ νοῇς ταῦτα περὶ τῶν ἀπηγορευμένων ὑπὸ τῆς πόλεως, εἰ καὶ ἀνωτέρω λέγει, κἂν ἀπεννέπῃ πόλις· ἐκεῖνο γὰρ ὑποθετικῶς ἡ Ἀντιγόνη λέγει. 1663. Ἀλλ' ἀμφὶ τραύματα) εἰώθασι γὰρ τῶν τραυμάτων ἐπιμελεῖσθαι τῶν νεκρῶν, ὑπὲρ τοῦ αὐτοὺς εὐσχήμονας φαίνεσθαι. τελαμῶνας δὲ τὰ ῥάκη, οὓς φαμὲν ἐπιδέσμους. 1665. Ὦ φίλτατε Πολύνεικες) ἀλλὰ προσπτύξομαι κἂν τὸ στόμα σου, ἐπεὶ οὐ συγχωροῦμαι θάψαι

Ant. Et illud decretum eſt; non eſſe contumeliâ afficiendos mortuos.

Cre. Ut nullus circa corpus ponat mollem pulverem.

Ant. Quin te, Creon, per matrem hanc Iocaſten *obteſtor*.

Cre. Inutilitèr laboras; non enim conſequeris hæc.

Ant. Tu verò ſaltem cadaver aquâ lavare me ſine.

Cre. Unum hoc fuerit prohibitorum urbi.

Ant. Sine ſaltem, ut circa ſæva vulnera faſcias ponam.

Cre. Nullo modo tu iſtum honorabis mortuum.

Ant. O cariſſime frater, ſaltem os tuum labris applicitis exoſculabor.

Cre. Nec compares calamitatem luctu ad nuptias tuas.

Ant. An unquam igitur vivens nubam filio tuo?

Cre. Multa neceſſitas tibi *incumbit:* quomodo enim effugies nuptias?

Ant. Nox igitur illa habebit me Danaidum unam.

Cre. Vidiſtine audaciam, quàm ſuperbè ſit locuta?

Ant. Teſtis ſit ferrum, & gladius adjuratus mihi.

Cre. Quare verò cupis liberari ab his nuptiis?

Ant. Fu-

ΣΧΟΛΙΑ.

θάψαι σε. 1666. Οὐκ εἰς γάμους σούς) οὐκ ὀφείλεις κλαίειν μέλλουσα γαμεῖν. ἢ οὕτως, οὐχὶ κλήσῃ τοῖς γόοις συμφορὰς εἰς γάμους σούς. 1670. Οἷον ἐξωνείδισεν) καυχωμένη εἶπεν, ἐξύβρισεν. ὄνειδος γὰρ, τὸ τούτου υἱὸν ὑπὸ γυναικὸς ἀπολέσθαι. ἢ ἐπὶ τοῦ κλέους εἴληπται, ἀντὶ τοῦ ἐκλέισεν καὶ ἔνδοξον ἐποίησε, μιμήσασθαι φήσασα τὰς Δαναΐδας. τὸ γὰρ ὄνειδος, καὶ ἐπὶ ἀγαθοῦ τάττεσθαι δύναται, καὶ ἡμῖν συνήθως, παρέσονται ὄνειδος τῷ Κρέοντι, εἰ ὁ υἱὸς αὐτοῦ ὑπὸ γυναικὸς ἀπολείπεται.

1674. Γεν-

1657. Κἀκεῖνο κεκύρωται ὑπὸ τῶν θεῶν. 1667. Ἆρα εἰς γάμον ἀφίξομαι; 1668. Ποῖ ἀπελθοῦσα τὸν γάμον ἐκφεύξῃ. 1670. Εἶδες οἵαν τολμηρὰν τὴν καύχησιν ἐκαυχήσατο. Ἀντ. γινωσκέτω τοῦτο ὁ σίδηρος καὶ τὸ ξίφος ὃν ὅρκον ἐγὼ ποιῶ.

Αν. Συμφεύξομαι τῷδ' ἀθλιωτάτῳ πατρί.
Κρ. Γενναιότης σοι, μωρία δ' ἔνεστί τις.
Αν. Καὶ ξυνθανοῦμαί γ', ὡς μάθῃς περαιτέρω.
Κρ. Ἴθ', οὐ φονεύσεις παῖδ' ἐμόν· λίπε χθόνα.
Οἰ. Ὦ θύγατερ, αἰνῶ μέν σε τῆς προθυμίας.
Αν. Ἀλλ' εἰ γαμοίμην, σὺ δὲ μόνος φεύγοις, πάτερ;
Οἰ. Μέν' εὐτυχοῦσα, τἄμ' ἐγὼ στέρξω κακά.
Αν. Καὶ τίς σε τυφλὸν ὄντα θεραπεύσει, πάτερ;
Οἰ. Πεσὼν, ὅπου μοι μοῖρα, κείσομαι πέδῳ.
Αν. Ὁ δ' Οἰδίπους ποῦ, καὶ τὰ κλείν' αἰνίγματα;
Οἰ. Ὄλωλ'· ἓν ἦμάρ μ' ὤλβισ', ἓν δ' ἀπώλεσεν.
Αν. Οὔκουν μετασχεῖν κἀμὲ δεῖ τῶν σῶν κακῶν;
Οἰ. Αἰσχρὰ φυγὴ θυγατρὶ σὺν τυφλῷ πατρί.
Αν. Οὐ σωφρονούσῃ γ', ἀλλὰ γενναίᾳ, πάτερ.
Οἰ. Προσάγαγέ νῦν με, μητρὸς ὡς ψαύσω σέθεν.
Αν. Ἰδοὺ, γεραιᾶς φιλτάτης ψαῦσον χερί.
Οἰ. Ὦ μᾶτερ, ὦ ξυνάορ' ἀθλιωτάτη.

Αν. Οἰκ-

ΣΧΟΛΙΑ.

1674. Γενναιότης σοὶ) εὐγένεια, ἀντὶ τοῦ γενναίως μὲν πράττεις, μωρῶς δὲ, ἢ ὁ δὲ ἀντὶ τοῦ καί. τουτέστιν, εὐγένεια καὶ μωρία ἔνεστί σοι. 1675. Καὶ ξυνθανοῦμαι) συναποθνήσκω φησὶν αὐτῷ, ἵνα πλέον τι μαθήσῃ. 1678. Ἀλλ' εἰ γαμοίμην) ἠθικῶς τοῦτο προσενεκτέον, καὶ δεῖ συνυπακούειν τὸ καλῶς δ' ἂν ἔχῃ, εἰ ἐγὼ γαμοίμην, καὶ σὺ μόνος φεύγεις, πάτερ; συναπτέον δὲ τὸ ἀλλ' εἰ γαμοίμην, τίς σε τυφλὸν ὄντα κυβερνήσει; 1681. Πεσὼν) πεσὼν κείσομαι ἐν ἐκείνῳ τῷ τόπῳ, ὅπου μοι μοῖρα. 1682. Καὶ τὰ κλεινὰ) οἱ ἀσαφεῖς λόγοι που εἰσί; 1683. Ἓν ἦμαρ) γράφεται ἓν ἦμάρ μ' ὤλβισεν, ἤδη ἀπώλεσεν. τὸ δὲ ἤδη ἀντὶ τοῦ καί. ἤτοι ἓν ἦμάρ μοι ὤλβισε καὶ ἀπώλεσε. ποῖον δέ ἐστι; καθὸ ὄλβιος καὶ δυστυχὴς, ὅτε τὸ αἴνιγμα τῆς Σφιγγὸς ἔλυσε. κατὰ γὰρ τὴν αὐτὴν ἡμέραν, καὶ ἔγημε τὴν μητέρα, καὶ τῆς ἀρχῆς ἀντελάβετο. τὸ μὲν οὖν εὐτύχημα, τὸ λῦσαι τὸ αἴνιγμα, καὶ βασιλεῦσαι. δυστύχημα δὲ, τὸ γῆμαι τὴν μητέρα, παρὰ τὸν τῆς φύσεως θεσμόν. 1685. Αἰσχρὰ φυγὴ) τὸ οὐ συναπτέον πρὸς τὸ αἰσχρὰ, τουτέστιν οὐκ αἰσχρά. οὐ τηρεῖ τὸ σύμφωνον, ἀλλὰ καθ'

δρᾶμα

Ant. Fugiam unà cum miserrimo hoc patre.

Cre. Generosus animus, & præterea stultitia quædam inest tibi.

Ant. Etiam unà moriar, ut scias ampliús.

Cre. Vade; non occides filium meum: linq; terram.

Oed. O filia, audo quidem te propter tuam promptitudinem.

Ant. Sed si nuberem, & tu solus fugeres, pater?

Oed. Mane felix, ego mea feram mala.

Ant. Quis verò te cæcum curabit, pater?

Oed. Cadens, ubicunque mihi fatum est, jacebo in campo.

Ant. Ubi nunc est Oedipus ille, & inclyta ænigmata?

Oed. Periît: una dies me beavit, & una me perdidit.

Ant. Non igitur decet & me participem fieri tuorum malorum?

Oed. Turpe est exilium filiæ cum cæco patre.

Ant. Modestæ quidem, pater, non *turpe*, & generosi animi *puellæ*.

Oed. Adducito igitur me, ut attingam matrem tuam.

Ant. Ecce; tange manu carissimam anum.

Oed. O mater, ô conjunx miserrima. 1689

Ant. Mise-

ΣΧΟΛΙΑ.

δράματος ὑποτίθη). πῶς γὰρ θάψει Πολυνείκην, αὐτὴ συμφεύγουσα τῷ πατρί; πλεονάζει δὲ τούτῳ τῷ εἴδει Εὐριπίδης. 1687. Προσάγαγέ με, ἵνα ψαύσω τῆς μητρὸς (σου) ἰδοὺ ψαῦσον διὰ τῆς χειρὸς, τῆς φιλτάτης γεραιᾶς. ὦ μῆτερ καὶ γυνή μου ἀθλιωτάτη. ἐλεεινὴ πρόκειται, ὁμοῦ πάντ' ἔχουσα τὰ κακά. ποῦ δὲ τὸ πτῶμα τοῦ Πολυνείκους καὶ τοῦ Ἐτεοκλέους ἐστίν; οὗτοι ἐξηπλωμένοι κεῖνται πλησίον ἀλλήλων. ὦ προσφιλῆ πτώματα ἄθλια πατρὸς ταλαιπώρου καὶ ἀθλίου. νῦν, ὦ θύγατερ, ἡ τοῦ Ἀπόλλωνος τελειοῦται μαντεία. ποῖος χρησμὸς, ἆρα πρὸς τοῖς κακοῖς λέξεις κακά;

1698. Ὁ

1673. Συμφεύξομαι. συνεξορισθήσομαι. 1682. Τόδε κλέος τοῦ Οἰδίποδος ποῦ ἐστι;

Αν. Οἰκτρὰ προχεῖλαι, πάντ' ἔχουσ' ὁμοῦ κακά.
Οἰ. Ἐτεοκλέους δὲ πτῶμα, Πολυνείκους τε ποῦ;
Αν. Τώδ' ἐκτάδην σοι κεῖσθον ἀλλήλοιν πέλας.
Οἰ. Πρόσθες τυφλὴν χέρ' ἐπὶ πρόσωπα δυστυχῆ.
Αν. Ἰδού, θανόντων σῶν τέκνων ἅπτου χερί.
Οἰ. Ὦ φίλα πεσήματ' ἄθλι' ἀθλίου πατρός.
Αν. Ὦ φίλτατον δῆτ' ὄνομα Πολυνείκους ἐμοί.
Οἰ. Νῦν χρησμὸς, ὦ παῖ, Λοξίου περαίνεται.
Αν. Ὁ ποῖος; ἀλλ' ἢ πρὸς κακοῖς ἐρεῖς κακά;
Οἰ. Ἐν ταῖς Ἀθήναις κατθανεῖν μ' ἀλώμενον.
Αν. Ποῦ; τίς σε πύργος Ἀτθίδος προσδέξεται;
Οἰ. Ἱερὸς Κολωνὸς, δώμαθ' ἱππείου θεοῦ.
Ἀλλ' εἶα, τυφλῷ τῷδ' ὑπηρέτει πατρὶ,
Ἐπεὶ προθυμῇ τῆσδε κοινοῦσθαι φυγῆς.

ΜΟΝΟΣΤΡΟΦΙΚΑ.

Αν. Ἴθ' εἰς φυγὰν τάλαιναν· ὄρεγε χεῖρα φίλαν
Πάτερ γεραιὲ, πομπίμαν
Ἔχων ἔμ', ὥστε ναυσίπομπον αὔραν.
Οἰ. Ἰδοὺ πορεύομαι, τέκνον· σύ μοι ποδαγὸς ἀθλία γενοῦ.
Αν. Γενόμεθα, γενόμεθ' ἄθλιαί γε

Δῆτα

ΣΧΟΛΙΑ.

1698. Ὁ ποῖος) ἄρθρον ἐνταῦθα τὸ ὁ, καθὸ λέγεται καὶ ἐπὶ οὐδετέρου ποῖον. Ἀλλ' ἢ) τὸ ἢ ἀντὶ τοῦ ἄρα, ὁ δὲ ἀλλὰ ἀντὶ τοῦ δέ. ὁ δὲ λόγος κατ' ἐρώτησιν, ἄρα δὴ πρὸς τοῖς οὖσι κακοῖς, ἄλλα κακὰ ἐρεῖς; Ὁ χρησμὸς ὁ λέγων—Ἐν ταῖς Ἀθήναις κατθ. 1700. Τίς σε πύργος) ἀντὶ τοῦ πόλις, τετράπολις γὰρ ἡ Ἀττική. 1701. Ἱερὸς Κολωνὸς) δέξεται, με δηλονότι. ἔστι δὲ ἀκρωτήριον τῆς Ἀττικῆς, ἔστι καὶ ἕτερος κολωνὸς ἐργάτης. ἵππειον δὲ θεὸν τὸν Ποσειδῶνα λέγει. Δώμαθ' ἱππείου) διχῶς λέγεται, καὶ πληθυντικῶς, καὶ ἑνικῶς. περὶ δὲ τοῦ ἐν τῷ ἱππείῳ Κολωνῷ ταφῆναι τὸν Οἰδίποδα, ἐν ἄλλοις ἐξειργασά-

Ant. Miseranda jacet, habens simul omnia mala.
Oed. Ubi verò est cadaver Eteoclis & Polynicis?
Ant. Illi duo porrectim tibi jacent juxta se invicem.
Oed. Appone cæcam manum super vultus infelices.
Ant. Ecce, tange manu tuos mortuos liberos.
Oed. O cara cadavera, *&* misera miseri patris.
Ant. O carissimum quidem nomen Polynicis mihi.
Oed. Nunc oraculum Apollinis, ô filia, perficitur.
Ant. Quodnam? dices alia mala præter hæc?
Oed. Me Athenis moriturum esse exulem.
Ant. Ubinam? quænam te turris Attica recipiet?
Oed. Sacer Colonus, domus equestris dei.
Sed age, servito huic cæco patri,
Siquidem cupis esse socia hujus exilii.

MONOSTROPHICA.

Ant. Vade in exilium miserum: præbe caram manum,
O pater senex, comitem
Me habens, sicut secundum ventum comitantem naves.
Oed. Ecce vado, Filia: tu sis mea dux misera.
Ant. Sumus, sumus miserrimæ utique

Inter

ΣΧΟΛΙΑ.

γαστέμεθα ἀκριβῶς. ἀλλ' ἄγε ὑπηρέτει τῷδε τῷ τυφλῷ πατρὶ, ἐπεὶ πρόθυμος εἶ κοινωνεῖν μου τῆς ἐξορίας. 1704. Ἴθ' εἰς φυγάν) διὰ μὲν τοῦ Ἐγὼ σφε θάψω, κἂν ἀπεννέπῃ πόλις, περιμάζει τῆς Σοφοκλέους Ἀντιγόνης παρέχει. διὰ δὲ τοῦ φεύγειν, τοῦ ἐπὶ Κολωνῷ Οἰδίποδι. 1706. Ναυσίπομπον) ἄπιθι, ὦ πάτερ γηραιὲ εἰς φυγὴν τάλαιναν, πάρεχε, δίδου χεῖρα προσφιλῆ, ἔχων ἐμὲ πομπίμην καὶ ὁδηγὸν καθὰ πνοὴν ναυσίπομπον, ἤτοι τὴν τὰς ναῦς διαπέμπουσαν. 1707. Ποδηγὸς) ὁδηγὸς ποδῶν. 1708. Γεγόναμεθα) Ἀθλικὸν δὲ τὸ μετὰ τοῦ σ, τῶν Θηβαίων παρθένων ἀθλιώταται τυγχάνομεν.

1710. Πόθι

1693. Τυφλὼν) τὴν ἐστερημένην ὁδηγίας οἰκείων ὀφθαλμῶν.

Δῆτα Θηβαιᾶν μάλιστα παρθένων δή.
Οἰ. Πόθι γεραιὸν ἴχνος τίθημι;
Βάκτρα πρόσφερ', ὦ τέκνον.
Αν. Τᾷδε τᾷδε βᾶθί μοι, τᾷδε τᾷδε
Πόδα τίθει, πάτερ, ὥστ' ὄνειρον ἰσχὺν ἔχων.
Οἰ. Ἰὼ ἰὼ δυστυχεστάτας φυγάς.
Ἐλαύνει τὸν γέροντά μ' ἐκ πάτρας.
Ἰὼ, ἰὼ, δεινὰ δείν' ἐγὼ τλάς.
Αν. Τί τλᾶς; τί τλᾶς; Οὐχ ὁρᾷ Δίκα κακοὺς,
« Οὐδ' ἀμείβεται βροτῶν ἀσυνεσίας.
Οἰ. Ὅδ' εἰμὶ, μοῦσαν ὅς γ' ἐπὶ
Καλλίνικόν τ' οὐράνιόν τ' ἔβαν,
Παρθένου κόρας αἴνιγμ' ἀσύνετον εὑρών.
Αν. Σφιγγὸς ἀναφέρεις ὄνειδος;
Ἄπαγε τὰ πάρος εὐτυχήματ' αὐδῶν.
Τάδε σ' ἐπέμενε μέλεα πάθεα,
Φυγάδα πατρίδος ἀπο γενόμενον,
Ὦ πάτερ, θανεῖν που. Ποθεινὰ δάκρυα

Παρὰ

ΣΧΟΛΙΑ.

1710. Πόθι γεραιὸν) ὅπου φησὶ μέλλω τὸ ἴχνος τιθέναι, ἐπεὶ χειραγωγεῖ με. 1711. Βάκτρα δὲ) τὴν ὁδηγίαν. 1712. Τᾷδε τᾷδε) ὧδε πορεύθητι ὑπ' ἐμοῦ, τῇδε τῇδε τίθει, ὦ πάτερ, τὸν πόδα, ἔχων ἰσχὺν, ὥστε ὄνειρον, σαθρὰν καὶ ἀνυπόστατον. 1713. Ὡς ὄνειρον) ὀνείρῳ τὴν ἰσχὺν εἴκελον ἔχων. 1714. Ἰὼ ἰὼ) ἕνεκα τῆς δυστυχεστάτης φυγῆς καὶ ἐξορίας, ὦ Κρέον, δηλονότι ὁ ἐλαύνων καὶ διώκων τὸν γέροντα ἐμὲ δηλονότι ἐκ τῆς πατρίδος, ἰὼ ἐγὼ ὁ τλὰς καὶ ὑπομείνας δεινὰ καὶ χαλεπά. 1715. Ἐλαύνει) λείπει τὸ, ὁ Κρέων: φεῦ φεῦ ἐγὼ ὁ ὑπομείνας χαλεπά. τί τλᾷς, τί φησιν ἀεὶ λέγεις, ὅτι δεινὰ τλᾷς; εἰ γὰρ καὶ συνεχῶς αὐτὸ λέγεις, ὅμως ἡ δίκη τοὺς κακοὺς οὐχ ὁρᾷ, οὐδὲ μετέρχεται αὐτῶν τὰς ἀσελγείας καὶ ἀσυνεσίας. 1719. Μοῦσαν οὐράνιον φησὶ, τὴν μεγάλην καὶ περίβλεπτον σοφίαν. Ὅδ' εἰμὶ) ἐγώ εἰμι φησὶν, ὃς ἔδοξα πάντας ὑπερβεβηκέναι σοφίᾳ, λύσας τὸ αἴνιγμα. Ὅδ' εἰμὶ) ἐγώ εἰμι, ὃς ἦλθον ἐπὶ μοῦσαν καὶ σοφίαν μεγάλην, καλλίνικον καὶ νικηφόρον εὑρὼν τὸ αἴνιγμα τῆς παρθένου κόρης, ἤγουν τῆς Σφιγγὸς τὸ ἀσύνετον καὶ δυσνόητον.

1722. Σφιγ-

Inter omnes Thebanas virgines.
Oed. Ubi ponam senile vestigium *pedis?*
Porrige *mihi* baculum, filia.
Ant. Huc huc vade mihi, huc huc
Pone pedem, ô Pater, habens vires sicut somnium.
Oed. O fugam miserrimam,
Ejicit *Creon* senem me ex patriâ.
Heu, ego atrocia, atrocia passus. [stitia malos,
Ant. Quid sustines, quid pateris? non aspicit Ju-
" Neque *pœnis* compensat mortalium impruden-
Oed. Ego sum is qui ad Musam [tiam.
Victricem & cælestem veni,
Cum solvissem obscurum ænigma virginis
Ant. *Quid* Sphingis refers gloriam? [Sphingis.
Desine pristinam felicitatem narrare.
Hæ expectabant te miseræ calamitates,
Exulem *nempe* ex patriâ factum,
O pater, moriturum *te* alicubi. Desiderabiles
lacrymas Apud

ΣΧΟΛΙΑ.

1722. Σφιγγὸς) τὸ ὄνειδος, ἀντὶ τοῦ τὸ κλέος, τῆς Σφιγγὸς ἀναφέρεις καὶ ἀναμιμνήσκεις, οὐχ ὃ εἶχεν ἡ Σφίγξ, ἀλλ᾽ ὃ ἔλαβεν αὐτὸς διὰ τὴν Σφίγγα. ἄπαγε σεαυτὸν δηλονότι αὐδῶν καὶ λέγων τὰ πάρος καὶ τὰ πρότερον εὐτυχήματα, τάδε τὰ μέλεα καὶ ἄθλια πάθη ἐπέμενεν, ἤτοι ἐξεδέχετο γενόμενον σὲ φυγάδα καὶ ἐξόριστον. θανεῖν, ὦ πάτερ, μακρὰν τῆς πατρίδος πού, ἤτοι ἔν τινι τόπῳ. ποθεινὰ δάκρυα λιποῦσα παρὰ παρθένοις φίλαις, ἄπειμι καὶ ἀπέρχομαι ἀπόπρο, ἤτοι λίαν μακρὰν τῆς πατρίδος γαίης, ἀλωμένη ἀντὶ τοῦ πλανηθησομένη, ἀπαρθένευτα καὶ πολυπαρθένευτα, ἤτοι ἐπιπολὺ παρθενεύουσα. Ἀναφέρεις) ἀναπολεῖς. κατ᾽ ἐρώτησιν δὲ ὁ λόγος, καὶ νῦν δὲ τὸ ὄνειδος ἐπὶ τοῦ κλέους ἐστίν. 1723. Ἄπαγε τὰ) διὰ τὸ μνήμην ποιήσασθαι τῆς κατὰ τὴν Σφίγγα σοφίας, ἐπῆγε. φησὶ τοῦτον τὸν λόγον· βέλτιον γάρ φησι παρελθούσης ὁμιλίας μνημονεύειν, ἐπεὶ πλείων ἡ λύπη γίνεται. ἄπαγε οὖν, πέπαυσο, καὶ παράλιπε τὰ εὐτυχήματα, δυστυχημάτων παρόντων. 1726. Ποθεινὰ) ποθεινοποιὰ καταλιποῦσα δάκρυα ταῖς παρθένοις, ἔξειμι, ἅπερ ἐδάκρυσα μετ᾽ αὐτῶν, ἀφ᾽ ὧν δακρύων εἰς πόθον καὶ εἰς μνή-

1718. Ἀσυνεσίας. κακογνωμοσύνας βροτῶν κακῶν διανοίᾳ.

Παρὰ φίλαισι παρθένοις λιποῦσ' ἄπειμι
Πατρίδος ἀπόπρο γαίας,
Ἀπαρθένευτ' ἀλωμένα.
Οἰ. Φεῦ τὸ χρήσιμον φρενῶν.
Αν. Εἰς πατρός γε συμφορὰς εὐκλεᾶ με θήσει.
Τάλαιν' ἐγώ γε συγγόνου θ' ὑβρισμάτων,
Ὃς ἐκ δόμων, ἄθαπτος οἴχεται νέκυς,
Μέλεος· Ὃν, εἴ με καὶ θανεῖν, πάτερ, χρεὼν,
Σκοτία γᾷ καλύψω.
Οἰ. Πρὸς ἥλικας φάνηθι σάς.
Αν. Ἅλις ἔχουσι ὀδυρμάτων ἐμῶν.
Οἰ. Σὺ δ' ἀμφὶ βωμίους λιτάς.
Αν. Κόρους ἔχουσ' ἐμῶν κακῶν.
Οἰ. Ἴθ' ἀλλὰ Βρόμιος ἵνα τε ση-
κὸς ἄβατος ὄρεσι Μαινάδων.
Αν. Καδμείαν ᾧ νεβρίδα
Στολιδωσαμένα ποτ' ἐγὼ Σεμέ-

ΣΧΟΛΙΑ.

μην ἤξουσί μου μετὰ παίδων. Ἄλλως. Ἀντὶ τοῦ δακρύσασα μετὰ τῶν παρθένων, ἔξειμι τῆς πόλεως. 1729. Ἀπαρθένευτα) ἀντὶ τοῦ κακοπαρθενεύτως, παρθένου ἀναξίως, πλανωμένη. 1730. Φεῦ τὸ χρήσιμον) τινὲς καὶ τοῦτο τῆς Ἀντιγόνης λέγουσι. Φεῦ θαυμαστικόν. τὸ χρήσιμον τῶν φρενῶν ἡλίκον ἐστὶ δηλονότι, ἤτοι μέγα. 1731. Εἰς πατρός γε συμφορὰς) δυστυχὴς ἐγώ φησιν, ὅτι ἐν καιρῷ συμφορᾶς τοῦ πατρὸς δόξαν ἀποίσομαι, ὡς φρονίμη καὶ συνετή. συνετῆς γὰρ τὸ καὶ δυστυχοῦντι τῷ πατρὶ αἱρεῖσθαι συνεῖναι, ὥσπερ ἔλεγχον ἐθελόμενον τὸ συνετόν μου τῶν φρενῶν ἐν εὐτυχίας καιρῷ ἐπιδείξασθαι. Ἄλλως. Εἰς τὰς συμφορὰς τοῦ πατρὸς ποιήσει ἐμὲ τὸ χρήσιμον τῶν φρενῶν εὐκλεᾶ καὶ ἔνδοξον. 1732. Τάλαινα δὲ ἔτι ἐγὼ καὶ ἕνεκα τῶν ὑβρισμάτων τοῦ ἀδελφοῦ, ὃς οἴχεται ἐκ τῶν δόμων, ἤτοι ἐξερρίφη ἄθαπτος, μέλεος, ὃν, εἰ καὶ ἀποκείμενόν ἐστι θανεῖν ἐμὲ, ὦ πάτερ, καλύψω γῇ σκοτίᾳ, ἤτοι τάφῳ. Τάλαινα ἐγὼ) ἀθλία εἰμὶ ἕνεκα τῶν σῶν κακῶν, καὶ τῶν τοῦ ἀδελφοῦ Πολυνείκους ὕβρεων. 1736. Πρὸς ἥλικας) Δίδυμος φησὶ συμβουλεύσει αὐτῇ τοῦτο ποιῆσαι, ἵνα ἐρανίσωσιν αὐτήν. οὐδὲν γὰρ λαμβάνειν ἐξιόντες ἐφόδιον, ἢ ἵνα συμπαίξηται αὐταῖς. 1737. Ἅλις ὀδυρμάτων ἐμῶν) ἀρκούντως

Apud amicas virgines relinquens, diſcedo,
Procul à patriâ terrâ,
Non more virginum errans.
Oed. O mentem generoſam!
Ant. In patris calamitate nobilem me faciet.
Miſera verò ego etiam propter fratris contumelias; [ædes,
Qui mortuus periît inſepultus extra *paternas*
Miſer: Quem, etiamſi me mori oporteat, pater,
Nigrâ terrâ tegam.
Oed. Vade ad tuas ſodales.
Ant. Gemitus noſtros *hauſere* ſatis.
Oed. Tu verò *abi, ut concipias* preces ad aras.
Ant. Habent ſaturitatem meorum malorum.
Oed. Vade ſaltem, ubi eſt templum Bromii
Inacceſſum *profanis*, in montibus Mænadum.
Ant. *Fuit* heu *cùm* Thebanam cervi pellem
Induta ego quondam, In

ΣΧΟΛΙΑ.

κούντως ὠδύραντο τὴν ἐμὴν δυστυχίαν αἱ ὁμήλικες, ἡ αὐτάρκεια μοι τῶν θρήνων ἐστί. Ἅλις ὀδυρμάτων) ἀρκούντως ἔχει τὸ πρᾶγμα ἐμοί, ἕνεκα τῶν ὀδυρμάτων. 1738. Σὺ δ' ἀμφὶ βωμίους) ἀπὸ κοινοῦ τὸ φάνηθι, ἵνα ἱκετεύσῃς τοὺς θεοὺς λῆξιν δοῦναι τῶν κακῶν, καὶ εὐμενεῖς πρὸς τὰ λοιπὰ γενέσθαι, παραπέμψαντας ἡμᾶς εἰς Ἀθήνας. Σὺ δὲ ἄπελθε ἀμφὶ τὰς βωμίους λιτάς, ἤτοι εἰς τὰς λιτὰς τῶν βωμῶν, τουτέστιν εἰς τὸ προσεύξασθαι ἐν τοῖς βωμοῖς. 1739. Κόρον) ἔχουσιν οἱ βωμοὶ δηλονότι τῶν ἐμῶν κακῶν. 1740. Ἵνα τι σηκὸς) ὁ τάφος τῆς Σεμέλης, ὅπου ἐστὶν ἐν Κιθαιρῶνι. σηκὸς δέ, ὁ ναός. ἄβατος δέ, δηλονότι τοῖς βεβήλοις, τοῖς τὰ Διονυσιακὰ μὴ γινώσκουσι μυστήρια. ἐπὶ γοῦν τὸν Βρόμιον φησὶν ἴθι. ἄδηλον δὲ πρὸς τί ποτε φησὶν αὐτὴν τοὺς θεοὺς ἀξιοῦν, καὶ μάλιστα τὸν Διόνυσον· ὁ δὲ χορὸς ἀσυμπαθής, παρθένον οὕτως ἀτυχῶς φεύγουσαν μὴ οἰκτιζόμενος. 1742. Καδμείαν) εἰς τὸν ναὸν ἀπελεύσομαι δηλονότι ἐκείνου, ᾧ ἀντὶ τοῦ, οὗ χάριν, ποτὲ ἐγὼ Καδμείαν, ἤτοι Θηβαϊκὴν νεβρίδα στολισαμένη, καὶ ἐνδυσαμένη, ἀνεχόρευσα κατὰ τῶν ἐν ὄρεσιν θίασον καὶ χορὸν τῆς Σεμέλης χάριν διδοῦσα εἰς θεοὺς ἀχάριστον, ἤτοι ἀντίχαριν μὴ ἔχουσαν. Καδμείαν) ἀντὶ τοῦ ἐπιχωρίαν, καὶ ἣν εἰθίσμεθα ἡμεῖς οἱ Θηβαῖοι φορεῖν. Ἄλλως. τούτῳ κελεύεις χορεῦσαι, ᾧ ποτε ἀνεχόρευσα ἐγὼ Καδμείαν νεβρίδα λυσαμένη κατὰ τῶν ἐν

Σεμέλας θίασον ἱερὸν ὄρεσ' ἀνεχόρευσα,
Χάριν ἀχάριν εἰς θεοὺς διδοῦσα.

Τροχαῖοι.

Οἰ. Ὦ πάτρας κλεινοὶ πολῖται, λεύσσετ' Οἰδίπους ὅδε,
Ὃς τὰ κλείν' αἰνίγματ' ἔγνω, καὶ μέγιστος ἦν ἀνήρ.
Ὃς μόνος Σφιγγὸς κατέσχον τῆς μιαιφόνου κράτη.
Νῦν ἄτιμος, οἰκτρὸς, αὐτὸς ἐξελαύνομαι χθονός.
Ἀλλὰ γὰρ τί ταῦτα θρηνῶ, καὶ μάτην ὀδύρομαι;
" Τὰς γὰρ ἐκ θεῶν ἀνάγκας θνητὸν ὄντα δεῖ φέρειν.
Χο. Ὦ μέγα σεμνὰ Νίκα, τὸν ἐμὸν
Βίοτον κατέχοις,
Καὶ μὴ λήγοις στεφανοῦσα.

Εὐριπίδου Φοινισσῶν Τέλος.

ΣΧΟΛΙΑ.

ὄρεσι θίασον τῆς Σεμέλης. ἀλλ' ὅμως χάριν οὐκ ἐδεξάμην, ἀνθ' ὧν ἐχόρευσα. πῶς οὖν με κελεύεις καὶ νῦν αὐτοὺς χορεῦσαι τοὺς ἅπαξ καταφρονήσαντάς μου, ἧς χάριν ἀμοιβὴν παρὰ τῶν θεῶν οὐκ ἔχον, ἀλλ' ἐπὶ τοῦ Οἰδίποδος τοιαῦτα πέπονθα. 1746. Ὦ πάτρας κλεινῆς) ὦ πολῖται τῆς κλεινῆς πατρίδος, βλέπετε. ὅδε ὁ Οἰδίπους, ὃς ἐνόησε τὰ κλεινὰ αἰνίγματα, καὶ ἦν ἀνὴρ μέγιστος· ὃς μόνος κατέσχον τὰ κράτη, καὶ τὰς νίκας τῆς μιαιφόνου Σφιγγὸς, νῦν αὐτὸς ἄτιμος οἰκτρὸς ἐξελαύνομαι, καὶ ἀποδιώκομαι τῆς χθονός. ἀλλὰ διατί ὀδύρομαι ταῦτα ματαίως; τὰς γὰρ ἐκ θεῶν ἀνάγκας, ἤτοι τὰς ἀναγκαίας συμφορὰς, δεῖ φέρειν καὶ ὑπομένειν ὄντα θνητόν. 1747. Ἦν) ἤμην. ὑπῆρχον. 1748. Ὃς μόνος Σφιγγὸς) ἱστορεῖ Πείσανδρος, ὅτι κατὰ χόλον τῆς Ἥρας ἐπέμφθη ἡ Σφίγξ τοῖς Θηβαίοις ἀπὸ τῶν ἐσχάτων μερῶν τῆς Αἰθιοπίας, ὅτι τὸν Λάϊον ἀσεβήσαντα εἰς τὸν παράνομον ἔρωτα τοῦ Χρυσίππου, ὃν ἥρπασεν ἀπὸ τῆς Πίσης, οὐκ ἐτιμωρήσαντο. ἦν δὲ ἡ σφίγξ, ὥσπερ γράφεται, τὴν οὐρὰν ἔχουσα δρακοντώδη. ἀναρπάζουσα δὲ μικροὺς καὶ μεγάλους κατήσθιεν, ἐν οἷς καὶ Αἵμονα τὸν Κρέοντος παῖδα, καὶ Ἵππιον τοῦ Εὐρυνόμου τοῦ τοῖς Κενταύροις μαχεσαμένου. ἦσαν δὲ Εὐρυνόμος καὶ Ἠϊονεὺς, υἱοὶ Μάγνητος τοῦ Αἰολίδου καὶ Φιλοδίκης. ὁ μὲν οὖν Ἵππιος, καὶ ξένος ὢν, ὑπὸ τῆς Σφιγγὸς ἀνῃρέθη. ὁ δὲ Ἠϊονεὺς ὑπὸ τοῦ Οἰνομάου, ὃν τρόπον καὶ οἱ ἄλλοι μνηστῆρες. πρῶτος δὲ ὁ Λάϊος τὸν ἀθέμιστον ἔρωτα τοῦτον ἔσχεν. ὁ δὲ Χρύσιππος

ὑπὸ

In montibus, Semeles saltavi sacrum tripudium,
Beneficium ingratum in Deos conferens.

Oedipus.

O patriæ inclyti cives videte, *sum* Oedipus ille,
Qui solvit inclyta ænigmata & vir fuit maximus:
Qui solus compescui tyrannidem Sphingis cruentæ.
Nunc ignominiâ affectus, miser, expellor ex [hâc terrâ.
Sed quid hæc gemo, & frustrà deploro?
" Fatales enim casus oportet ferre mortalem.

Cho. O valde clara Victoria, meam
Vitam teneas, *me*
Nec *unquam* cesses coronare.

Eurip. Phœniss. Finis.

ΣΧΟΛΙΑ.

ὑπ' αἰσχύνης ἑαυτὸν διεχρήσατο τῷ ξίφει. τότε μὲν οὖν ὁ Τειρεσίας, ὡς μάντις, ἰδὼν ὅτι θεοστυγὴς ἦν ὁ Λάϊος, ἀπέτρεπεν αὐτὸν τῆς ἐπὶ τὸν Ἀπόλλωνα ὁδοῦ· τῇ δὲ Ἥρᾳ μᾶλλον τῇ γαμοστόλῳ θεᾷ θύειν ἱερά. ὁ δὲ αὐτὸν ἐξεφαύλιζεν. ἀπελθὼν τοίνυν ἐφονεύθη ἐν τῇ σχιστῇ ὁδῷ αὐτὸς καὶ ὁ ἡνίοχος αὐτοῦ, ἐπειδὴ ἔτυψε τῇ μάστιγι τὸν Οἰδίποδα. κτείνας δὲ αὐτοὺς ἔθαψε παραυτίκα σὺν τοῖς ἱματίοις, ἀποσπάσας τὸν ζωστῆρα καὶ τὸ ξίφος τοῦ Λαΐου καὶ φορῶν. τὸ δὲ ἅρμα ὑποστρέψας ἔδωκε τῷ Πολύβῳ, εἶτα ἔγημε τὴν μητέρα λύσας τὸ αἴνιγμα. μετὰ ταῦτα δὲ θυσίας τινὰς τελέσας ἐν τῷ Κιθαιρῶνι, κατήρχετο ἔχων καὶ τὴν Ἰοκάστην σὺν τοῖς ὀχήμασι. καὶ γενομένων αὐτῶν περὶ τὸν τόπον ἐκεῖνον τῆς σχιστῆς ὁδοῦ, ὑπομνηθεὶς ἐδείκνυε τῇ Ἰοκάστῃ τὸν τόπον, καὶ τὸ πρᾶγμα διηγήσατο, καὶ τὸν ζωστῆρα ἔδειξεν. ἡ δὲ δεινῶς φέρουσα, ὅμως ἐσιώπα· ἠγνόει γὰρ υἱὸν ὄντα. καὶ μετὰ ταῦτα ἦλθέ τις γέρων ἱπποβουκόλος ἀπὸ Σικυῶνος, ὃς εἶπεν αὐτῷ τὸ πᾶν, ὅπως τε αὐτὸν εὗρε, καὶ ἀνείλετο, καὶ τῇ Μερόπῃ δέδωκε, καὶ ἅμα τὰ σπάργανα αὐτῷ ἐδείκνυε, καὶ τὰ κέντρα. ἀπήτει τε αὐτὸν τὰ ζωάγρια, καὶ οὕτως ἐγνώσθη τὸ ὅλον. φασὶ δὲ, ὅτι μετὰ τὸν θάνατον τῆς Ἰοκάστης, καὶ τὴν αὐτοῦ τύφλωσιν, ἔγημεν Εὐρυγάνην παρθένον, ἐξ ἧς αὐτῷ γεγόνασι τέσσαρες παῖδες. ταῦτα φησὶ Πείσανδρος. κατέχον δὲ, ἀντὶ τοῦ ἐνίκησα, ἢ ἔγνων. Μιαιφόνου) κάρα γὰρ καὶ κράτη τὰ σοφίσματα, δι' ὧν ἐκράτει τῆς πόλεως. Κατέχον) ἀντὶ τοῦ ἐνίκησα, ἢ ἔγνων. 1752. Ὦ μέγα σεμνὴ) ὦ νίκη μεγάλως σεμνὴ, εἴθε κατέχοις τὸν ἐμὸν βίοτον, καὶ τὴν ἐμὴν ζωὴν, καὶ μὴ λήγοις καὶ παύσαιο στεφανοῦσα καὶ τιμῶσα ἐμὲ δηλονότι.

NOTÆ in MEDÆAM.

v. 21. Δεξιὰς, fœdera significat, συνθήκας. Δεξιαῖς πεποιθὼς λέγει Ὅμηρος, ἐπειδὴ ἐν τοῖς ὅρκοις οὐδὲν ἔλαττον εἰς πίστιν ἐλογίζετο, καὶ τὸ τῶν δεξιῶν χειρῶν ἅπτεσθαι.

415. Clarius & ad mentem Scholiastis Buchanan.

Audiet ex hoc muliebre bene
Genus, accrescet gloria nobis.

427. Ἔτι δὲ καὶ τὸ ὑμνεῖν φαύλως ἐκλαμβανομένῳ ποτὲ, κατὰ βαρεῖαν ἀντίφρασιν. Εὐριπίδης· Τὴν ἐμὴν ὑμνοῦσαι ἀπιστοσύνην ἤγουν κακολογοῦσαι· καὶ ἐπεὶ ἀντηχήσουσιν ὕμνοι, οἱ κατὰ τῶν ἀῤῥένων ὕβρεις δηλαδή. Eustath. in Iliad ζ: ad quem locum H. Steph. erraſſe Eustathium rectè monet quod per Antiphraſin hoc dictum eſſe adnotavit, quum ὕμνος ſit potius verbum medium. Atque ita Sophocl. & Æſchyl. uſurparunt. H. Steph. obſervat. in Schol. Æſchyl. ubi notand. Eustathium legere ἀντηχήσουσι in Plur. num.

600. Μεμπτὸς ἦ, ſequor emendantem Grotium, pro μὴ πύξῃ, Not. in Excerpt. è Tragœd. & Comœd. Græc. pag. 953.

1049. Καίτοι, hic ſignificat, quum videlicet aliquis, ubi ſe hoc vel illud facturum dixit, ſtatim mutato conſilio aliud potius facere in mentem inducit. *H. Steph.*

1173, & 1176. Ὀλολυγὴν τὴν τῶν γυναικῶν εὐχὴν καλεῖ ὁ Ποιητὴς, καὶ τὸ σὺν οἰκτῳ αὐταῖς εὔχεσθαι, ὀλολύζειν φησίν. & ὀλολυγμὸς in bonam partem accipitur. ἀνωλόλυξα μὲν πάλαι χαρᾶς ὕπο. Æſchyl. Agamemn. v. 596.

Schol. v. 1182, & 1245. Βαλβὶς, ἀπὸ μεταφορᾶς τῶν σταδιοδρομούντων. βαλβὶς γάρ ἐστιν ἀφετηρία, γραμμὴ δὲ, ἐφ' ἧς εἰστήκεισαν, ἕως ἂν ἀποσημανθῇ ὁ δρόμος αὐτῶν. Ariſtoph. Schol. in Veſp.

1223. Malim legi, ni omnes Codd. reclamarent, ἐπιστροφὴν, *vices*, vel ὑποστροφὴν, *reverſionem*. Phavorin. in verbo Ἀντανάκλασις, ἡ ἀπό τινος ἐπί τι κίνησις, καὶ ἐξ ἐκείνου πάλιν, ἐξ οὗ ἀπῆλθεν ὑποστροφὴ, ὡς ἐπὶ τῆς σφαίρας. ἡ ἀντανάκλασις, ἡ κατὰ ἀνάκλασιν ἀπό τινος μεταγομένη. γίνεται δὲ τοῦτο ἐπὶ φωνῆς, ἣν καλοῦσιν ἠχώ. καὶ ἐπὶ φωτὸς, ἢ ἀντιπίπτει. Buchan. rectè ad mentem Euripidis, *ſenties pœnæ expetitæ viciſſitudinem.* ἀποστροφὴ alio ſenſu legitur ſupra ad v. 603.

1261. Ἐῤῥ-

1261. Ἔῤῥει sc. τὰ πράγματα ἐμά, actum de me est, ἔφθαρται sc. iste labor liberorum causa impensus perit. v. 1346. ἔῤῥε, μυσαρὰ φθορεῦ ἄπιθι. Phœniss. 627. ἐῤῥέτω πρόπας δόμος.

1415. *Dispensat mortalia cuncta*
Cœlo Jupiter, inopina Dei
Plurima peragunt, spes eventu
Fraudant sæpe suo, quæ credas
Fieri haud posse, expediet Deus. Buchan.

NOTÆ in PHOENISSAS.

Schol. ad *v.* 44. ' ΑΝτίμαχος φησὶν ἐν Λύδῃ, ita rectè Arsenius, *Elegiam* intellige quam Uxori mortuæ inscripsit: *Plutarch. Consolat. ad Apollon.* pag. 106. Edit. Paris. Ἐχρήσατο δὲ τοιαύτῃ ἀγωγῇ καὶ Ἀντίμαχος ὁ ποιητής· ἀποθανούσης γὰρ τῆς γυναικὸς αὐτοῦ Λύδης, πρὸς ἣν φιλοστόργως εἶχε, παραμύθιον τῆς λύπης ἑαυτῷ ἐποίησε τὴν ἐλεγείαν τὴν καλουμένην Λύδην. Ovid. Trist. 1. 5. *Nec tantum Clario Lyde dilecta Poeta.* T. Stanl. in Fragm. Æschyl.

148. Καλλιβόστρυχος) κομῶν τοῖς βοστρύχοις. τὸ γὰρ κατὰ πλῆθος ἐμφατικόν ἐστι.

219. Σικελίας) Retinemus cum Manuscripto, Scholiaste, & Grotio: mirabile tamen quomodo Zephyro flante navigarent ex partibus Phœniciæ circa Tyrum, in Græciam, h. e. ab Oriente in Occidentem: at dici Siciliam infrugiferam quæ tunc temporis à Cyclopibus inhabitabatur, frugum serendarum ignaris, non eo usque improbabile: saltem τὰ θαλάσσια πεδία, ὡς τὸ πολὺ, ἀκάρπιστα, nemo non agnoscit. Sed aliam esse ejusdem nominis insulam inter Chalcidem & Aulidem, uti vult Scholiast. cum hâc majori Sicilia, gratis dictum videtur. rectius forsan hunc nodum solvit Geographus, οἱ ποιηταὶ δὲ μάλιστα οἱ Τραγικοὶ συγχέοντες τὰ ἔθνη, lib. 14. pag. 665. Edit. Paris.

274. *Simul ensis hujus freta præsidio manus*
Securitatem quæret ex audaciâ. Grot.

326. Ὅθεν ἐμάν τι λευκόχροα κείρομαι Δακρυόεσσαν ἱεῖσα πενθήρη κόμαν. *Certè ego tristem demessa comam, Toto abjeci vertice canos.* Ita Grot. ut etiam Canter. exponunt: nec non T. Stanl. qui monet quod πλόκαμος πενθητήριος Æschylo, Euripidi est κόμη πενθήρης. utramlibet interpretationem eligat Lector, nostra sequitur Scholiastem.

355. Καθεκώμασε) καθεγέλασε. de risu hæc synonyma apud Polluc. καθεκωμῳδῆσαι, κατειρωνεύσασθαι, διασύρειν, κωμῳδεῖν, τωθάζειν: forsan ad verbum est, *per vicos & pagos traducere & deludere*. H. Steph. non malè Grot. *infestavit Fatum*.

359. Πῶς, πῆ, πότε, πόθεν, πόθι, ταῦτα πυσματικὰ ὄντα βαρύνεται, ἀόριστα δὲ ὀξύνεται, καὶ ἐν τῇ συντάξει ὑποτασσόμενα ἐγκλίνονται, οἷον ἦλθές πως, φιλόστικόν πως. ἦλθές ποι, ἦλθες πόθεν, ἦλθές ποθι, αἰκέ ποθι Ζεύς.

401. Οὐδ' ὁ χρόνος) elegantissimum est illud Libanii de spei fallacia. πολλὰς ἐλπίδας ἀγαθαὶ πρὸς γῆρας μετὰ πενίας παρέπεμψαν, καὶ οὔτε τῆς ἐνδείας ἀπηλλάγησαν, οὔτε τῆς προσδοκίας ἀπέστησαν.

463. Παραινέσαι δὲ σφῷν &c. *Strattis* παρῳδεῖ Grot. excerpt. p. 879.

492. Προσαμυνάσεις) multæ quidem occurrunt dictiones è bonæ notæ scriptoribus, quas frustra quæras in Vulgar. Lexicis, imò nec apud Lexicographorum Principem H. Steph. invenies, harum ipse non exiguum numerum, ex non multiplici vett. lectione collegi.

497. Αὐθέκαστα, αὐτὰ καθ' ἑαυτὰ γενόμενα, ἢ αὐτὰ τὰ γενόμενα, ἀκριβῶς καὶ συντόμως καὶ ἀποτόμως, ἢ τὰ ἁπλᾶ καὶ ἀληθῆ, αὐτοκελεύστως. Λόγους αὐθεκάστους τοὺς σαφεῖς καὶ συντόμους λέγομεν. τινὲς δὲ, καὶ τὸ παῤῥησιαστικὸν καὶ αὐθάδη.

509 & 552. Τυραννίδα, fallor ni poëta respicit decantatam illam Fabulam Herculis jussu Jovis edocti à Mercurio: Thebis enim educatus est Hercules, apud Dion. Prusæ. Orat. 1. p. 13. edit. Paris. quem consulat eruditus Lector, est enim ὡραῖον τὸ χωρίον δι' ὅλου πάνυ.

546. Νυκτός τ' ἀφ. βλέφαρον) νυκτὸς ὀφθαλμὸς, ἡ σελήνη ἐστὶν, ὥσπερ καὶ τῆς ἡμέρας ὁ ἥλιος, Æschy. 7. Contr. Theb. Schol. in v. 396.

553. Ὑπέρφευ, nescio quæ vox: ὑπερφυὴς vox bene Græca, *ingeniosus, immensus, amplus*, ὑπερφυέστατοι, Tit. datus Senatui Constantinopol. Du Fresne Glossar.

578. Τὰς δὲ Π.) antiquissimum fuisse morem hostium spolia. Τρόπαια in Deorum templis suspendendi & consecrandi observavit Eustath. in Iliad. ή. καὶ Εὐριπίδης αὐτὸ ἐν Φοινίσσαις δηλοῖ, inquit ille, quo remittimus eruditos. ita & infra v. 1482.

627. ———————— Π. ἐῤῥέτω πρόπας δόμος

Ὡς τάχ' ἐκχέθ' αἱματ. est continuatio sermonis Polynicis juxta Mſ. C.C.C.

635. Δεξίμηλα, ἀπὸ τοῦ δέχεσθαι τὰ θυόμενα μῆλα, καὶ δεξίμηλοι ἐσχάραι Hesych. δεξιμήλοις, ἐπηκόοις καὶ ἱλαροῖς θεοῖς, Phav. Grot. interpretatur, *Simulacra Divûm victimis gaudentia*.

634. Ἄναξ Ἀγυιεῦ) Apollinis Epithet. κίων erat Ἀγυιεύς, hanc in Vestibulis ædium in Apollinis honorem erigebant, quem ideo vocat Sophocl. in Electr. προστατήριον, tanquam *Præsidem, Custodem* vel *Patronum domus.* Ἀγυιεὺς δέ ἐστιν, κίων εἰς ὀξὺ λήγων, ὃ ἱστᾶσι πρὸ τῶν θυρῶν· ἰδίους δὲ εἶναί φασιν αὐτοὺς Ἀπόλλωνος, οἱ δὲ Διονύσου, οἱ δὲ ἀμφοῖν. Harpocrat. & Valef. in Maussaci not. malim igitur interpretari, *Domus Custos Phœbe,* quoniam & sequitur καὶ μέλαθρα χαίρετε.

789. Εὐλάβεια, φυλακὴ ἀπὸ κακίας, ἢ ἐπιμέλεια φυλακῆς, ἔννοια, σκῆψις, καθαρότης, φόβος. καὶ ὄνομα κύριον.

858. Εὐελπίδης ἄπτερος οὐδετέρως τὸν κάμηλον ἔφη, & supr. v. 45. ἐπιζάρει σφίγξ. ἀντὶ τοῦ ἐπιβαρεῖ κατ' ὁμοιότητα, τοῦ βέρεθρον ζέρεθρον. Eustath. in Iliad γ. p. 381.

861. Ἀναχρονισμὸς de bello Eumolpi. Thebanum bellum fuit 4. ætatibus posterius Eumolpi bello, & hoc non ex ignorantia adjicitur à Poetâ: hujus belli meminit Lycurgus in Orat. contra Leocrat. Φασὶ γὰρ Εὔμολπον τὸν Ποσειδῶνος καὶ Χιόνης μετὰ Θρᾳκῶν ἐλθεῖν, τῆς χώρας ταύτης ἀμφισβητοῦντα· τυχεῖν δὲ καὶ κατ' ἐκείνους τοὺς χρόνους βασιλεύοντα Ἐρεχθέα, &c. pag. 160. edit. H. Steph.

891. Πόλις, & ita MS. Usurpant Attici Nominativ. pro Vocativo: ita supr. v. 632.

961. Ἔμπυρος & ἐμπυρεία, μαντεία παρὰ Βοιωτοῖς. ἔμπυρα τὰ καιόμενα ἱερεῖα. δι' οἰωνῶν καὶ δι' ἐμπύρων. Dio. Prusæ. Orat. 1.

996. Προσηγορήσων, Schol. MS. interpretatur per ἀποχαιρετίσων, quæ vox in hâc compositione Lexicographis ignota est. χαιρετίζω, *jubeo salvere.* Laert. in vit. Platonis juxta finem, Τῆς φιλανθρωπίας ἐστὶν εἴδη τρία· ἓν μὲν διὰ προσηγορίας γινόμενον, οἷον ἐν οἷς τινὲς τὸν ἐντυχόντα πάντα προσαγορεύουσι, καὶ τὴν δεξιὰν ἐμβάλλοντες χαιρετίζουσιν, &c.

1068. MS. legit. φίλη Παλλάς, & interpretatur ὦ φίλη Ἀθηνᾶ, ut vet. Scholiastes ὦ δέσποινα Ἀθηνᾶ. *Minervæ* urbes sacræ: hinc Πολιὰς dicta. Sophocl. in initio Philoctet. Νίκη τ' Ἀθηνᾶ πολιάς, ἣ σώζει μ' ἀεί. ubi Schol. Πολιάς) πολιοῦχος. οὕτως ἡ πολιοῦχος Ἀθηνᾶ νίκη καλεῖται ἐν τῇ Ἀττικῇ. vid. infra v. 1752. Invocatur etiam una cum *Diana,* uti *Erechthei* domus, tum vacans liberis, felicem prolem consequatur. *Ion. Fab. v.* 452, &c.

Schol. ad *v.* 1069. Ὀγκαία Ἀθηνᾶ λέγεται, ὅτι ἄγαλμα ἐν Ὄγκαις ἔχει, κώμῃ τῆς Βοιωτίας, ὃ τὸν Κάδμον ἱδρύσασθαι αὐτῇ φασιν.

1070. Καδμείων μεγίστων) ita Hesiod βίη Ἡρακληείη, pro ipso Hercule: & Hom. βίη Πριάμοιο. Πολυνείκους βία apud Æschyl. 7 Contr. Theb. pro ipso Polynice. Catonis Virtus, pro Catone Horat.

1094. Πυργηρέμβοι) πυργηρέμεθα· ἐντὸς ἴσμεν τῶν πύργων, ἢ πλ-μυρμῷ ἐξιέναι. Hefych.

1105. Ὅμηρος μὲν μόνην τὴν τῆς Ἰλίου ἀκρόπολιν, Πέργαμον ὀνομάζει θηλυκῶς· οἱ δὲ νεώτεροι πάσας τὰς ἀκροπόλεις οὕτω καλοῦσιν. Euftath. ad Iliad δ'. p. 503.

1107. Τλήμονα σὸν, ita vett. Schol. Collector Arfenius. ita Grotius; quamvis MS. legit πλημνατόν.

1121. MS legit ἐπιχ', & interpretatur ἐχώρει, τὴν ὁρμὴν ἐποιεῖτο.

1158. Κυβιστήτης, & κυβιστήτηρ, regulariter à κυβιστῆσαι orta vox: Τὰ γὰρ ἐπὶ κεφαλὴν κύψαντα κυλισθῆναι, κυβιστῆσαι λέγουσι. Etymol. M. κύβη enim, *caput*. Ἀρνευτὴρ, id. καθ' ὁμοιότητα τῶν ἀρνῶν πορείας, οἱ σκιρτῶντες, τοῖς μὲν ἔμπροσθεν ποσὶν ἅλλονται, τὴν δὲ κεφαλὴν τῇ γῇ πλάζουσι. Phav.

1257. Τροπαίου) Jupiter Τροπαῖος dict. quod ei dedicarentur capta ab hoftibus fpolia in Trophæi modum compofita. Euripid. Heraclid. v. 937. vid. fuprà in not. ad v. 578.

1261. Ἐμπύρους τ' ἀκμὰς, ignis intenfionem vel eruptionem quæ furfum fit.

1271. *Non jam tueri clauftra virginei laris,*
Non jam Choreas agere fors patitur tua. Grot.

1340, & 1372. Εὐριπίδης ἀγῶνα φησὶν, ἐν ᾧ ζῆν ἢ θανεῖν χρεών. Euftath. p. 1264.

1371. Ἔθος τοῖς ποιηταῖς παραλλήλαις λέξεσιν ἰσοδυναμούσαις χρῆσθαι.

1376. Ἀντήρη δ' ἐμὴν, fc. quam nunc contra erigo. *Grot.*

1386. Τὰ νῦν ἤδη ἀναχορηγίζει. Tuba enim non erat in ufu, ut obfervat Scholiaftes, Trojanis Temporibus.

1394. Ἐνώμα) imperf. à νομῶ. ἐκίνει, ἐκούφιζεν, ἔστρεφεν, μετέφερεν, vox in ufu apud Hom. ὥσπερ στρέφω, ἐξ αὐτοῦ τὸ στρωφῶ κατ' ἔκτασιν, οὕτω τρέπω τρόπος τρωπῶ. τρέχω τρόχος τρωχῶ. κἀγὼ νέμω νόμος νωμῶ, τὸ περιέχω. Euftath. in Il. α'. p. 137. ἐνώμας Odyff. σ' v. 238. ἐκίνεις, ἀντὶ τοῦ ἐνενόεις Didym. & apud Æfchyl. οἴακα νωμῶν, Schol. interpretat. ἐξουσίαν διεξάγων, κινῶν. 7. Contr. Theb.

1434. Φεῦ, φεῦ--& proximè fequens v. referuntur ad Chorum à Manufcripto C. C. C. at Grotius priorem Verfic. ad Chorum refert, alterum Creontis ftatuit, & ipfe vidit Manufcriptos Codd.

Schol. v. 1416. Καλλαιβάτης Ἀπόλλω Epithet. Apollinis non æque notum, ni refpicit Schol. illum *Apollinem* quem Virgines apud Æfchyl. vocant φυγάδ' ἀπ' οὐρανοῦ θεόν. quòd & ipfe aliquando è Cœlis relegatus à Jove fuiffet ad Admeti armenta. D. Stanl. Comment. ad Suppl. v. 222. Arfenius legit καλλαιβίῳ Ἀπόλλ.

1497. Κρή-

1448. Ὑγρὰν χέρα) malim, *mollem*, vel *teneram manum*: ita v. 1658. ὑγρὰν κόνιν, *mollem pulverem*.

1497. Κρήδεμνον, κεφαλῆς ἤτοι κεφαλῆς κόσμος, ὃ καὶ ἐπίκρανον κεφαλῆς ἡ Τραγῳδία φησίν. Eustath.

1534. *Quid me nigris fretum thalamis*
Fletu Virgo, gemitúque vocas?
Quid me lecto prodire jubes
Baculo cæcum ducente pedem?
Quid nisi vivum resto Cadaver
Aut exequiis umbra superstes,
Levis aut somni tristis Imago. Grot.

1629. Τριπλόχους θρήνους νεκρῶν) ita MS. & Grot. leg. contra hactenus receptam lectionem, τριπλόχων νεκρῶν γόους.

1669. Apertius & elegantius Grot. *Deest una numero Danais accedam Gregi.*

1686. Ἀλλὰ γενναία) ἀλλὰ non hoc in loco ἐπὶ ἀναιρέσει ἑνὸς ἢ συνεδοχῇ ἑτέρου, sed aliquando sumitur pro καὶ & Atticè pro γὰρ μὲν ἢ γε, ut in hoc loco: malè igitur vulgar. versio reddit *sed superba*, & D. Grotius ut semper optimè, ita rectè sensum assecutus est, *Non si qua verum corde magnanimo sapit.*

1717, & 1718. Utrumque MS. legit ἐρωτηματικῶς, sensu optimo, *nonne aspicit*, sc. *Justitia, nonne videt, ut puniat, & annon retribuet hominibus digna pro malè factis?* Aspiciunt oculis superi mortalia justis. Vulgar. lectio sine interrogat. non mala, ἀμείβεται, annon potest exponi per διαδέχεσθαι, *vices excipere*.

1719. Chorus apud Sophocl. Oedipum lamentatur in ipso fine Oedip. Tyrann. Οἰδίπους ὅδε, Ὃς τὰ κλείν' αἰνίγματ' ᾔδει, hic vero semetipsum ob præteritam famam.

1742. MS. Benedict. ἂν νεβρίδα Sc. Μαινάδων. nos sequimur Grotianam lectionem.

1750. Joann. Grotii, Hugonis Patris, lepidissimum Epigramm. è Græco Palladæ, aptè in hanc sententiam quadrat,

Si quem Fors agat atque ferat, ferat atque feratur:
Ni ferat, & feret hunc Fors, magis & feriet.

1752. Ὦ μέγα Σεμνὰ Νίκη· Ἀθηνᾶ ἡ Νίκη quæ literis & armis præsidet; ὁ πατὴρ Ζεὺς ἅμα γεννήσας αὐτὴν, νίκην ἐποίησε κατὰ Τιτάνων· διὸ καὶ Ἀθηνᾶ νίκη ἐπωνομάσθη. Eustath. ad Iliad. φ. p. 1244.

Varia

Variæ Lectiones in Medæâ. H. S. Henr. Steph. G. Grotius.

V. 55 PRO πιτνῦντα, Grot. πίπτοντα.
189 Ὁρμαθῇ ita H. S.
195 Στυγερὺς G.
598 Pro λυπηρὸς G. πικρός.
634 Ἐφσίης recte H. S. non ἐφίης.
636 Στέργει H. S.
644 Κείνη H. S.
781 Πολεμίας H. S.
1160 Τιθεῖσα H. S.
1323 Ὦ μῖσος H. S.

Variæ Lect. in Phœniſſ. è Mſ. C. C. C. Cantabrig. H. Grotio, Paul. Steph.

V. 36 ἸΔεῖν Mſ. pro μαθεῖν.
76 Φυγάδ' ἀπελ. Mſ. 77. ὅς δ' Ἄργ.
84 Πύλας pro πλόκας Mſ.
88 Θάλλος. 94 ἔλθῃ.
178 Φιλαιμάτω G.
303 Προσδρομ☉ Mſ.
310 Γηραιὰν πόδ' ita Mſ. & Grot. vulg. γήρα & πόδες.
319 Κόμαισι ita Grot. & Mſ.
335 Ὑπερτέραμμένα Grot.
364 Τάρβ☉ G.
402 Pro θεῶν Mſ. κακῶν.
415 Θηρὸς Mſ. 417 ἔχεις Mſ.
466 Ἐφ' οἷς ζυνήκει, Mſ.
467 Μηδενός Mſ.
486 Ἐμὸν G.
523 Δουλεῦσαι Mſ.
524 Pro μοι, Mſ. μὲν.
533 Grot. δεῖξαι pro λέξ Stobæ. p. 475.
551 Ἀπονέμειν Mſ.
562 Λόγῳ Mſ.
572 Ἡμείψατο pro ἀνῆψ. Mſ.
587 Ἀμαθία G.
594 Σκῆπτρον, Mſ.
611 Grot. omitt. ὦ θεοί, quod Mſ. retinet omiſſo σῇ.
618 Εἶμι· τὸ δὲ πατ. μοι &c. G.
632 –μή με τῶνδ' αἰτοῦ, Mſ.
635 Θ' οἱ 'μοι, G.
650 Δίρκας χλοηφόρου, Καὶ βαθυῤῥόου.
Βρόμιον ἔνθα τέκε ποθ' ἁ μάτηρ, Διός γάμοις· κισσὸς, Κισσὸς ὃν &c. Grot.
663 Ita Mſ. & Grot. prius ἐνόδιος male.
694 Ἐκπίσ. G.
710 Μείζον' Mſ.
711 Πεποιθότα Mſ.
731 Προσβάλλοιμεν. Mſ. Grot. & P. Steph. in Plural. num.
755 Ἔσται τάδ', ἐλθὼν δ' ἑπτάπυλον ἐς πόλιν, P. Steph.
768 Εἴ σύ τι Mſ.
776 Ἀντιπάνυμ. Mſ.
798 Ἀλλ' addit. à Grot. poſt δινεύεις.
817 Ἄδης G.

Σύνα

v. 824 Σύναιμον γ' ἦλθε λέχος, G.
834 Καθαρθ. Mſ.
841 Πρόπαρ G.
843 Πεδίον Mſ. πηθὲς G.
853 Ἐξόρμισαι Mſ. G. & P. Steph.
859 Παρεῖμαι Grot. ib. pro γᾶς γὰρ G. γῆν Mſ.
872 Κλείσας G.
896 Τοῦ 'γαθοῦ G.
940 Φοίν. Mſ.
969 Εἴπῃ Mſ.
979 Ἀπαλλαχθεὶς Mſ.
1006 Οἱ μὲν Mſ.
1017 Μελαμβαφῆ Mſ.
1020 Θανάτῳ Mſ.
1029 Pro πολύφθ. Mſ. πολύμοχθος.
1048 Ὅτι G.
1069 Κατειργάσαι.
1082 Ἥκεις --- ἀγγελῶν Mſ.
1099 Τῇδε γῇ, Mſ.
1147 Παραφ. Mſ.
1209 Καὶ πεφ.
1229 δ' ὑπῆρξ' Mſ.
1242 Ἔλεξε σὸς Mſ.
1255 Θαρσύνοντι συνθημάτων Mſ.
1262 Ἐναντίων Mſ.
1326 Δύστηνος Mſ.
1330 Τοῖς γὰρ πεθνᾶσιν χρεὼν G.
1356 Τούτοισι γ' εἰδ. Mſ.
1382 Ηὖξατ' Mſ.
1507 Τάδε σώματα legit Mſ. pro τάδ' αἱμακτά.
1502 Οἰδιπόδαο Mſ. & interpretatur Οἰδίποδος.
1511 Ξυνετὸς Mſ.
1526 Διοσσῶν Mſ. pro νεκρῶν.
1527 Ὀπλοτοὶ, ὀπλοτοὶ. Mſ.
1529 Οἰδίπου G.
1531 Μακρόπνουν ita rectè G.
1542 Ἄλοχος ἃ περῶ Mſ. βάκτροισιν G.
1543 Τυφλὸν Mſ.
1560 Τιθεμένα Mſ. & Grot.
1571 Ἔβαψεν Mſ.
1576 Ὑπῆρξεν Mſ.
1659 Καὶ σοὺς σε Mſ.
1688 Φιλότη Mſ.
1707 Σύ μοι ποδαγωγὸς Mſ.
1713 Πόδα τίθ', ὡς ὄν. G.
1715 Ἐλαύνων Mſ.
1716 Δεινὰ ἐγὼ ὁ τλάς.
1720 Mſ. omitt. utrumque. τ'.

535. Pro φιλοτιμίας Dio Pruſ. legit πλεονεξίας: nempe quod Euripides de ambitione & inani Gloria ſcripſerat, id *Dio* Avaritiæ accommodat. atque infra ſtatim, pro κεῖνο κάλλιστον τέκνον, legit τοῦτο κάλλιστον βροτοῖς: videſis Dion. Pruſ. Orat. 17. in qua oratione egregiè differentem ſuaviſſimum oratorem ſumma cum voluptate audies. conſul. & Fed. Morell. in locum.

I N-

INDEX.

A.

Ἀντί-

B.

Γ.

K.

Λ.

Λέχριον,

ʼΟρει-

Προ-

Υπο-

Τέλος.

[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
τιμος
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]

72

72

76
42
[illegible]

[illegible]
[illegible]